DIDY
mus

55061


DIDYMVS·

BIBLIOTECA
DE LA
Universidad de Salamanca.

Sala Est. Tab. Nùm.

1ª

55061

κάσασθαι. ὅθεν δή γε καὶ τὴν τέχνην ταύτην τὴν τυπογρα-
φικὴν κακῶς ὑπὸ τῶν πολλῶν ἀκούειν συνέβη.
ἡμεῖς μὲν οὖν τοιαύτην ὁδὸν ἀπολιπόντες, καὶ τὴν
τῶν ἀγαθῶν τραπόμενοι, ἐκκρίτως καὶ ἐμμελῶς τῇ
φιλοπονίᾳ ἐμμένειν διεγνώκαμεν. καὶ τούτου μὲν
γὰρ ἕνεκα, ἄνδρας εὐπαιδεύτους καὶ πρὸς ταῦτα
ἱκανοὺς περιποιησάμενοι πολυτελέστερόν τε καὶ ὀρθό-
τερον τὰ ἡμέτερα ἐπιδείξομεν. καθάπερ καὶ νῦν
ὁμήρου σχολιαστὴν ἀμελέστατα παρὰ τῶν ἄλλων ἐκ-
δοθέντα ἡμῖν συμφιλοπονοῦντες ἀπεστείλαμεν.
καὶ μὴν πολλῶν δυσεικάστων ἀσχημάτων ἀνά-
πλεως ὁ τῶν ἄλλων ὑπάρχων, μέγα πρᾶγμα με-
ταξὺ τοῦ ἐκτυποῦσθαι παρέχει. ὥστε μὴ πάνυ μὲν
τῶν ἀττικωτέρων τὴν μέμψιν φεύξεσθαι, τοῖς δὲ
λογιωτέροις εὐλαβουμένως καὶ ὀλίγου δεῖν ἀνα-
μαρτήτως δοκεῖν ἀπεργάσασθαι. ἡμεῖς μέντοι τὸ
τῶν κακῶν φιλαίτιον ὡς ἐν παρέργῳ τιθέμενοι, τὴν
τῶν φιλοκάλων κρίσιν ἀγαπήσομεν. λάβετε τοί-
νυν ὦ προσφιλέστατοι νέοι ταῦτα τὰ ἑλληνικὰ ἐξη-
γήματα, καὶ εὖ διάγοντες μεγάλως καὶ ὑπερ-
καρποῦντως τῇ ἑλληνικῇ παιδείᾳ προσλιπαρεῖτε.

Α. Ζ.

BIBLIOTECA UNIVER… SALAM…

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Α. ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ.

Θεῶν ἀγορὰ γίνεται περὶ τοῦ τὸν ὀδυσσέα εἰς ἰθάκην πεμφθῆναι ἀπὸ τῆς καλυψοῦς νήσου. μεθ' ἣν ἡ ἀθηνᾶ εἰς ἰθάκην παραγίνεται πρὸς τηλέμαχον, ὁμοιωθεῖσα μέντῃ βασιλεῖ ταφίων. γενομένης δὲ ὁμιλίας παραινέσασα ἡ ἀθηνᾶ τηλεμάχῳ παραγενέσθαι διὰ τὴν τοῦ πατρὸς ζήτησιν, εἰς πύλον μὲν, πρὸς νέστορα, εἰς σπάρτην δὲ πρὸς μενέλαον ἀπαίρει, ἔμφασιν δοῦσα ὡς θεὸς εἴη, καὶ τῶν μνηστήρων γίνεται εὐωχία.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Α. ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΝ.

ΑΝΔΡΑ. νῦν τὸν φύσει. οὐ γὰρ εὑρίσκεται δύο ἐπίθετα ἄνευ κυρίου ἢ προσηγορικοῦ. δῆλον δὲ ἐκ τοῦ τὸν ἀνδρεῖον. ἀνδρὸς ἀκοντίσαντος, καὶ τὸν ἀνδρὸς ἡλικίαν ἔχοντα. ὥς που νῦν γε μετ' ἀνδρῶν ἐστὶ ἀριθμῷ, καὶ τὸν γήμαντα ἄνδρα μὲν ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ, ἐκ τὸν φύσει. ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες. ΕΝΝΕΠΕ. εἰπέ. ΠΟΛΥΤΡΟΠΟΝ. ἐπὶ πολλὰ τρέποντα τὴν διάνοιαν, συνετόν, ἢ πολλῶν ἔμπειρον τρόπων. ΠΛΑΓΧΘΗ. ἐπλανήθη. ΕΠΕΙ ΤΡΟΙΗΣ. ἀντὶ τοῦ ἀφ' οὗ τὴν τροίαν. ΙΕΡΟΝ ΠΤΟΛΙΕΘΡΟΝ. διὰ τὸ τετειχίσθαι ὑπὸ θεῶν. ἢ διὰ τὴν πρὸς τὸν δία εὐσέβειαν. ΕΠΕΡΣΕΝ. ἐπόρθησεν. ΑΣΤΕΑ. πόλεις. ΠΑΘΕΝ ΑΛΓΕΑ. ἐνταῦθα στικτέον. εἶτα ὃν κατὰ θυμὸν ἀρνύμενος. τὸ ἐφ' ἑαυτῷ περιποιῶν καὶ σώζων ἑαυτὸν καὶ τοὺς ἑταίρους. ἢ ἀντὶ τοῦ καταλλασσόμενος τὴν ἑαυτοῦ ψυχήν, καὶ τὴν εἰς τὸν οἶκον τιμωρίαν ὑπὲρ τῶν ἑταίρων. οἷον αὐτὸς ἀπολέσθαι θέλων ἵνα σώσῃ τοὺς ἑταίρους διεκπλέων ἐπὶ τὸν καὶ νόστον. ΠΟΝΤΩ. θαλάσσῃ. ΟΝ ΚΑΤΑ ΘΥΜΟΝ. κατὰ τὴν ἑαυτοῦ ψυχήν.

Α.3. ΑΡΝΥ-

num. 30. cap. 7. num. 58.
85

ΑΡΝΥΜΕΝΟΣ. ἀντικαταλλασσόμενος. ΗΝ. τῆς ἑαυτοῦ. νόστον ὅπου φησίν, τῆς οἴκαδε ἐπανόδου. ΕΡΡΥΣΑΤΟ. ἔσωσεν. ΑΤΑΣΘΑΛΙΗΣΙΝ. φρενοβλαβείαις. ΙΕΜΕΝΟΣ ΠΕΡ. καίπερ προθυμούμενος. ΣΦΕΤΕΡΗΣΙ. ταῖς ἑαυτῶν. ΟΛΟΝΤΟ. ἀπώλοντο. ΝΗΠΙΟΙ. ἄφρονες ἀνόητοι. ΟΙ ΚΑΤΑ ΒΟΥΣ. ἐμνήσθη τούτων ἐπεὶ ἐκ προαιρέσεως ἀδικήσαντες ἀπώλοντο. ΥΠΕΡΙΟΝΟΣ. ἐπιθετικῶς τοῦ ἡλίου. ἀπὸ τοῦ ὑπὲρ ἡμᾶς ἰέναι. ἡσίοδος δὲ ὑπερίονος αὐτὸν ἐγενεαλόγησεν. ΝΟΣΤΙΜΟΝ ΗΜΑΡ. τὴν τῆς ἀνακομιδῆς ἡμέραν. ΤΩΝ ΑΜΟΘΕΝ ΓΕ. τῶν περὶ τὸν ὀδυσσέα ὁπόθεν θέλεις πράξεων ἀπό τινος μέρους ἀρξαμένη διήγησαι ἡμῖν. ΑΜΟΘΕΝ. ποθέν. ἐστι λέξις τῶν ἀττικῶν. ἢ ἀπό τινος μέρους, ὁπόθεν θέλεις. ΘΥΓΑΤΕΡ ΔΙΟΣ. ἀντὶ τοῦ ὦ μοῦσα. ΕΙΠΕ ΚΑΙ ΗΜΙΝ. ὡς σὺ οἶδας, ἵνα καὶ ἡμεῖς γνῶμεν. ΑΙΠΥΝ. δεινὸν χαλεπόν. ΟΙΚΟΙ. εἰς τὰ οἰκεῖα, ἐπὶ τῆς οἰκίας. ΟΙΟΝ. μόνον ὄντα. ΝΟΣΤΟΥ. τῆς οἴκαδε ἐπανόδου. ἢ δὲ γυναικός. οἰκείως προτέθεικεν ἵνα καταφρονήσῃ καὶ θεᾶς ἐρώσης. ΠΟΤΝΙΑ. σεμνὴ ἔντιμος σεβασμία. ΕΡΥΚΕ. κατεῖχεν ἐκώλυεν. ΔΙΑ. ἐνδοξοτάτη. ΚΑΛΥΨΩ. ἄτλαντος θυγάτηρ. ΕΝ ΣΠΕΕΣΙ. σπηλαίοις. ΓΛΑΦΥΡΟΙΣΙ. κοίλοις βαθέσιν. ΛΙΛΑΙΟΜΕΝΗ. ἐπιθυμοῦσα. ΠΟΣΙΝ. ἄνδρα. ΠΕΡΙΠΛΟΜΕΝΩΝ. περιερχομένων, πληρουμένων. ΤΩ ΟΙ. ἐν ᾧ αὐτῷ. ΕΠΕΚΛΩΣΑΝΤΟ. εἱμαρμένον γενέσθαι ἐπέκλωσαν. ΠΕΦΥΓΜΕΝΟΣ. διαπεφευγώς. ΑΕΘΛΩΝ. κακο-

παθειῶν.

Hesiod



παθειῶν. ΟΙΣΙ. τοῖς ἑαυτοῦ. ΕΛΕΑΙΡΟΝ. ἠλέουν. ΝΟΣΦΙΝ. χωρίς. ΟΔ' ΑΣΠΕΡΧΕΣ. οὗτος διόλου. ΜΕΝΕΑΙΝΕΝ. ἐχολοῦτο ὠργίζετο. ΑΝΤΙΘΕΩ. ἰσοθέῳ κατὰ ἀρετήν. ΕΝΘΑ. τότε, χρονικὸν ἐπίρρημα, καὶ τοπικόν. ΜΕΤΕΚΙΑΘΕΝ. μετῆλθεν. ΠΑΡΟΣ. πρίν, πρότερον. ΤΗΛΟΘ' ΕΟΝΤΑΣ. μακρὰν οἰκοῦντας. ΔΙΧΘΑ. διχῶς εἰς δύο. ΔΕΔΑΙΑΤΑΙ. νενέμηνται μεμερισμένοι εἰσίν. οἱ μὲν γὰρ αὐτῶν ἐπ' ἀνατολὰς εἰσίν, οἱ δὲ ἐπὶ δυσμάς. τινὲς δὲ πρὸς τοῦ νείλου σχίζεσθαι αὐτοὺς λέγουσιν. ΔΥΣΟΜΕΝΟΥ ΥΠΕΡΙΟΝΟΣ. τοῦ πρὸς δύσιν ἡλίου. βούλεται δὲ εἰπεῖν τοὺς αἰθίοπας, τοὺς πρὸς δύσιν ὄντας. ΟΙ Δ' ΑΝΙΟΝΤΟΣ. ἀνατέλλοντος τοὺς ἀνατολικοὺς δηλοῖ. ΑΝΤΙΟΩΝ. μεταληψόμενος. ἤτοι ὑπαντῶν ἢ μεταλαμβάνων. ΔΑΙΤΙ. εὐωχίᾳ. ΕΚΑΤΟΜΒΗΣ. μεγάλης θυσίας. ΠΑΡΗΜΕΝΟΣ. παρὼν διατρίβων. ΤΟΙΣΙ ΔΕ. ἐν τούτοις δὲ τοῖς θεοῖς. ΟΛΥΜΠΙΟΥ. τοῦ τὴν ὄλυμπον οἰκοῦντος. ΜΥΘΩΝ. λόγων. ΑΘΡΟΟΙ. ὁμοῦ. ΠΑΤΗΡ ΑΝΔΡΩΝ ΤΕ ΘΕΩΝ ΤΕ. ὁ ζεύς. ΗΡΧΕ. προκατήρχετο. ΜΝΗΣΑΤΟ. ὑπεμνήσθη. ΤΟΝ ΡΑ. ὅν τινα δή. ΑΜΥΜΟΝΟΣ ΑΙΓΙΣΘΟΙΟ. ἤτοι καλοῦ πρὸ τοῦ μοιχεῦσαι ἤ, τοῦ κατὰ γένος ἀγαθοῦ. ΤΗΛΕΚΛΥΤΟΣ. οὗ πόρρωθεν δόξα διέρχεται. ΜΕΤΗΥΔΑ. ἐν αὐτοῖς εἶπεν. Ω ΠΟΠΟΙ. ὢ παπαί. ἐστι δὲ ἐπίρρημα σχετλιασμοῦ δηλωτικόν. ΑΙΤΙΟΩΝΤΑΙ. αἰτιῶνται. ΦΑΣΙ. λέγουσι. ΕΞ ΗΜΕΩΝ. ἐξ ἡμῶν. ΣΦΗΣΙ. ταῖς ἑαυ-

Aethiopes

 τῶν.

τῶν. ΟΙ ΔΕ ΚΑΙ ΑΥΤΟΙ ΣΦΗΣΙΝ ΑΤΑΣΘΑΛΙΗΣΙΝ. τὸ ἑξῆς οἱ δὲ καὶ αὐτοὶ σφῆσιν ἀτασθαλίαις, ὅ ἐστι ταῖς ἑαυτῶν ἐν ἴσῳ τῷ αὐτοὶ αἴτιοί εἰσιν. οἱ δὲ περισσὸν τὸ καὶ σύνδεσμον. ἢ στικτέον οἱ δέ. ΑΤΑΣΘΑΛΙΑΙΣ. ἁμαρτίαις. ΥΠΕΡ ΜΟΡΟΝ. ὑπὲρ τὸ πεπρωμένον. ΓΗΜΕ. ἔγημεν. ΑΛΟΧΟΝ. γαμετήν. ΜΝΗΣΤΗΝ. τὴν ἐκ μνηστείας γεγαμημένην γυναῖκα. ΝΟΣΤΗΣΑΝΤΑ. ὑποστρέψαντα, ἐπανελθόντα. ΕΙΔΩΣ. ἐπιστάμενος. ΠΡΟ ΟΙ ΕΙΠΟΜΕΝ. προείπομεν αὐτῷ. ΑΡΓΕΙΦΟΝΤΗΝ. τὸν ἀργὸν φόνου καὶ εἰρηνικόν. ἢ τὸν φονεύσαντα ἄργον τὸν πολυόμματον κύνα, ὃς ἐφύλασσε τὴν ἰώ. ΚΤΑΕΙΝΕΙΝ. ἀνελεῖν φονεῦσαι. ΜΝΑΣΘΑΙ. μνηστεύεσθαι. ΤΙΣΙΣ. ἀντὶ τοῦ ἔκτισις τιμωρία κόλασις. ΕΣΣΕΣΤΑΙ. γενήσεται. ΑΤΡΕΙΔΑΟ. μετὰ τὸ ὑποστικτέον. ἢ τοῦ ἀτρείδαο ἀγαμέμνονος τοῦ ὀρέστου. ΗΒΗΣΗ. ἀκμάσῃ. ΙΜΕΙΡΕΤΑΙ. ἐπιθυμεῖ. ΑΛΛ᾽ ΟΥ ΦΡΕΝΑΣ ΑΙΓΙΣΘΟΙΟ ΠΕΙΘ ΑΓΑΘΑ ΦΡΟΝΕΩΝ. κἀκ τούτου δῆλον ὅτι δύο περὶ ἕκαστον εἰσὶν εἱμαρμέναι. αἱρεῖται δὲ ἕκαστος ἣν βούλεται. ΑΘΡΟΑ. ὁμοῦ πάντα. ΑΠΕΤΙΣΕΝ. ἀπέδωκεν. ΥΠΑΤΕ. ἐνδοξότατε ὑπερέχων. ΚΡΕΙΟΝΤΩΝ. βασιλέων ἀρχόντων. ΚΑΙ ΛΙΗΝ. πάνυ μὲν οὖν. ΕΟΙΚΟΤΙ. ὁμοίῳ. ΩΣ ΑΡΟΛΟΙΤΟ ΚΑΙ ΑΛΛΟΣ. ἐμφαίνει τοὺς μνηστῆρας. ΟΛΕΘΡΩ. θανάτῳ. ΡΕΖΟΙ. ἐπιτελοίη παρὰ τὸ αἷμα πράττων. ΔΑΙΦΡΟΝΙ. πολεμόφρονι. δαῒς γὰρ ἡ μάχη. οὕτω δὲ ἐπὶ τῆς





πηνελόπης λέγει δεδακυῖα καταφρένας, τουτέστι μεμαθηκυῖα· ἐξ οὗ τὴν συνετὴν καὶ σώφρονα βούλεται δηλοῦν. ΔΑΙΕΤΑΙ. διακόπτεται. τὸ γὰρ καίεται ἐρώσης. ΔΥΣΜΟΡΩ. κακομόρῳ. ΔΗΘΑ. πολλά. ΦΙΛΩΝ ΑΠΟ. πόρρω τῶν φίλων. ΑΜΦΙΡΡΥΤΗ. τῇ κύκλῳ τῇ ὑπὸ θαλάσσης περιρρεομένῃ. ΟΘΙ. ἀντὶ τοῦ ὅπου. ΟΘΙ ΤΟΜΦΑΛΟΣ ΕΣΤΙ ΘΑΛΑΣΣΗΣ. μέση τῆς περὶ αὐτὴν θαλάσσης. ΟΜΦΑΛΟΣ. τὸ μεσαίτατον. ΝΑΙΕΙ. οἰκεῖ. ΟΛΟΟΦΡΟΝΟΣ. ὀλεθρίου. ἐπεὶ πολέμιος τοῖς θεοῖς. οἱ δὲ τὸ ἑξῆς θαλάσσης. ΟΛΟΟΦΡΟΝΟΣ. οἱ δὲ ἐδάσυναν ἵνα ᾖ περὶ τῶν ὅλων φρονοῦντος. αὐτὸς γὰρ ὁ ἄτλας τὸν κόσμον βαστάζων παραδίδοται. ἢ ἐγέγραπτο κατὰ τὴν ἀρχαίαν γραφήν, εἶτα τὶς μὴ νοήσας, προσέθηκε τὸ ος. ΒΕΝΘΕΑ. βάθη. ΕΧΕΙ ΔΕ ΤΕ. νῦν ἐπιμελεῖται ὡς κἀκεῖ, καί μοι κῆπον ἔχει πολυδένδρεον. ἢ κρατεῖ καὶ βαστάζει. ΚΙΟΝΑΣ. στύλους. ΑΜΦΙΣ ΕΧΟΥΣΙΝ. διείργουσιν. ΤΟΥ. τούτου. ΔΥΣΤΗΝΟΝ. ἄθλιον. ΟΔΥΡΟΜΕΝΟΝ. ἀποκλαιόμενον. ΑΙΜΥΛΙΟΙΣΙ. παραλογιστικοῖς ἢ εὐνοϊκοῖς, καὶ οἷον συγγενικοῖς τοῖς μετ᾽ ἐμπειρίας συνετοῖς καὶ προσηνέσιν. ΘΕΛΠΕΙ. ἀπατᾷ. ΕΡΙΛΗΣΕΤΑΙ. ἐπιλάθηται ἀμνημονήσει. ΚΑΙ ΚΑΓΝΟΝ ΑΠΟ ΟΡΩΣΚΟΝΤΑ ΝΟΗΣΑΙ ΗΣ ΓΑΙΗΣ. ἐνταῦθα στικτέον. τὸ γὰρ ὅλον ὁ πρότερον ἐπιθυμῶν καπνὸν τῆς πατρίδος ἰδεῖν νῦν εὔχεται διὰ τὰ κατέχοντα τελευτῆσαι. ΕΝΤΡΕΠΕΤΑΙ.



ἔχει· ἀντὶ τοῦ [illegible]

μεταξὺ ὀπὴν λαμβάνει. ΟΥ ΝΥ Τ' ΟΔΥΣΣΕΥΣ ΑΡΓΕΙΩΝ ΠΑΡΑ ΝΗΥΣΙ ΧΑΡΙΖΕΤΟ ΙΕΡΑ ΡΕΖΩΝ. ἐκεῖνος γὰρ τὰ παρ' αὐτοῦ ἐπιθύων, σὺ δὲ οὐ κεχαρισμένος ἐλάμβανες. ΡΕΖΩΝ. θύων πράττων. ΕΥΡΕΙΗ. πλατεῖα. ΤΙ ΝΥ ΟΙ. διατί δὴ αὐτῷ. ΩΔΥΣΣΑΟ. ἐχολώθης ὠργίσθης. ΠΕΡΙ ΜΕΝ ΝΟΟΝ ΕΣΤΙ ΒΡΟΤΩΝ. ἀντὶ τοῦ περίεστιν ἁπάντων καὶ συνέσει καὶ εὐσεβείᾳ. ΓΑΙΗΟΧΟΣ. ὁ τὴν γῆν ὀχῶν. ἢ ὑπὸ τῆς γῆς ὀχούμενος. ΑΣΚΕΛΕΣ. ἀμετακινήτως. κατὰ στέρησιν τῶν σκελῶν. ἢ ἀδιαλείπτως καὶ ἄγαν σφοδρῶς. ΑΙΕΝ. ἀεὶ καὶ διαπαντός. ΚΕΧΟΛΩΤΑΙ. ὤργισται. ΑΛΑΩΣΕΝ. ἐτύφλωσεν. ΑΝΤΙΘΕΟΝ. νῦν τὸν ἐναντιούμενον θεοῖς, διὰ ἀσέβειαν. ΟΟΥ. οὗτινος. ΕΣΧΕΝ. ὑπῆρχεν. ΘΟΩΣΑ. μήτηρ πολυφήμου κύκλωπες κυρίως οὕτως λεγομένου. ΦΟΡΚΥΝΟΣ ΘΥΓΑΤΗΡ. ἐνάλιος δὲ θεὸς ὁ φόρκυς. ΜΕΔΟΝΤΟΣ. βασιλεύοντος. συνήθως γὰρ τοὺς ὑπάρχους βασιλεῖς ἔλεγον. ἢ συναπτέον μέδοντος ἐν σπέεσι, ὥστε ἐν σπηλαίοις τοῦ ποσειδῶνος γεννηθῆναι τὸν κύκλωπα. ΜΙΓΕΙΣΑ. κοινωνήσασα. ΕΚ ΤΟΥ ΔΗ. ἐκ ταύτης δὴ τῆς αἰτίας. ΕΝΟΣΙΧΘΩΝ. ὁ τὴν γῆν κινῶν. ἔνωσις γὰρ ἡ κίνησις. ΚΑΤΑΚΤΕΙΝΕΙ. ἀναιρεῖ. ΠΛΑΖΕΙ. πλανᾶσθαι ποιεῖ. ΑΠΟ. πόρρω. ΠΕΡΙ ΦΡΑΖΩΜΕΘΑ. βουλευσώμεθα. ΝΟΣΤΟΝ. τὴν ἐπάνοδον. ΜΕΘΗΕΙ. ἐάσει παύσει. ΑΝΤΙΑ. ἀντικρύ. ΑΕΚΗΤΙ. ἀκουσίῳ γνώμῃ. ΕΡΙΔΑΙΝΕΜΕΝ.

φιλονικεῖν.



φιλονικεῖν. ΦΙΛΟΝ. προσφιλές, ἀρεστόν. ΝΟΣΤΗΣΑΙ. ἐπανελθεῖν. ΟΝΔΕ ΔΟΜΟΝΔΕ. εἰς τὸν ἑαυτοῦ οἶκον. ΔΙΑΚΤΟΡΟΝ. ἄγγελον σαφῆ. ΩΓΥΓΙΗ. ἡ καλυψοῦς νῆσος. ΟΤΡΥΝΩΜΕΝ. παρορμήσωμεν, ἐπείξωμεν. ΕΥΠΛΟΚΑΜΩ. εὐκόμῳ. ἀπὸ μέρους καλῇ. ΤΑΛΑΣΙΦΡΟΝΟΣ. τῇ ἑαυτοῦ φρονήσει πάντα ὑπομένοντος. ΝΕΗΤΑΙ. ἐπανέλθῃ. ΕΠΟΤΡΥΝΩ. παρορμήσω. ΑΧΑΙΟΥΣ. τοὺς ἰθακησίους. ΑΠΕΙΠΕΜΕΝ. ἀπαγορεῦσαι. ΟΙ ΤΕ ΟΙ. οἵτινες αὐτῷ. ΑΔΙΝΑ. ἤτοι λεπτὰ πρὸς σύγκρισιν τῶν βοῶν. ἢ ἀντὶ τοῦ ἀδινῶς, ἵνα ᾖ πυκνῶς καὶ συνεχῶς. ΕΛΙΧΑΣ. ἑλικοειδῆ κέρατα ἔχοντας. ΗΜΑΘΟΕΝΤΑ. ἀμμώδη. ΠΕΥΣΟΜΕΝΟΝ. ἀκουσόμενον. ΗΝ ΠΟΥ. ἐάν που. ΑΜΒΡΟΣΙΑ. τίμια. ΤΑ ΜΙΝ. ἅπερ αὐτήν. ΑΠΕΙΡΟΝΑ. τὴν πέρας καὶ τέλος μὴ ἔχουσαν, λέγει δὲ τὴν γῆν. ΑΜΑ ΠΝΟΙΗΣ ΑΝΕΜΟΙΟ. ἴσα ἀνέμῳ. ΕΙΛΕΤΟ Δ ΑΛΚΙΜΟΝ ΕΓΧΟΣ. ἀθετοῦνται μετὰ ἀστερίσκων. ὅτι ἐν τῇ τῆς ἰλιάδος καλῶς. ΑΚΑΧΜΕΝΟΝ. ἐστομωμένον. ΚΟΤΕΣΣΕΤΑΙ. ὀργισθήσεται. ΒΗ. ἔβη, ἐπορεύθη. ΟΒΡΙΜΑ. γενναῖα. ΔΗΜΩ. τόπῳ ἐν ἰθάκῃ ὅπου ἦν τοῦ ὀδυσσέως βασίλειον. ΟΥΔΟΥ. βαθμοῦ φλιᾶς. ΠΑΛΑΜΗ. τῇ χειρί. ΤΑΦΙΩΝ. τάφος ἡ νῆσος τῆς ἐχινάδων ἣν κατῴκουν [Taphos] τηλεβόαι. ΑΓΗΝΟΡΑΣ. ἄγαν αὐθάδεις, ὑβριστάς. ΠΕΣΣΟΙΣΙ. τοῖς κύβοις ἀπὸ δὲ τοῦ παίζειν ἐχημάτισαι. ἢ παρὰ τὸ πίπτειν, πεσσοὶ δὲ οἱ ψῆφοι. ΠΡΟΠΑΡΟΙΘΕΝ. ἔμπροσθεν.

προσθεν. ΗΜΕΝΟΙ ΕΝ ΡΙΝΟΙΣΙ. διὰ τούτου δὲ βίαι-
ον ἐμφαίνει τῶν μνηστήρων, τὸ τὰς βύρσας ὑποστρων-
νύειν τοῖς θρόνοις καθημένοις. ΡΙΝΟΙΣΙ. βύρσαις. ΕΚ ΤΑ-
ΝΟΝ ἀνεῖλον. ΟΤΡΗΡΟΙ. δραστικοί. ΠΟΛΥΤΡΗΤΟΙ-
ΣΙ. πανταχόθεν τετρημένοις. ΝΙΖΟΝ. ἀπένιπτον.
ἰδὲ ἀντὶ τοῦ καί. ΠΡΟΤΙΘΕΝΤΟ. προσετίθεσαν. ΔΑ-
ΤΕΥΝΤΟ. ἐμέριζον. ΤΕΤΙΜΕΝΟΣ ΗΤΟΡ. τετιμωρη-
μένος τὴν ψυχήν. ΟΣΣΟΜΕΝΟΣ ἀνειδωλοποιούμε-
νος, προσδοκῶν, ἢ τοῖς ὀφθαλμοῖς ὑποβλέπων. ΣΧΕ-
ΔΑΣΙΝ. σκορπισμὸν φυγήν. ΘΕΙΗ. ποιήσειε. ΚΤΗΜΑ-
ΣΙ. δώμασι. ΑΝΑΣΣΟΙ. βασιλεύοι. ΤΑ ΦΡΟΝΕΩΝ.
ταῦτα ἐνθυμούμενος. ΜΕ ΘΗΜΕΝΟΣ. σὺν αὐτοῖς κα-
θήμενος. ΒΗ Δ' ΙΘΥΣ ΠΡΟΘΥΡΟΙΟ. ἐπ' εὐθείας ὡς ἐπὶ
τὸ πρόθυρον οὐκ ἔνδον, ἀλλὰ πρὸ τῆς ἐν τῷ τυκτῷ
καλουμένῳ δαπέδῳ. ΝΕΜΕΣΗΘΗ. μεμπτὸν ἡγήσα-
το. ΦΙΛΗΣΕΑΙ. φιλοφρονηθήσῃ, ξενισθήσῃ. ΔΕΙΠΝΟΥ.
τοῦ κατὰ τὴν ἡμέραν ἀρίστου. ΜΥΘΗΣΕΑΙ. εἰς λόγους ἥξεις
καὶ λέξεις. ΟΤΤΕΟ ΣΕ ΧΡΗ. εἴ τινός σοι χρεία ἐστί. ΚΙΟ-
ΝΑ. στῦλον. ΕΝΤΟΣΘΕΝ ἔσωθεν. ΔΟΥΡΟΔΟΚΗΣ.
δορατοθήκης. νοητέον δὲ ἀπεξύσθαι τοὺς κίονας, καὶ ἐν-
ταῦθα ἀποτίθεσθαι τὰ δόρατα. ΕΥΞΟΟΥ. καλῶς ἐξεσ-
μένης. ΛΙΤΑ. λεπτὸν περιβόλαιον. ΠΕΤΑΣΑΣ. ἁπλώ-
σας. ΔΑΙΔΑΛΕΟΝ. ποικίλον. ΘΡΗΝΥΣ. ὑποπόδιον.
ΚΛΙΣΜΟΝ. δίφρον, ἀνάκλιτον ἔχοντα καθέδραν. ΘΗ-
ΤΟ. ἀπέθετο. ΕΚ ΤΟΣΘΕΝ. χωρίς, ἰδία, ἔξωθεν. ΑΝΙΗ-
ΘΕΙΣ.



ΘΕΙΣ. λυπηθείς. ΟΡΥΓΜΑΔΩ. κυρίως μὲν τοῦ ἐν ὄρει
ψόφου. ἔστι δὲ κατὰ τὸ ἔτυμον ὀρομαγδῷ. νῦν δὲ ἀντὶ τοῦ
θορύβου. ΑΔΗΣΕΙΕΝ. ἀηδῶς διατεθείη. ΥΠΕΡΦΙΑΛΟΙ-
ΣΙ. ὑπερηφάνοις ὑπερασπόνδοις. ΜΕΤΕΛΘΩΝ. συνελθών.
ΑΠΟΙΧΟΜΕΝΟΙΟ. ἀπόντος ἀποδημοῦντος. ΕΡΟΙΤΟ.
ἐρωτήσειε, πύθοιτο. ΧΕΡΝΙΒΑ. τὰ ἐπὶ τῶν χειρῶν ὕδατα.
ΑΜΦΙΠΟΛΟΣ. θεράπαινα ἀπὸ τοῦ περὶ τὴν δέσποιναν πο-
λεῖσθαι, ὅπερ ἐστὶν ἀναστρέφεσθαι. ΠΡΟΧΟΩ. ἀγγείῳ προ-
χυτικῷ, ἀπὸ τοῦ χέειν τὸ ὕδωρ, τῷ καθ' ἡμᾶς ξέστῃ. ΕΠΕ-
ΧΕΥΕ. ἐπέβαλλεν. ΛΕΒΗΤΟΣ. τοῦ καθ' ἡμᾶς χερνίβου.
ΞΕΣΤΗΝ. τὴν καλῶς ἐξεσμένην καὶ κατεσκευασμένην.
ΕΤΑΝΥΣΣΕ. ἐξέτεινε, παρέθηκε. ΤΑΜΙΝ. ταμιοῦχος φύ-
λαξ. ΔΙΔΟΙΗ. αἰδοῦς ἀξία τιμία. ΕΙΔΑΤΑ. βρώμα-
τα, ἐδέσματα. ΧΑΡΙΖΟΜΕΝΗ ΠΑΡΕΟΝ ΤΩΝ. ἐκ
τῶν παρόντων ἐπιδιδοῦσα. ΔΑΙΤΡΟΣ. μάγειρος ὁ διανέ-
μων τὰ κρέα. ΠΑΡΑ ΔΕ ΣΦΙ. παρ' αὐτοῖς δέ. ΘΑΜ' Ε-
ΠΩΧΕΤΟ. τὸ σπουδαῖον τοῦ κήρυκος δηλοῖ. ΘΑΜΑ.
πυκνῶς, συνεχῶς. ΕΠΩΧΕΤΟ. ἐπορεύετο. ΟΙΝΟΧΟΕΥ-
ΩΝ. οἰνοχοῶν κιρνῶν. ΑΓΗΝΟΡΕΣ. ἄγαν αὐθάδεις.
ΕΖΟΝΤΟ. ἐκαθέσθησαν. ΤΟΙΟΝ. τοιοῦτον. ΚΛΙΣΜΟΥΣ.
δίφρους, καθέδρας. ΕΧΕΥΑΝ. ἐπέβαλλον. ΠΑΡΑΝΗ-
ΝΕΟΝ. παρεσώρευον. ἐκ τούτου δὲ τὸ πλῆθος τῶν ἐδε-
σμάτων ἐμφαίνει. ΚΑΝΕΟΙΣΙ. κανισκίοις. ΟΝΕΙΑΤΑ.
τὰ ὄνησιν ἐμποιοῦντα ἐδέσματα. ΙΑΛΛΟΝ. ἐδίδο-
σαν, ἐξέτεινον. ΝΩΜΗΣΑΝ. ἐμέρισαν. ΑΥΤΑΡ ΕΠΕΙ.
ἐπειδὴ δέ. ΠΟ-

ΠΟΣΙΟΣ. βρώσεως. ΕΞ ΕΡΟΝ ΕΝΤΟ. ἐπλήρωσαν
τὴν ἐπιθυμίαν. ΤΟΙΣΙ ΜΕΝ ΕΝΙ ΦΡΕΣΙΝ ΑΛΛΑ ΜΕ-
ΜΗΛΕΙ. πιθανῶς ἵνα ὁ τηλέμαχος καιρὸν σχῇ. ΜΕ-
ΜΗΛΕΙ. ἔμελλεν. ΜΟΛΠΗ. ἡ μετ᾽ ᾠδῆς παιδιά.
ἡ ᾠδή. ΟΡΧΗΣΤΥΣ. ὄρχησις. ΑΝΑΘΗΜΑΤΑ ΔΑΙ-
ΤΟΣ. τῆς εὐωχίας τὸ κόσμημα. ἡ μεταφορὰ ἀπὸ τῶν
τοῖς θεοῖς ἀνατιθεμένων. ΚΙΘΑΡΙΝ. κιθάραν. ΠΕΡΙ-
ΚΑΛΛΕΑ. ἄγαν ἐκπρεπῆ. ΟΣ ΡΗΕΙΔΕ ΠΑΡΑ ΜΝΗ-
ΣΤΗΡΣΙΝ ΑΝΑΓΚΗ. προανεφώνησε ἵνα ὁ φήμιος σω-
θῇ ἐν τῇ μνηστηροφονίᾳ. ΗΕΙΔΕΝ. ᾖδεν. ΦΟΡΜΙΖΩΝ.
κιθαρίζων. ΑΝΕΒΑΛΛΕΤΟ. ἀνεκρούετο. προοιμιάζετο.
ΠΕΥΘΟΙΑΤΟ. ἀκούσειαν. ΑΓΧΙ ΣΧΩΝ. ἐγγὺς προ-
σενεγκών. ΟΤΙΚΕΝ. ὅπως ἄν. ΝΕΜΕΣΗΣΕΑΙ. μέμ-
ψῃ. ΑΟΙΔΗ. ᾠδή. ΡΕΙ ΕΠΕΙ ΑΛΛΟΤΡΙΟΝ. τὸ ἑξῆς
ἐπεὶ ῥεῖ ἀλλότριον. ΒΙΟΤΟΝ. περιουσίαν. ΝΗΠΟΙ-
ΝΟΝ. ἀτιμώρητον ἀνεκδίκητον. ΕΔΟΥΣΙΝ. ἐσθίου-
σιν. ΟΥ. οὗ τινος. ΠΥΘΕΤΑΙ. σήπεται. ΕΠ ΗΠΕΙ-
ΡΟΙΟ. ἐπὶ τῆς γῆς. ΕΙΝ ΑΛΙ. ἐν τῇ θαλάσσῃ. ΚΥ-
ΛΙΝΔΕΙ. κυλίει. ΙΔΟΙΑΤΟ. θεάσοιντο. ἴδοιεν. ΑΡΗ-
ΣΑΙΑΤΟ. εὔξαιντο. ΑΦΝΕΙΟΤΕΡΟΙ. πλουσιώτεροι.
ΩΣ. οὕτως ὡς ἔχει. ΑΠΟΛΩΛΕ. ἀπώλετο, ἀπέθα-
νεν. ΘΑΛΠΩΡΗ. ἐλπὶς σωτηρία. ἀσφάλεια. σκέπη.
ΦΗΣΙΝ. φαίη εἴπῃ. ΕΛΕΥΣΕΣΘΑΙ. ἐλθεῖν. ΩΛΕΤΟ.
ἀπώλετο. ΕΙΣ. ὑπάρχεις. ΝΟΣΤΙΜΟΝ ΗΜΑΡ. ἡ εἰς
τὰ οἰκεῖα ἐπάνοδος. ΠΟΘΙ. που. ΤΟΚΗΕΣ. γονεῖς.





ὤφελον. ΝΥ ΤΕΥ. δή τινος. ΚΤΕΑΤΕΣΙ. κτήμασι.
ΕΟΙΣ ΕΠΙ. ἐπὶ τοῖς ἰδίοις. ΕΤΕΤΜΕ. κατέλαβε.
ΑΠΟΤΜΟΤΑΤΟΣ. δυστυχέστατος. ΕΡΕΕΙΝΕΙΣ. ἐρω-
τᾷς, πυνθάνῃ. ΝΩΝΥΜΟΝ. ἀνώνυμον, ἄδοξον.
ΔΑΙΣ. εὐωχία. ΟΜΙΛΟΣ. ἄθροισμα, πλῆθος. ΕΠΛΕ-
ΤΟ. ὑπάρχει. ΧΡΕΩ. χρεία. ΕΙΛΑΠΙΝΗ. ἡ μεγά-
λη εὐωχία, ἐν ᾗ κατὰ εἴλας καὶ συστροφὰς εὐωχοῦνται.
ΕΠΕΙ ΟΥΚ ΕΡΑΝΟΣ. τοῦ ἐράνου κοσμιωτέρα, καὶ
εὐτελεστέρου ὄντος. καὶ εἰκότως. ὁ μὲν γὰρ γάμος καὶ
αἱ λοιπαὶ εὐωχίαι, φιλίας τινὸς γίνονται. ὁ δὲ ἔρανος ὡς
ἕκαστός τι κομίσειεν. ΕΡΑΝΟΣ. τὸ ἀπὸ συμβολῆς δεῖ-
πνον. ΔΟΚΕΟΥΣΙ. δοκοῦσι, φαίνονται. ΝΕΜΕΣΣΗΣΑΙ-
ΤΟ. μεμπτὸν ἡγήσαιτο. ΑΙΣΧΕΑ. αἰσχύνας. ΠΙΝΥ-
ΤΟΣ. σώφρων, συνετός. ΑΝΕΙΡΕΑΙ. ἀνερωτᾷς. ΜΕ-
ΤΑΛΛΑΣ. ἐπιζητεῖς. ΜΕΤΕΛΘΟΙ. ἐπέλθοι. ΜΕΛΛΕΝ.
ὤφελεν. αὕτη ἡ λέξις οὐδέποτε κεῖται παρὰ τῷ ποιη-
τῇ ὡς ἐν τῇ συνηθείᾳ χρονικῶς, ἀλλ᾽ ἑκάστοτε ἀντὶ τοῦ
ἔοικε. ΜΕΤΑΛΛΑΣ. ἐπιζητεῖς, ἐρωτᾷς. ΕΠΙΔΗΜΙΟΣ.
ἐπιδημῶν, παρών. ΕΤΕΡΩΣ. ἄλλως. ΕΒΟΥΛΟΝΤΟ.
ἠβούλοντο, ἤθελον. ΜΗΤΙΟΩΝΤΕΣ. βουλευόμενοι.
ΑΙΣΤΟΝ. ἀνιστόρητον, ἀφανῆ. ΑΚΑΧΟΙΜΗΝ. λυποίμην.
ΔΑΜΗ. ἐδαμάσθη, ἀπηνέχθη. ΤΟΛΥΠΕΥΣΕ. κατεργά-
σατο μεταφορικῶς. καὶ ἐκ τῶν τῶν ἐρίων τῶν ἤδη κατειρ-
γασμένων εἰλήσιν, πολύπην λέγομεν. ΤΥΜΒΟΝ. τά-
φον. Ω. ἰδίῳ. ΗΡΑΤΟ. περιεποιήσατο, ἀπηνέγκατο.

ἔρανος

ΑΚΛΕΙΩΣ. ἀδόξως. ΑΡΠΥΙΑΙ. δαίμονες, ἢ ἄνεμοι ἁρπακτικοί. ΑΝΗΡΕΙΨΑΝΤΟ. ἀνήρπασαν. ΑΙΣΤΟΣ. ἀνιστόρητος, ἀφανής. ΑΠΥΣΤΟΣ. ἀνήκοος. ΟΔΥΝΑΣ. λύπας. ΚΑΛΛΙΠΕΝ. κατέλιπεν. ΓΟΟΥΣ. θρήνους. ΣΤΕΝΑΧΙΖΩ. στενάζω. ΕΠΕΙΝΥΜΟΙ. ἐπιδήμοι. ΕΤΕΥΞΑΝ. κατεσκεύασαν. ΕΠΙΚΡΑΤΕΟΥΣΙ. κρατοῦσιν, ἄρχουσι. ΔΟΥΛΙΧΙΩ. νήσῳ κατὰ τὴν κεφαλληνίαν. ΖΑΚΥΝΘΩ. νήσῳ καὶ αὐτῇ τῆς κεφαλληνίας. ΣΑΜΗ. τὴν σάμον, σάμην εἶπε. ἔτι δὲ καὶ αὕτη κατὰ τὴν κεφαλληνίαν. ΚΡΑΝΑΗΝ. τραχεῖαν. ΚΟΙΡΑΝΕΟΥΣΙ. βασιλεύουσι. ΜΝΩΝΤΑΙ. μνηστεύονται. ΤΡΥΧΟΥΣΙ. καταδαπανῶσι. ΣΤΙΓΕΡΟΝ. μισητὸν, φοβερόν. ΤΕΛΕΥΤΗΝ. τέλος, τελείωσιν. ΦΘΙΝΥΘΟΥΣΙ. φθείρουσιν, ἐλαττοῦσι. ΕΔΟΝΤΕΣ. ἐσθίοντες. ΤΑΧΑ. αὕτη ἡ λέξις οὐ τίθεται παρὰ τῷ ποιητῇ διστακτικῶς ὡς ἐν τῇ συνηθείᾳ. ἀλλ' ἑκάστοτε ἀντὶ τοῦ ταχέως. ΔΙΑΡΡΑΙΣΟΥΣΙ. διαφθείρουσι. ΕΠΑΛΑΣΤΗΣΑΣΑ. ἐπὶ τοῖς λεχθεῖσιν ὡς ἀλάστοις καὶ δεινοῖς οὖσι δεινοπαθήσασα. ἐὰν δὲ ᾖ χωρὶς τοῦ ε, παλαστήσασα ἔσται τῷ παλαιστῇ ὅ ἐστι τῷ ἀγκῶνι τῆς χειρὸς νύξασα. ΗΔΗ. ἀληθῶς δή. ΠΑΛΛΑΣ. ἐπιθετικῶς ἡ Ἀθηνᾶ, ἀπὸ τοῦ πάλλειν τὸ δόρυ, ἢ ὅτι πάλλαντα ἀνεῖλεν ἕνα τῶν γιγάντων. ΠΟΛΛΟΝ ΑΠΟΙΧΟΜΕΝΟΥ. ἐπὶ πολὺ ἀποδημοῦντος, ἢ πολλὴν, δι' ἧς ἐπὶ πολὺ λείπει τόπος μακρὰν ὑποχωρῶν.

τάχα





ΔΕΥΕΙ. ἐνδεῖ, λείπει. ΟΚΕ. ὅς τις δὴ, ὅς τις ἄν. ΕΦΕΙΝ. ἐπιβάλλειν. ΕΙ ΓΑΡ. εἴθε γάρ. ΔΟΜΟΥ. οἴκου. ΕΝ ΠΡΩΤΗΣΙ ΘΥΡΗΣΙ. ἐν αὐταῖς ταῖς πρώταις θύραις. ΣΤΑΙΗ. στῇ. ΠΗΛΗΚΑ. περικεφαλαίαν. ΔΟΥΡΕ. δόρατα δυϊκῶς. ΝΟΗΣΑ. ἐθεασάμην. ΟΙΚΩ ΕΝ ΗΜΕΤΕΡΩ ΠΙΝΟΝΤΑ. τὸν ἀγαθὸν πᾶς δείκνυσι καιρὸς οἷος ἂν ᾖ ἐν τοῖς ἔργοις. ΕΦΥΡΗΣ. πόλεως θεσπρωτίας. ἔφυραι δὲ τρεῖς εἰσίν, ἥτε θεσπρωτική, ἡ νῦν κόρινθος, καὶ ἡ περὶ τὴν ἦλιν. ΑΝΙΟΝΤΑ. ἀνερχόμενον. ΜΕΡΜΕΡΙΔΑΟ. μερμέρου παιδός. ΑΝΔΡΟΦΟΝΟΙΟ. ἄνδρας φονεύοντος. ΔΙΖΗΜΕΝΟΣ. ζητῶν. ΟΙ. αὐτῷ. ΩΧΕΤΟ. ἀπῆλθε. ΘΟΗΣ. ταχείας. ΙΟΥΣ ΧΡΙΕΣΘΑΙ. προπαρεσκεύασεν ἵνα μὴ ζητῶμεν πῶς ἀπὸ μιᾶς πληγῆς ἀναιροῦνται οἱ μνηστῆρες. ΙΟΥΣ. βέλη. ΧΑΛΚΗΡΕΑΣ. χαλκῷ ἡρμοσμένους. ΝΕΜΕΣΙΖΕΤΟ. ἐσέβετο, ἐνετρέπετο. ΦΙΛΕΕΣΚΕ ΓΑΡ ΑΙΝΩΣ. ἐπεὶ οἶδεν ὅτι κατ' ἐχθρῶν στήσεται. ΟΜΙΛΗΣΕΙΕ. συναναστραφείη. ΓΕΝΟΙΑΤΟ. γένοιντο. ΘΕΩΝ ΕΝ ΓΟΥΝΑΣΙ ΚΕΙΤΑΙ. ἐν τῇ τῶν θεῶν ἐξουσίᾳ ἐστί. ΠΙΚΡΟΓΑΜΟΙ. ἐπὶ κακῷ τῷ ἑαυτῶν τὸν γάμον τὸν μνηστευσόμενοι. ΑΠΟΤΙΣΕΤΑΙ. τιμωρίαν εἰσπράξεται. ΑΝΩΓΑ. κελεύω. ΑΠΩΣΕΑΙ. ἀπωθήσεις, ἐκβαλεῖς. ΜΕΓΑΡΟΙΟ. τοῦ οἴκου, τῆς οἰκίας. ΞΥΝΙΕΙ. νόησον, ἄκουσον. ΕΜΠΑΖΕΟ. ἐπιστρέφου, ἀντιποιοῦ, φρόντιζε.

∴ μητέρ ἀντί τοῦ μήτηρ



ΠΕΦΡΑΔΕ. εἰπέ. ΕΣΤΩΝ. ἔστωσαν, ὑπαρχέτωσαν. ΣΦΕΤΕΡΑ. τὰ ἴδια. ΣΚΙΔΝΑΣΘΑΙ. σκορπίζεσθαι. ΑΝΩΧΘΙ. κέλευε. ΜΗΤΕΡΑ. τῇ ἀρχαίᾳ συνηθείᾳ ἐγέγραπτο μητέρα ἀντὶ τοῦ μητρ, τοῦτο ἀγνοήσας τις προσέθηκε τὸ ά, ἢ στικτέον, μητέρα δὲ ὑποκειμένως τὸ διασκεπτόμενον. ΑΤ. ἐπίρρημα συνταγματικόν. ΠΑΛΙΝ. εἰς τοὐπίσω, καὶ ἐκ δευτέρου. ΕΦΟΡΜΑΤΑΙ. ἐπιθυμεῖ, προΐεται. ΓΑΜΕΕΣΘΑΙ. γαμηθῆναι. ΙΤΩ. ἀπίτω, ἀπερχέσθω, πορευέσθω. ΜΕΓΑ ΔΥΝΑΜΕΝΟΙΟ. μέγα ἰσχύοντος ἐν τῷ ἐκδοῦναι. ΤΕΥΞΟΥΣΙ. ποιήσουσι, κατασκευάσουσι. ΑΡΤΥΝΕΟΥΣΙΝ. ἑτοιμάσουσιν. ΕΕΔΝΑ. δῶρα τὰ διδόμενα ὑπὸ τοῦ γαμοῦντος τῇ γαμουμένῃ. ΕΟΙΚΕ. προσήκει, πρέπει. ΕΠΕΣΘΑΙ. ἀκολουθεῖν. ΠΥΚΙΝΩΣ. πυκνῶς, συνετῶς. ΥΠΟΘΗΣΟΜΑΙ. συμβουλεύσω. ΠΙΘΗΑΙ. πεισθῇς. ΑΡΣΑΣ. ἁρμόσας, εὐτρεπίσας. ΕΡΕΤΗΣΙ. ἐρέταις, κωπηλάταις. ΕΕΙΚΟΣΙΝ. εἴκοσιν. ΕΡΧΕΟ. ἀπέρχου. ΠΕΥΣΟΜΕΝΟΣ. ἀκουσόμενος. ΟΙΧΟΜΕΝΟΙΟ. ἀποδημοῦντος. ΗΝ ΤΙΣ. ἐάν τις. ΗΤΕ ΜΑΛΙΣΤΑ ΦΕΡΕΙ. κληδόνα καὶ φήμην περὶ ἀγνοουμένων. ΚΛΕΟΣ. νῦν κληδόνα τουτέστι κλέος καὶ δόξαν. ΠΡΩΤΑ ΜΕΝ ΕΙΣ ΠΥΛΟΝ. πέμπει αὐτὸν παιδευθησόμενον, καὶ ἅμα ἔνδοξον ἐσόμενον. ἐπεὶ διὰ πατέρα ἀπεδήμησεν. ΕΙΡΕΟ. ἐρώτησον. ΚΕΙΘΕΝ. ἐκεῖθεν. ΟΣ ΓΑΡ. οὗτος γάρ. ΞΑΝΘΟΝ. πυρρόν. ΔΕΥΤΑΤΟΣ.

ἔσχατος.



ἔσχατος. ΒΙΟΤΟΝ. βίον, ζωήν. ΗΤ' ΑΝ. καίπερ. ΤΡΥΧΟΜΕΝΟΣ. καταπονούμενος. ΤΛΑΙΗΣ. καρτερήσειας, ὑπομείνειας. ΤΕΘΝΗΚΩΤΟΣ. τετελευτηκότος, ἀποθανόντος. ΣΗΜΑ. τάφον. ΧΕΥΣΑΙ. χῶσαι, ἀντὶ τοῦ χῶσον. ΚΤΕΡΕΙΞΑΙ. ἐνταφιάσαι. ΚΤΕΡΕΑ. ἐντάφια. ΔΟΥΝΑΙ. ἀντὶ τοῦ δός. ΑΥΤΑΡ ΕΠΗΝ. ἐπειδὰν δὲ. ΤΕΛΕΥΤΗΣΗΣ. τελειώσῃς, πληρώσῃς. ΕΡΞΕΙΣ. πράξεις. ΤΕΟΙΣ. τοῖς σοῖς. ΑΜΦΑΔΟΝ. φανερόν. ΝΗΠΙΑΧΟΙΣ ΟΧΕΥΕΙΝ. τὰ νέων φρονεῖν, καὶ φέρειν. ἢ ὀχεῖσθαι ὑπὸ νεότητος, τουτέστιν ἄφρονα εἶναι. ΤΗΛΙΚΟΣ. τηλικοῦτος μικρός, ἀντὶ τοῦ πάνυ νέος. ΕΣΣΙ. ὑπάρχεις. ΑΙΕΙΣ. ἀκούεις, αἰσθάνῃ. ΠΑΤΡΟΦΟΝΗΑ. τὸν τοῦ πατρὸς φονέα. ΔΟΛΟΜΗΤΙΝ. δόλια βουλευόμενον. ΕΚΤΑ. ἀπέκτεινεν. ΟΨΙΓΟΝΩΝ. μεταγενεστέρων. ΕΣΟ. γίνου. ΚΑΤΕΛΕΥΣΟΜΑΙ. κατέρχομαι. ΑΣΧΑΛΟΩΣΙ. δυσανασχέτως ἔχουσι, δυσχεραίνουσι. ΦΙΛΑΦΡΟΝΕΩΝ. φιλοφρονούμενος. ΜΕΛΕΤΩ. ἐν ἐπιμελείᾳ ἔστω. ΕΜΠΑΖΕΟ. ἐπιστρέφου, ποίει, καὶ σέβου. ΛΗΣΟΜΑΙ. ἐπιλάθωμαι. ΕΠΕΙΓΟΜΕΝΟΣ. σπεύδων. ΛΟΕΣΣΑΜΕΝΟΣ. λουσάμενος. ΤΕΤΑΡΠΟΜΕΝΟΣ. τερφθείς. ΚΙΗΣ. πορευθῇς. ΤΙΜΗΕΝ. τίμιον. ΚΕΙΜΙΛΙΟΝ. ἀπόθετον χρῆμα. ΚΑΤΕΡΥΚΕ. κάτεχε, κώλυε. ΑΝΩΓΕΙ. βούλεται, προστάσσει. ΑΥΤΙΣ ΑΝΕΡΧΟΜΕΝΩ. ὑποστρέφοντι ἐκ τῆς Ἰταλίας. ΦΕΡΕΣΘΑΙ. ἀποφέρειν. Η ΜΕΝ ΑΡΑ. αὕτη

Beletrophō-
tes

μὴ. ΑΜΟΙΒΗΣ. χάριτος. ΑΞΙΟΝ ΕΣΤΑΙ ΑΜΟΙΒΗΣ.
ἀξίως ἀμείψασθαι. ἢ τοὐναντίον. παρ' ἐμοῦ καλὸν δῶ-
ρον λάβοις ἄν. ὥστε ἄξιον ἀμοιβῆς γενέσθαι. καὶ γὰρ
οἱ ξενισθέντες ἐδίδοσαν δῶρα. βελεροφόντης γὰρ χρυ-
σοῦν ποτήριον. ΑΠΕΒΗ ἀπῆλθεν. ΗΜΕΝ. αὕτη μὲν
ΟΡΝΙΣ Δ' ΩΣ. καθάπερ δὲ ὄρνις. ΑΝΟΠΑΙΑ. εἶδος
ὀρνέου, ἢ διὰ τῆς ὀπῆς, ἢ ἀόρατος. διὰ τὸ ὡς ὄρνις
ταχέως ὁρμῆσαι. καὶ Ἀρίσταρχος δὲ φησὶν ὄνομα ὀρ-
νέου. ἢ ἀνόπαια ὡς φωνὴ εἰδομένη, ἔνιοι δὲ ἀνὰ τοὺς
ὦπας, ὅ ἐστι τοὺς ὀφθαλμούς. ΘΑΜΒΗΣΕΝ. ἐξεπλά-
γη, ἐθαύμασεν. ΔΙΕΠΤΑΤΟ. διέπτη. ΥΠΕΜΝΗΣΕΝ.
ὑπομνησθῆναι, ἐποίησεν. ΟΙΣΑΤΟ. ὑπενόησεν. ΙΣΟ-
ΘΕΟΣ. ὅμοιος θεῷ κατὰ ἀρετήν. ΦΩΣ. ὁ ἀνήρ. ΑΟΙ-
ΔΟΣ. ὁ φήμιος δηλονότι. ΕΠΩΧΕΤΟ. ἐπορεύετο. ΑΕΙ-
ΔΕΝ. ᾖδεν. ΠΕΡΙΚΛΥΤΟΣ περιφανοῦς ἔνδοξος. ΕΙΑΤΟ ἐκά-
θηντο. ΛΥΓΡΟΝ χαλεπόν. ΕΠΕΤΕΙΛΑΤΟ προσέταξε.
ΥΠΕΡΩΙΟΘΕΝ. ἐκ τοῦ ἀνωγαίου οἴκου, ἐκ τοῦ ὑπερῴου.
ΣΥΝΘΕΤΟ. συνῆκεν, ἢ ἤκουσεν. ΘΕΣΠΙΝ. θείαν, θαυ-
μαστήν. ΠΥΚΑΡΟΙΗΤΟΙΟ. τῆς ἐπιμελῶς κατεσκευα-
σμένου. ΚΑΤΕΒΗΣΕΤΟ. κατῆλθεν. ΑΦΙΚΕΤΟ. παρε-
γένετο. ΙΚΑΡΟΙΟ. πηνελόπης πατήρ. ΠΕΡΙΦΡΩΝ.
συνετή. ΟΙΟ. τῆς ἑαυτῆς. ΟΙΗ. μόνη. ΔΥ. τὸ πλῆρες
δύο. ΣΤΑΘΜΟΝ. παραστάδα. ΤΕΓΕΟΣ. καταγείου οἴκου.
ΑΝΤΑ. ἔμπροσθεν. ΑΝΤΑ ΠΑΡΕΙΑΩΝ. προκαλυ-
ψαμένη τῷ καλύμματι. ΣΧΟΜΕΝΗ. καλυψαμένη.

κατα-

---



καταχέουσα. ΛΙΠΑΡΑ. ἁπαλά, καλά. ΚΡΗΔΕΜΝΑ.
ἐπὶ τῆς κεφαλῆς περιδέσμια. ΚΕΔΝΗ. προσηνής. ΣΩ-
ΦΡΩΝ. σιωπητή. ΕΚΑΤΕΡΟΘΕΝ. ἐξ ἑκατέρου μέρους.
ΘΕΛΚΤΗΡΙΑ. τὰ θέλγοντα καὶ ἀπατῶντα τοὺς ἀν-
θρώπους. ΚΛΕΙΟΥΣΙΝ. ὑμνοῦσι, δοξάζουσι. ΣΙΩΠΗ.
μετὰ σιωπῆς. ΠΙΝΟΝΤΩΝ. πινέτωσαν ἀττικῶς. ΛΥ-
ΓΡΗΣ. χαλεπῆς. ΤΕΙΡΕΙ. καταπονεῖ. ΚΑΘΙΚΕΤΟ.
καθήψατο. ΑΛΑΣΤΟΝ. ἀνεπίληστον. ΤΟΙΗΝ ΓΑΡ
ΚΕΦΑΛΗΝ. τοιοῦτον γὰρ ἄνδρα. ΚΑΘ' ΕΛΛΑΔΑ.
κατὰ τὴν θετταλίαν, ἀπὸ μιᾶς πόλεως ὀνόματι ἑλλά-
δος. ΕΡΙΗΡΟΝ. ἐναρμόσιον. προσηνῆ. ΟΡΝΥΤΑΙ, προέ-
ρχεται. ΟΙΤΟΝ θάνατον. ΑΛΦΗΣΤΗΣΙΝ. εὑρετικοῖς. ἐπι-
νοητικοῖς, ἐντίμοις. ΕΠΙΚΛΕΙΟΥΣΙ ὑμνοῦσι δοξάζουσι.
ΑΚΟΥΟΝΤΕΣΣΙΝ. ἀκούουσι. ΝΕΩΤΑΤΗ ΑΜΦΙΠΕΛΗ-
ΤΑΙ. περί τινων λέγεται συμπελεσθῆναι. ΕΠΙΤΟΛΜΑ-
ΤΩ. ὑπομενέτω. ΕΝΤΡΟΙΗ ΠΟΛΛΟΙ ΔΕ ΚΑΙ ΑΛ-
ΛΟΙ. διαστολὴ ἀναγνωστέον. οὐ γὰρ ὀδυσσεὺς ἐν τροίᾳ
ἀπώλετο. ΦΩΤΕΣ. ἄνδρες. ΑΛΛ' ΕΙΣ ΟΙΚΟΝ ΙΟΥ-
ΣΑ. ἀθετοῦνται ἐνταῦθα· ἐπὶ δὲ τοῦ ἕκτορος καλῶς.
ΚΡΑΤΟΣ. νῦν ἡ δεσποτεία. ΚΟΜΙΖΕΝ. ἐπιμελείας
ἠξίου. ΗΛΑΚΑΤΗΝ. ἐριουργὸν ἐργαλεῖον. ΕΠΟΙΧΕΣ-
ΘΑΙ. πορεύεσθαι. ΘΑΜΒΗΣΑΣΑ. ἐκπλαγεῖσα. θαυμά-
σασα. ΠΕΠΝΥΜΕΝΟΝ. συνετόν. ΒΕΒΗΚΕΙ. ἐπορεύετο.
ΕΝΘΕΟ ΘΥΜΩ. ἐνέβαλε τῇ ψυχῇ, συνῆκε. ΥΠΕΡΩΙΑ
τὰ ἀνώγεα οἰκήματα. ΟΦΡΑ. μέχρις ὅτε, ἕως. ΟΙ. αὐτῇ.

 ΟΜΑ-

ΟΜΑΔΗΣΑΝ. ἐθορύβησαν. ΑΝΑ ΜΕΓΑΡΑ. κατὰ τοὺς οἴκους. ΣΚΙΟΕΝΤΑ. σύσκια διὰ τὸ ὕψος. ΠΑΡΑ ΛΕΧΕΕΣΣΙ. παρὰ κοίταις. ΚΛΙΘΗΝΑΙ. συγγενέσθαι. ΛΕΧΕΕΣΣΙ. κοίταις. ΥΠΕΡΒΙΟΝ. ὑπερήφανον, βιαίαν ὕβριν ἔχοντες. ΔΑΙΝΥΜΕΝΟΙ. εὐωχούμενοι. ΒΟΗΤΥΣ. βοή, κραυγή. ΚΙΟΝΤΕΣ. ἐλθόντες. ΚΑΤΑΚΕΙΕΤΕ. κοιμᾶσθε. ΑΠΗΛΕΓΕΩΣ. ἀποτόμως, στερρῶς. ΑΠΟΕΙΠΩ. ἀποφανοῦμαι. ΕΞΙΕΝΑΙ. ἐξελθεῖν. ἀντὶ τοῦ ἐξέλθετε. ΑΛΛΑΣ Δ' ΑΛΕΓΥΝΕΤΕ ΔΑΙΤΑΣ. ἄλλας δὲ διὰ φροντίδος ἔχετε εὐωχίας. ΥΜΑ. ὑμέτερα. ΑΜΕΙΒΟΜΕΝΟΙ. ἐκ διαδοχῆς ἀλλήλους ὑποδεχόμενοι, καὶ ἀμοιβῆς. ΔΟΚΕΕΙ. δοκεῖ, νομίζει. ΛΩΙΤΕΡΟΝ. κρεῖττον, βέλτιον. ΚΕΙΡΕΤΕ. συντόμως ἐσθίετε. ΕΠΙΒΩΣΟΜΑΙ. ἐπικαλέσομαι. ΠΑΛΙΝΤΙΤΑ. ὑπὲρ ὧν ἐξ ἑτέρου τιμωρία γίνεται. Ο. διό. ΟΛΟΙΣΘΕ. ἀπόλοισθε. ΟΔΑΞ ΕΝ ΧΕΙΛΕΣΙ ΦΥΝΤΕΣ. ἐνδακόντες τὰ χείλη. ΘΑΡΣΑΛΕΩΣ. τολμηρῶς καὶ τεθαρρηκότως. ΥΨΑΓΟΡΗΝ. μεγαλορήμονα. ΑΜΦΙΑΛΩ. περιρρεομένη πανταχόθεν ὑπὸ τῆς θαλάσσης. ΑΓΑΣΣΕΑΙ. θαυμάσειας ἢ φωνήσειας. ΚΑΙΚΕΝ ΤΟΥΤ' ΕΘΕΛΟΙΜΙ. τὸ ἰδιωτεύειν. διὸς βουλομένου. οὐ δὲ γάρ ἐστι πάνυ καλόν. Η ΦΗΣ. ἢ ἄρα λέγεις. ΒΑΣΙΛΕΥΕΜΕΝ. βασιλεύειν. ΑΡΕΣΘΑΙ. ὑπενέγκασθαι. ΤΙΜΗΕΣΤΕΡΟΣ. τιμιώτερος. ΕΧΗΣΙ. ἐχέτω. ΔΜΩΩΝ. δούλων,





οἰκετῶν. ΛΗΙΣΑΤΟ. λεία γὰρ κυρίως, ἡ τῶν πολεμικῶν λαφύρων συναγωγή. ΒΙΗΦΙ βιαίως, βίᾳ. ΠΟΛΥΒΟΥ ΠΑΙΣ. εὐρύμαχος. ΑΠΟΡΡΑΙΣΕΙ. διαφθερεῖ, ἀποσπάσει. ΝΑΙΕΤΑΩΣΗΣ. οἰκουμένης. ΕΡΕΣΘΑΙ. ἐρωτῆσαι, πυθέσθαι. ΟΠΠΟΘΕΝ. πόθεν. ΠΟΙΗΣ Δ' ΕΞ. ἐκ ποίας δέ. ΕΙΣ ΟΠΑ. τὴν πρόσοψιν. ΑΓΓΕΛΙΗΝ. ἐπαγγελίαν. ΕΩΚΕΙ. ὅμοιος ἦν. ΕΟΝ ΑΥΤΟΥ. ἑαυτοῦ. ΧΡΕΙΟΣ. χρέος, ὄφλημα. ΝΟΣΤΟΣ. ἡ οἴκαδε ἐπάνοδος. ΕΕΛΔΟΜΕΝΟΣ. ἐπιθυμῶν. ΤΟ Δ' ΙΚΑΝΕΙ. ἐνθάδε παραγέγονεν, ἐλήλυθεν. ΑΦΑΡ. ταχέως. ΟΙΟΝ. ἀντὶ τοῦ ὅπως. ΘΕΟΠΡΟΠΙΗΣ. μαντείας. ΕΜΠΑΖΟΜΑΙ. ἀντιποιοῦμαι. ΕΞΕΡΕΗΤΑΙ. ἐρώτηται, πύθηται. ΙΜΕΡΟΕΣΣΑΝ. ἐπέραστον, καλήν. ΤΡΕΨΑΜΕΝΟΙ. τραπέντες. ΕΣΠΕΡΟΝ. ἀντὶ τοῦ ἑσπέραν. ΕΣΠΕΡΟΣ. μετέπλασε τὴν ἑσπέραν εἰς τὸ ἑσπερινὸν δεῖπνον. ΘΑΛΑΜΟΣ. ὁ κοιτών. ΚΑΚΚΕΙΟΝΤΕΣ. κατακοιμηθησόμενοι. ΔΕΔΜΗΤΟ. ᾠκοδόμητο. ΠΕΡΙΣΚΕΠΤΩ. ὑψηλῷ, ὅθεν ἐστὶ περισκέψασθαι, ἢ πάντοθεν ὁρωμένῳ. περιορατῷ. ΧΩΡΩ. τόπῳ. ΜΕΡΜΗΡΙΖΩΝ. διανοούμενος, μεριμνῶν, εἰς πολλὰ μέρη διαιρῶν τὴν ψυχήν. ΑΙΘΟΜΕΝΑΣ. καιομένας, λαμπούσας. ΔΑΙΔΑΣ. δάδας, λαμπάδας. ΚΕΔΝΑ. συνετά, προσφιλῆ. ΕΙΔΗΑ. ἐπισταμένη. ΤΙΕΝ. ἐτίμα. ΩΠΟΣ. περιωπασέον διὰ τὴν ἀντέκφρασιν πρὸς τὸν ὀφθαλμόν.

εἰς.

ὩΠΟΣ ΘΥΓΑΤΗΡ. εὐρύκλεια. ΠΡΙΑΤΟ. ἠγόρασεν.
ΠΡΩΘΗΒΗΝ. πρώτην ἀκμὴν ἡλικίας ἔχουσαν. ΕΕΙ-
ΚΟΣΑΒΟΙΑ. εἴκοσι βοῶν ἄξια. ΙΣΑ. παραπλησίως, ὁμοίως.
ΚΕΔΝΗ. τιμία. ΕΜΙΚΤΟ. ἐμίγη. ΑΛΕΕΙΝΕ. ἐφυ-
λάσσετο. ΦΙΛΕΕΣΚΕΝ. ἐφίλει. ΩΙΞΕΝ. ἀνέῳξεν. ΛΕΚ-
ΤΡΩ. κοίτης. ΠΥΚΑ ΠΟΙΗΤΟΙΟ. καλῶς κατεσκευασ-
μένου. ΕΚΔΥΝΕ. ἐξεδύσατο. ΠΥΚΙΜΗΔΕΟΣ. συνε-
τῆς. ΠΤΥΞΑΣΑ ΚΑΙ ΑΣΚΗΣΑΣΑ. μετ' ἐπιμελείας
διπλώσασα. ΤΡΗΤΟΙΣΙ. τοῖς διατρήτοις ἱμαντοδέτοις.
ΕΠΕΡΥΣΕ. ἐφελκύσατο, ἐπεσπάσατο. ΚΟΡΩΝΗ. τῷ
λεγομένῳ κόρακι. ΕΠΙ ΔΕ ΚΛΗΙΔ' ΕΤΑΝΙΣΕΝ
ΙΜΑΝΤΙ. τὸ λεγόμενον ἐφ' ἡμῶν κλεῖθρον. δύο δὲ
τοῦτο εἶχεν ἱμάντας ἐξηρτημένους διά τινων τρή-
σεων, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν, εἰς τὸ
δύνασθαι ἀνοῖξαι καὶ κλεῖσαι. νῦν οὖν τὸ κλεῖθρον
περιέτεινε καὶ περιήγαγε τῷ ἱμάντι. ΚΟΡΩΝΗ. τῷ
ἐπισπαστῆρι τῆς θύρας. ΟΙΟΣ ΑΩΤΩ. τῷ ἄνθει, καὶ τῷ
καλλίστῳ τοῦ προβάτου. λέγει δὲ τοῦ ἐξ ἁπαλῶν ἐρίων
γεγονότων περιβολαίων. ΒΟΥΛΕΥΕ. ἐβουλεύετο. ΠΕ-
ΦΡΑΔΕ. εἶπεν, ἐσήμανεν.

# ΟΔΥΣΣΕΙΑΣ Β. ΟΜΗ-ΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Συναγαγὼν ἐκκλησίαν Τηλέμα-
χος παραγγέλλει τοῖς μνηστῆρσιν
ἐξιέναι τῆς οἰκίας τοῦ Ὀδυσσέως.
καὶ λαβὼν παρὰ μὲν Εὐρυκλείας τὰ
πρὸς τὴν ἀποδημίαν ἐπιτήδεια,
παρὰ δὲ Ἀθηνᾶς ἑταίρους καὶ ναῦν εἰς πλοῦν ἀνάγεται
ἡλίου δύναντος. ΗΜΟΣ. ἡνίκα, ὅτε. ΗΡΙΓΕΝΕΙΑ. τὸν
ὄρθρον γεννῶσα. τουτέστι τὴν πρωΐαν ἡ ἐν τῷ ἦρι
γενομένη, ὅ ἐστιν ὄρθρος. ῥοδοδάκτυλος δὲ ἀπὸ τῆς
πρωϊνῆς ἀνατολῆς καὶ τοῦ χρώματος τοῦ περὶ τὸ διάστημα
τὸ πρωϊνὸν τῆς ἡμέρας διὰ ἐπιθέτου, κεκόσμηκεν. ΡΟ-
ΔΟΔΑΚΤΥΛΟΣ. ῥοδοδάκτυλος ἀπὸ μέρους καλή. ΗΩΣ.
διάφορα σημαίνει τήν τε γὰρ σωματοειδῆ θεόν. διὰ
τὸ φάναι τὸν ποιητήν. ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθω-
νοῖο. ὤρνυθ' ἵν' ἀθανάτοισι φόως φέρει ἠδὲ βροτοῖσι, καὶ
τὸν ὄρθρον φερωνύμως κληθέντα ἀπὸ τοῦ ὀρθοῦσθαι ἡμᾶς ἀπὸ
τῆς κοίτης καὶ περὶ τὰ οἰκεῖα τρέπεσθαι ἔργα. ὅταν φήσει,
ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν. καὶ τὸ
ἀπὸ πρωΐας μέχρις ὥρας ἕκτης διάστημα. ὄφρα μὲν ἠὼς
ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ. καὶ τὴν ὅλην ἡμέραν καθ' ὃ συση-
μαινόμενον ἡμέρα νοεῖται ὁ ἀπὸ ἀνατολῆς τοῦ ἡλίου δρό-
μος μέχρι δύσεως. ὁ ποτὲ τὴν ὑπὲρ ἡμᾶς ποιεῖται φοράν

ἠώς

» οὔ τις. τὸ παρ' ἡμᾶς δεξιὸν ἡμισφαίριον. ὅτι δὲ
» ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ ἠοῖ τῇ προτέρῃ.
» τότε Ζεὺς ὦρσε μάχεσθαι, καὶ ἤματι τῷ προτέρῳ
» ὅτ' ἐμαίνετο φαίδιμος Ἕκτωρ. καὶ τὸ συναμφό-
» τερον ἡμέραν τε καὶ νύκτα. καθὸ σημαινόμενον
» καὶ παρὰ τοῖς μαθηματικοῖς νοεῖται. ἠὼς δέ μοι ἐστὶν
» ἥδε δυωδεκάτη ὅτ' ἐς Ἴλιον εἰλήλουθα. καὶ τὴν
» ἡλίου πάροδον καὶ τὸν τόπον ὅθεν ἀνατέλλει ὁ ἥλιος
» κατὰ Ἀρίσταρχον. ὦ φίλοι οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος οὐδ'
» ὅπῃ ἠώς. οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ
» γαῖαν. οὐδ' ὅπῃ ἀνεῖται. νῦν γοῦν καθά φησιν ὁ Κρά-
της. τῶν τεσσάρων τοῦ κόσμου μέμνηται μερῶν. ἄρ-
κτου, μεσημβρίας, ἀνατολῆς, δύσεως, ἅπερ ἀλλήλοις
δὲ ἀντιθέτως ἀντίκειται. ἡ μὲν ἄρκτος, τῇ μεσημβρίᾳ.
ἡ δὲ ἀνατολή, τῇ δύσει. ΕΞΕΥΝΗΦΙΝ. ἐκ τῆς κοίτης.
ΕΣΣΑΜΕΝΟΣ. ἐνδυσάμενος. ΘΕΤΟ. περιέθετο.
ΠΑΛΑΜΗ Δ' ΕΧΕ ΧΑΛΚΕΟΝ ΕΓΧΟΣ. ἀντὶ σκήπτρου
τὸ δόρυ κατέχειν ὡς οὐ συγχωρούμενος εἶναι βα-
σιλεύς. ΚΥΝΕΣ ΠΟΔΑΣ ΑΡΓΟΙ. ὑπὸ συνηθείας ἢ
ἀσφαλείας χάριν. ΑΡΓΟΙ. λευκοὶ ἢ ταχεῖς. ΘΕΣΠΕ-
ΣΙΗΝ. θείαν, θαυμαστήν. ΚΑΤΕΧΕΥΕΝ. κατέχεε, κατέ-
βαλεν. ΘΗΕΥΝΤΟ. θεωροῦντες, ἐθαύμαζον. ΘΩΚΩ. τὸ-
τον οἱ Ἀττικοὶ θᾶκον λέγουσι: ἔστι δὲ καθέδρα. ΕΙΞΑΝ.
ὑπεχώρισαν. ΑΙΓΥΠΤΙΟΣ. ὄνομα κύριον. ΚΥΦΟΣ. κε-
κυφώς, κεκυρτωμένος. ΗΔΗ. ἠπίστατο. ΕΥΠΩΛΟΝ. κα-
λοῖς



λοῖς ἵπποις κοσμουμένην. ΠΥΜΑΤΟΝ Δ' ΩΠΛΙΣΣΑΤΟ
ΔΟΡΠΟΝ. ἤτοι τῇ συντάξει ἔσχατον ἢ ἐπιφωνέον τὸ το-
εἴρηκε, ἢ πύματον τῶν ἕξ, ἢ δόρπον, οὐκέτι γὰρ ὁ Κύκλωψ
ἔφαγε. συναποβαλὼν τῷ φωτὶ καὶ τὸ ζῆν, ὡς λέγεται.
ΔΟΡΠΟΝ. τὸ καθ' ἡμᾶς δεῖπνον: τρισὶ δὲ τροφαῖς
ἐχρῶντο. ὧν τὴν μὲν πρώτην ἐκάλουν ἄριστον, ἣν ἐλάμ-
βανον πρωΐας σχεδὸν ἔτι σκοτίας οὔσης. ὧν ὠνομάσθη
ἄριστον, ἢ παρὰ τὸ λαμβάνοντας αὐτοὺς εἰς τὸ ἀριστᾶν
προέρχεσθαι, ἢ ἀπὸ τοῦ προσφέρεσθαι ταύτην πρώτην τῆς
» τροφῆς. παρὰ τὸ ἄειρε ὠνομασμένης τῆς λέξεως. μή μοι
» οἶνον ἄειρε μελίφρονα πότνια μῆτερ. τὴν δευτέραν
» δεῖπνον, μεθ' ὃ ἔδει πονεῖν. ὅπερ ἐστὶν ἐνεργεῖν, λαμ-
» βάνοντες ταύτην τὴν τροφὴν πάλιν περὶ τὸ πολεμι-
κὰ ἔργα ἐπόνουν. τὴν δὲ τρίτην δόρπον τὸ καθ' ἡμᾶς λε-
γόμενον δεῖπνον. καὶ ἔστι κατὰ τὸ ἔτυμον ἰαύδορπον. ὅ-
ταν εἰς τὸ ἰαύειν πορευόμεθα. ὅπερ ἐστὶ κοιμᾶσθαι. Αἰ-
σχύλος δὲ καὶ τῆς τάξεως τῶν ὀνομάτων μάρτυς ἐστὶ λέγων.
ἄριστα, δεῖπνα, δόρπα αἱρεῖσθαι. ΟΜΙΛΕΙ. συνανεστρέφε-
το. ΕΧΟΝ. εἶχον, κατεῖχον. ΕΡΓΑ. τὰ γεωργικά. ΙΚΕΙ.
ἀφικνεῖται. ΘΟΩΚΟΣ. συνέδριον. ΗΓΕΙΡΕ. συνήθροι-
σεν, παρώρμησεν. ΠΡΩΓΕΝΕΣΤΕΡΟΙ. πρεσβύτεροι.
ΣΤΡΑΤΟΥ ΕΚΛΥΟΝ. ἤτοι πολεμίων, ἢ τῶν μετ' Ὀδυσ-
σέως. ΟΤΕ. ἡνίκα. ΠΡΟΤΕΡΟΣ. πρῶτος. ΔΗΜΙΟΝ. δη-
μόσιον. ΠΙΦΑΥΣΚΕΤΑΙ. προσημαίνει. ΟΝΗΜΕΝΟΣ.
ὄνησιν ἑαυτῷ λάβοι. λείπει τὸ εἴη. ὀνήμενος εἴη. ΜΕΝΙ-

ΝΑ.

ΝΑ. κατὰ διάνοιαν ἐνθυμεῖται. ΦΗΜΗ. τῇ κλη-
δόνι. ΜΕΝΟΙΝΗΣΕ. προεθυμήθη. ΚΑΘΑΠΤΟΜΕ-
ΝΟΣ. ἤτοι τὸν λόγον πρὸς αὐτὸν ποιούμενος, ἀμει-
βόμενος, ἀποτεινόμενος, ἢ κατὰ πραΰνων καὶ προ-
σαγόμενος. ΕΙΣΕΑΙ. μαθήσῃ. ΕΚΛΥΟΝ. ἤκουσα, πυ-
θοίμην, ἀκούσω. ΠΙΦΑΥΣΚΟΜΑΙ. προμηνύω προλέ-
γω. ΟΜΟΙ ΚΑΚ' ΕΜΠΕΣ' ΟΙΚΩ. μετὰ τοῦ ὑποτα-
κτέον. ΔΟΙΑ. δύο ἢ διχῶς. ΔΟΙΣ ΔΕΣΣΙΝ. ἐν
τούτοις. ΔΙΑΡΡΑΙΣΕΙ. διαφθερεῖ. ΟΛΕΣΣΕΙ. ἀπο-
λέσει. ΕΠΕΧΡΑΟΝ. μετὰ βλάβης ἢ ἐπηρείας ἐπῆλ-
θον. ΑΠΕΡΡΙΓΑΣΙ. δεδίασι, φοβοῦνται, δεδοίκασιν.
ΕΕΔΝΩΣΑΤΟ. ἕδνα ἐπιδώσει, καὶ κυρίως μὲν ἕδνα
ὅσα τὰ διδόμενα ἀπὸ τοῦ γαμοῦντος τῇ γαμου-
μένῃ, νῦν δὲ καταχρηστικῶς κεῖται ἡ λέξις ἀντὶ τοῦ
χρήματα ἐπιδοίη. Ω. ὦ ἄν. ΚΕΧΑΡΙΣΜΕΝΟΣ. προ-
σφιλής, ἡδύς. ΠΩΛΕΥΜΕΝΟΙ. παραγινόμενοι, ἀνα-
στρεφόμενοι. ΗΜΑΤΑ ΠΑΝΤΑ. πάντα τὸν χρόνον.
ΙΕΡΕΥΟΝΤΕΣ. θύοντες. ΟΙΣ. πρόβατα. ΠΙΟΝΑΣ.
λιπαράς. ΕΙΛΑΠΙΝΑΖΟΥΣΕΙ. ἐν ἀθροίσματι εὐω-
χοῦνται, ἑορτάζουσιν. ΜΑΨΗΔΙΩΣ. ματαίως. ΚΑ-
ΤΑΝΕΤΑΙ. καταναλίσκεται. Η ΚΑΙ ΕΠΕΙΤΑ. οὕ-
τως γὰρ ἂν μετὰ τοῦ ἐπιχειρῆσαι. ΛΕΥΓΑΛΕΟΙ.
ἀσθενεῖς, ἀδύνατοι. ΔΕΔΑΗΚΟΤΕΣ. εἰδότες με-
μαθηκότες. ΑΛΚΗΝ. τὸν τρόπον τῆς βοηθείας.
δύναμιν. ΑΜΥΝΑΙΜΗΝ. ἀντὶ τοῦ ἠμυνάμην.





ΑΝΣΚΕΤΑ. ἀνασχετὰ ὑπομενητικά. ΤΕΤΕΥΧΑ-
ΤΑΙ. κατεσκευασμένα εἰσίν. ΔΙΟΛΩΛΕ. διεφθά-
ρη, ἀπώλετο. ΝΕΜΕΣΗΘΗΤΕ. μεμπτὸν ἡγήσασθε.
ΠΕΡΙΚΤΙΟΝΑΣ. τοὺς περιοικοῦντας. ΝΑΙΕΤΑΟΥ-
ΣΙΝ. οἰκοῦσιν. ΥΠΟΔΕΙΣΑΤΕ. φοβήθητε. ΜΕΤΑ-
ΣΤΡΕΨΩΣΙ. μεταβάλλωσιν. ΑΓΑΣΣΑΜΕΝΟΙ.
χολωθέντες. ΘΕΜΙΣΤΟΣ. αἰολικῶς τῆς θέμιδος.
ΗΤ' ΑΝΔΡΩΝ ΑΓΟΡΑΣ. τινὲς ᾠήθησαν εἰς τὰς
ἐκκλησίας εἰσφέρεσθαι θέμιδος ἄγαλμα. ΣΧΕ-
ΣΘΕ. βοηθήσατε, τὸ γὰρ εἶλον ἀνάρμοστον κατὰ τῶν
μνηστήρων ἵνα ἢ ἀπόσχεσθε. ΤΕΙΡΕΣΘΑΙ. καταπο-
νεῖσθαι. ΔΥΣΜΕΝΕΩΝ. ἐχθραινόντων. ΚΑΤΑ ΕΡΕΖΕΝ.
ἐκακοποίει. ΤΩΝ. ὑπὲρ ὧν. ΑΠΟΤΙΝΥΜΕΝΟΙ.
τιμωρούμενοι. ΡΕΖΕΤΕ. πράττετε. ΔΥΣΜΕΝΕΟΝ-
ΤΕΣ. δυσχεραίνοντες, ἐχθρωδῶς διακείμενοι. ΟΤΡΥ-
ΝΟΝΤΕΣ. παροξύνοντες, διεγείροντες. ΠΡΟΒΑΣΙΝ.
πρόσοδον ἀπὸ τοῦ προβαίνειν, ἐκ τούτου τὴν οὐσίαν.
ΤΙΣΙΣ. ἀπόδοσις. ΠΡΟΒΑΣΙΝ. τὴν τῶν τετρα-
πόδων κτῆσιν. ΠΡΟΤΙΠΤΥΣΣΟΙΜΕΘΑ. προσερω-
ζοίμεθα παραβαλλοίμεθα ἢ ἀχώριστοι γινοίμεθα. Α-
ΠΑΙΤΙΖΟΝΤΕΣ. ἀπαιτοῦντες. ΕΩΣ. μέχρις ὅτε.
ΑΠΡΗΚΤΟΥΣ. ἀπράκτους. ΔΑΚΡΥΑ ΑΝΑΠΡΗΣΑΣ.
δακρύων πλῆθος προϊέμενος. ΟΙΚΤΟΣ. ὀδυρ-
μός, λύπη. ΑΚΗΝ ΕΣΣΑΝ. ἥσυχοι ἦσαν, ἐσιώπων.
ΑΜΕΙΒΟΜΕΝΟΣ. δι' ἀμοιβῆς ἀνταποκρινόμενος.

ΥΨΑΓΟΡΗ. μεγαλορρήμων. ΜΕΝΟΣ ΑΣΧΕΤΕ. ἀκατάσχετε τῇ δυνάμει, εἰρωνικῶς ἀδύνατε. ΜΩΜΟΝ. ψόγον. ΑΝΑΨΑΙ. περιποιῆσαι, περιθεῖναι. ΚΕΡΔΕΑ. δόλους, πανουργίαν, ἢ συνέσεις. ΕΙΣΙΝ. ἐλεύσεται. ΑΤΕΜΒΕΙ. στερίσκει, ἀφαιρεῖται. ΕΛΠΕΙ. εἰς ἐλπίδα ἄγει. ΠΕΡΙΜΕΤΡΟΝ. μέγα. ΜΕΤΑΜΩΝΙΑ. μάταια. μὴ ὀνειμα, μαώνια, καὶ μώλια. ὡς νίζειν, λίζειν πλεύμων. ΤΑΦΗΙΟΝ. ἐντάφιον. κατὰ παράθεσιν τοῦ ι, ὡς πολεμήιον. ΝΕΜΕΣΗΣΗ. μέμψηται. ΑΙΚΕΝ ΑΤΕΡ ΣΠΕΙΡΟΥ. ὡς ἀξίου ἱματίου σπανίζοντος αὐτοῦ. οὐ γὰρ παντελῶς ἐσπάνιζε. ΣΠΕΙΡΟΝ. ὕφασμα, δυνάμενον σπείρειν, καὶ σπαργανοῦν τὸ αὐτῷ περιτιθέμενον, ἢ ἱμάτιον. ὡς τὸ σπεῖρα κάκ' ἀμφ' ὤμοισι. ΕΝΘΑ. τότε χρονικῶς. ΗΜΑΤΗ ΜΕΝ ΥΦΑΙΝΕΣΚΕ. ΝΥΚΤΑΣ Δ' ΑΝΑΛΥΕΣΚΕ. σχῆμα τῆς περισώσεως, ἐπὶ τὴν δαίας, εὐτελείας ἡρωϊκῆς δηλωτική, ἢ τῶν δαιδάλων παράθεσις. πηνελόπη, φασίν, ἡ φιλοσοφία. ἱστὸς ἡ σύνθεσις τῶν προτάσεων. ἐξ ὧν αἱ συλλογιστικαὶ συμπλοκαί. ἀνάλυσις ἡ οὕτω καλουμένη παρὰ τοῖς φιλοσόφοις. ἧς οὐκ ἐπαΐουσιν οἱ παχεῖς καὶ ἀπάταλοι μνηστῆρες. διὸ καὶ παύουσιν αὐτήν. κύβοις αὖθις ἐπιρρίψαντες ἑαυτούς. θεῖον γὰρ ἔργον τὸ τοιοῦτον. διὸ καὶ ἡ πηνελόπη λέγει. ἐξῆς θεὸν ἐμπνεῦσαι αὐτῇ, τὰ τὴν τοῦ τοιοῦτον ἱστόν. θεράπαινα δὲ, ἡ προσεστηκυῖα τῇ φιλοσοφίᾳ συλλογιστικὴ μέθοδος. δαίδες



δαίδες δὲ αἱ τῆς γνώσεως. ΕΠΗΛΥΘΟΝ ΩΡΑΙ. ὧραι τοῦ τετάρτου ἔτους, ὡς συνέμπροσθεν ἔλεγε, τάχα γὰρ εἰσὶ τέταρτον, δίον πληρωθήσεται. ΚΑΙ ΤΟΤΕ ΔΕ ΤΙΣ ΕΕΙΠΕ. ποιητικὴ οἰκονομία εἰς τὰ ἑξῆς, ἵνα καὶ τὴν τῶν θεραπαινῶν ἀναίρεσιν ἑτοίμως παραδεξώμεθα, δηλοῦται δὲ ἡ δουλικὴ ἀπιστία. ΚΑΙ ΟΥΚ ΕΘΕΛΟΥΣ' ΥΠ' ΑΝΑΓΚΗΣ. τὴν βίαν τῶν μνηστήρων ἐδήλωσεν. ΣΟΙ Δ' ΩΔΕ ΜΝΗΣΤΗΡΕΣ ΥΠΟΚΡΙΝΟΝΤΑΙ. ἀντὶ τοῦ οὕτως ἀποκρίνονται, ὅρα δὲ ὅπως ὁ Ἀντίνοος ἑαυτῷ τοὺς ὅλους μνηστῆρας ὑποκρίνεται, ὡς αὐτὸς ὢν οἱ πάντες, καλῶς ἄρα πρὸ πάντων αὐτὸς πεσεῖται, ὑπ' Ὀδυσσέως βληθείς. ΟΤΕΩ. ὅτῳ, ὡς πηνέλεω, περὶ δὲ τῆς γνώμης ἰκαρίου δεδήλωται καὶ ἐν ἄλλοις, ἤδη γὰρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται εὐρυμάχῳ γήμασθαι. ΕΙ ΔΕ Τ' ΑΝΙΗΣΕΙ ΓΕ ΠΟΛΗΝ ΧΡΩΝΟΝ. ἡ ἀνταπόδοσις, ἐν τῷ ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα, τὰ δὲ λοιπὰ διὰ μέσου, ἢ ἀνταπόδοτον τὸ εἰ, καθὼς εἴωθε ποιεῖν, ὡς ἐπὶ τό, ἀλλ' εἰ μὴ δώσουσι γέρας. Α ΟΙ ΠΕΡΙΔΩΚΕΝ ΑΘΗΝΗ. πικρῶς καθαψάμενος τῆς πηνελόπης, διαχέαι αὐτὴν βούλεται τοῖς ἐγκωμίοις. ΚΕΡΔΕΑ. πανουργεύματα, οὐχ ὡς ἡμεῖς, τὰ φιλοχρηματίαν. ΕΥΠΛΟΚΑΜΙΔΕΣ. εὐπλοκάμους, ὡς εὐκνήμιες, πολυψήφιες. ΕΥΠΛΟΚΑΜΟΣ ΤΕ ΜΥΚΗΝΗ. ἰνάχου θυγάτηρ καὶ μελίας τῆς ὠκεανοῦ. ΕΝ ΣΤΗΘΕΣΣΙ ΤΙΘΕΙΣΙ ΘΕΟΙ. θεόσοφον λέγει τὴν

πηνελόπην, ἀλλ᾽ οὐχ οὕτως ὁ νοῦς, ἀλλ᾽ ἐρεθίζει τὸν τηλέμαχον ἀπώσασθαι τὴν μητέρα, εἰ διὰ τὸ ἴδιον συμφέρον παρορᾶ τὰ τοῦ τηλεμάχου. ἔστι δὲ τοῦτο καὶ φήμη ἐσχηματισμένη. ἀληθῶς γὰρ οὕτως ἀπέβη τοῖς μνηστῆρσι. ΗΜΕΙΣ Δ᾽ ΟΥΤ᾽ ΕΠΙ ΕΡΓΑ. τοῦτο πρὸς κακοῦ τοῖς μνηστῆρσιν, ἐξὸν σωθῆναι ἄλλην γαμουμένους, ὅμως πάνυ ὁμοῦ εὑρεθέντες, πανωλεθρίαν ἔπαθον, καὶ εἴη ἂν ὁ τελευταῖος οὗτος τοῦ ἀντινόου λόγος, ὡς δή τις κατὰ τῶν μνηστήρων προεκτεθεῖσα ἡ ἀναφώνησις. ΑΝΤΙΝΟΕ. πυκνότητα, καὶ συντομίαν, καὶ ἰσχὺν νοημάτων ἐνδείκνυται ὁ τηλέμαχος. ΗΜ᾽ ΕΤΕΧΗΜΕ ΘΡΕΨΕΝ. ἐπίτασιν δηλοῖ γνησιότητος τὸ ἥ μ᾽ ἔθρεψε, πολλαὶ γὰρ μητέρες ἐκτιθέασι ταῖς τίτθαις τὰ τέκνα, διὸ καὶ ἀποστέργονται διὰ τὴν ἄπονον εἰλήθυιαν. ΔΟΜΩΝ ΑΕΚΟΥΣΑΝ ΑΠΩΣΑΙ. καὶ οὗτος τεχνικὴν ἄγαν μερικὴν τὴν ἀντίῤῥησιν ποιεῖται, περὶ μὲν γὰρ τῆς ἀπάτης καὶ τῆς ὑποσχέσεως σιωπᾷ, παρατηρήσας δὲ ὅπη μάλιστα ἀπηγριώθη ὁ ἀντίνοος, πρὸς τοῦτο τὴν ἀντίῤῥησιν ποιεῖται. ἔστι γὰρ πρόσφορον ἐν πλήθει, τὸν ὑπὲρ τῆς φύσεως λόγον ἀντικαταστῆσαι, ὅρα δὲ καὶ τὴν ὑπαλλαγὴν τοῦ ῥήματος, ὁ μὲν, ψιλῶς εἶπεν ἀπόπεμψον, ὁ δὲ, οὐκ ἂν φησὶν ἀπώσασθαι, καὶ ὁ μὲν μητέρα, ὁ δ᾽ ἥ μ᾽ ἔτεχ᾽ ἥ μ᾽ ἔθρεψε, καὶ ἐπὶ τούτοις τὸ ἐνίψω. ΚΑΚΟΝ ΔΕΙ ΜΕ ΠΟΛΛ᾽ ΑΠΟΤΥΝΕΙΝ. καθ᾽ ἕνα τῶν ὑπομνημάτων, ἡ τούτων ἐξήγησις ἡμάρτηται. φασὶ γὰρ ὡς ἔθος, εἴ τις





ἑκὼν ἐκ τοῦ οἴκου γυναῖκα ἀπέπεμψε, χρήματα ἀποτίνειν τοῖς αὐτῆς συγγενέσι, καὶ τῷ πατρί. φησὶν οὖν ὅτι κακόν ἐστι, καὶ ὅλον ἀλυσιτελὲς, εἰ ἐκδιώξω τῶν οἴκων τὴν μητέρα. πολλὰ γὰρ ἀποτίσω τῷ ἰκαρίῳ. ἄμεινον δὲ οὕτω διαστέλλειν, κακὸν δέ με πόλλ᾽ ἀποτίνειν, καὶ οὐ περὶ χρημάτων φησὶν, ἀλλὰ περὶ τῶν ἐπαρωμένων, ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων δώσει, εἶτα καθ᾽ ὑπερβατὸν ἄΐκειν αὐτὸς ἰκαρίῳ ἀποπέμψω τὴν μητέρα, ἐπεὶ, εἰ περὶ χρημάτων ἔλεγε, σμικρολόγος ἀνεφαίνετο τοῦ πατρὸς, οὗ γὰρ ἀπεγνώκει αὐτόν. ἐπειδὴ ἤ, φησὶν, ὀσσόμενος πατέρ᾽ ἐσθλὸν ἐνὶ φρεσὶν ἄλλως τε κατὰ καλλίμαχον, χαλεπὴ μῆνις ἐπιχθονίων, διὸ ἀρίσταρχος ἀθετεῖ, τὸ ἔσσεται, ὡς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω, περισσὸς γὰρ ἐστὶν, οὐ πρὸς ταύτην τὴν ἀπόδοσιν. ΑΡΗΣΕΤ᾽ ΕΡΙΝΝΥΣ. τοῦτο ἔλειπον ἐπιθεάζειν τῷ δεινῷ οἱ ὕστερον, ὡς παρέγραψε κράτης. ΕΝΙΨΩ. τὸ μετὰ σφοδρότητος καὶ ἀπειλῆς λέγειν, ἐναντιωτέον, λοιδορήσω. ΤΩ ΔΑΙΕΤΟ. ἡ μὲν ἐκ τῶν ὄρους ἄφιξις, τὴν ἐκ τῶν ἀγρῶν ἐπάνοδον ὀδυσσέως καὶ τοῦ παιδὸς σημαίνει, καὶ ἡ μὲν ἐν ἀρχαῖς ἠρεμαία πτῆσις, τὴν μετὰ ἡσυχίας κάθοδον, ὁ δὲ κατὰ τὴν ἀγορὰν αὐτῶν θόρυβος, τὴν κατὰ τὴν πόλιν γενομένην ταραχὴν, ὁ δὲ τιναγμὸς τῶν πτερῶν, ἀπώλειαν καὶ ἐλάττωσιν τῶν ἀρχομένων, τὸ δὲ καταδρύψαι τὰς παρειάς, τὸν τῶν μνηστήρων ἐσήμαινε φόνον. διὰ δὲ τὸ κατὰ ἀνατολὰς ὁρμῆσαι. ὅτι οἱ μὲν διονικήσουσιν, οἱ δὲ μνη-

στῆρες, οἱ ζόφῳ γενήσονται. ΕΩΣ ΜΕΝ. τέως, μέχρι χρόνου τινός. ΜΕΤΑ ΠΝΟΙΗΣ ΑΝΕΜΟΙΟ. ὡς ἡσυχῇ τὸ ἔργον τὰ πρῶτα διαχειριζόμενοι. ΠΛΗΣΙΟΙ ΑΛΛΗΛΟΙΣΙΝ. ἐπεὶ οὐκ ἀποστατοῦσιν ἀλλήλων ταῖς βουλαῖς. ΠΤΕΡΑ ΠΟΛΛΑ. ἢ διότι πολλοὺς ἀπέβαλον καὶ τῶν ὑπηκόων, μνηστῆρας δὲ καὶ κήρυκας, καὶ τινὰς τῶν τοῦ οἴκου, ἢ διότι, θανατώσουσι τοὺς μνηστῆρας ὀϊστοὺς ἐπαφιέντες πτερόεντας. ΠΑΝΤΩΝ ΚΕΦΑΛΑΣ. κοινὴν βλάβην δηλοῖ. ΔΡΥΨΑΜΕΝΩ Δ᾽ ΟΝΥΧΕΣΣΙΝ. ἐπειδὴ οὐ μόνον μνηστῆρσιν, ἀλλὰ καὶ πολλοῖς ἄλλοις Ἰθακησίων ἔσται κακά, καὶ πολλοὶ τὰς παρειὰς ἐπ᾽ αὐτῷ δρύψονται, καὶ Ἰάμβλιχος οἶδεν ὄρνιθας, οἳ αὐτοὶ ἑαυτοὺς ἀναιροῦσιν, ἐπὶ δηλώσει μέλλοντος κακοῦ, ὑπὲρ φύσιν μέντοι. ΔΕΞΙΩ ΗΙΞΑΝ. ἀνατολικοὶ οἱ αἴσιοι. ΚΑΙ ΠΟΛΙΝ ΑΥΤΩΝ. ἢ τῶν Ἰθακησίων, ἢ τῶν ἀετῶν, ὡς ἐπαναστραφέντων ἔνθα ᾤκουν, ὃ καὶ ἐδήλου, ὡς καὶ Ὀδυσσεὺς καὶ Τηλέμαχος ἀνελόντες τοὺς μνηστῆρας, αὖθις εἰς ἀγροὺς ἀπελεύσονται, ἵνα πάλιν καὶ οἰκίαν τὴν κατάπαυσιν τῶν ἀετῶν λέγει, διά τι μὴν τοῦ βασιλικοῦ τούτου ζώου. ΩΡΜΗΝΑΝ Δ᾽ ΑΝΑ ΘΥΜΟΝ. οἱ γὰρ κακοὶ τὰς πράξεις κακὰς καὶ τὰς ἐλπίδας ἔχουσι, τὰ δὲ τοιαῦτα τῶν σημείων, τοῖς μὲν ἀγαθοῖς, τὸ θαρρεῖν, τοῖς δὲ πονηροῖς ἀποτροπὴν προσποιεῖται τῶν τολμωμένων. ΓΕΡΩΝ ΗΡΩΣ. ποιούντων

γὰρ

Iábhch?



γὰρ ἀνδρῶν, ἡ πολυπειρία. ΑΛΙΘΕΡΣΗΣ. νησιώτῃ καὶ ἁλιευτικῷ πρέπον ὄνομα, ὁ ἐν τῇ ἁλὶ δηλονότι θαρρόμενος. ΟΙ ΝΕΜΟΜΕΣΘΑ. συνάγει καὶ ἑαυτὸν τοῖς κακωθῆναι μέλλουσι διὰ τὸ φιλαλήθες. ΕΥΔΕΙΕΛΟΝ. εὖ πρὸς δείλην κειμένην. ΦΥΤΕΥΕΙ. ἔνθεν οἱ ὕστερον ὑπορύττειν, τὸ δολιεύεσθαι. ΚΑΚΟΝ ΕΣΤΑΙ. ἤγουν ζημία. ΑΦΑΡ. συγκοπτικῶς, εὐθέως, ἀπὸ τοῦ ἅπτω, ἅψω, ἧφα, ἄφαρ, ψιλοῦται δὲ αἰολικῶς. ΚΑΙ ΓΑΡ ΕΚΕΙΝΩ. συνιστῶν ἑαυτὸν ἐπὶ μαντικῇ ταῦτα λέγει. ΩΣ ΟΙ ΕΜΥΘΕΟΜΗΝ. συγκοπτέον ἕως τοῦ πολύμητις Ὀδυσσεύς, διὰ τὸ δεύτερος καὶ ἐπὶ τοῦ μυθεόμην στίχον, τοῖς ἄνω αὐτὰ ἀποδιδοὺς, καὶ ἀφ᾽ ἑτέρας ἀρχῆς ἀναγινώσκειν, ὅτε Ἴλιον εἰσανέβαινον, ἐὰν ὑποστίξωμεν μετὰ τὸ Ἀργεῖοι, καὶ Ὀδυσσεύς, ἡ δὲ ἀπόδοσις φῆμι κακά. ΦΗΝ ΠΟΛΛΑ ΚΑΚΑ ΠΑΘΟΝΤΑ. μέχρι τοῦ τάδε νῦν πάντα τελεῖται, σύνοψις πάσης τῆς Ὀδυσσείας. ΩΣ ΚΑΙ ΣΥ ΚΑΤΑΦΘΙΣΘΑΙ. τὸ ὡς ἀναφορικόν ἐστι, καὶ συγκοπτέον ἐπὶ τὸ ἐπάνω, ἢ ἀντὶ τοῦ εἶτε, καὶ ἀπ᾽ ἄλλης ἀρχῆς αὐτὸ ἀναγνωστέον. ΩΔ᾽ ΑΝΙΗΗΣ. ἀπὸ τοῦ ἀνίημι, ὡς τιθείης, κυνηγετικὴ ἡ λέξις, ὅτε τις κύνα τοῦ δεσμοῦ ἀνεὶς, ἀφήσῃ κατὰ θηρός, δασυντέον, ἔστι γὰρ ἀντὶ τοῦ ἀναπείθεις, ἀπὸ μεταφορᾶς τῶν κυνηγῶν, τῶν ἐφιέντων ἱμάντας τοῖς κυσίν, ψιλοῖ δὲ Ἑλλάνικος παρὰ τὴν ἀνίαν ἐκδεχόμενος τὸ λυπείης, εἰ δὲ τοῦτο, ἐχρῆν γράφειν ἀνιώης,

ὡς ἀντὶ τοῦ ὅτε

 τοιαύτη

τοιαύτη γὰρ ἦν συζυγία. ΠΑΡΦΑΜΕΝΟΣ. παραπείσας, παραλογιζόμενος. ΑΝΙΗΡΕΣΤΕΡΟΝ. λυπηρότερον, ὡς τὸ αἰδοιέστερον. ὤφελε γὰρ ἀνιηρότερον, οὕτω καὶ ἀμορφέστερον, δικαιέστερον, ἀκρατέστερος, ἀπὸ τοῦ ἄκρατος, σπουδαιέστερος, ἀναγκαιέστερος, ἀλλοιέστερος, ἐπιτηδειέστερος, ἀφνειέστερος, καὶ Ἀριστοφάνης καὶ Σέλευκος ἔγραφε φιλοκτεανέστατε. ΘΩΗΝ ΕΠΙΘΗΣΟΜΕΝ. θωὴ ἡ ἐπιτιθεμένη τινὶ ζημία, ὅθεν ἀθῶος ὁ μὴ θωὴν πάσχων. ΟΙ ΔΕ ΓΑΜΟΝ ΤΕΥΞΟΥΣΙΝ. εἰπὼν ἐς πατρός, μετέβη εἰς τὸ πληθυντικόν, οἱ δὲ γάμον τεύξουσιν. δηλονότι οἱ μνηστῆρες, καὶ εὐτρεπίσουσιν ἔεδνα, ὅσα δεῖ ἐπὶ τῇ τοιαύτῃ παιδὶ δίδοσθαι παρὰ τῶν γαμούντων. ΜΗΤΕΡΑ ΗΝ ΕΣ ΠΑΤΡΟΣ. οἱ δὲ γάμον τεύξουσι, τὸ σχῆμα προηπτόν, ἄτοπον. ΕΔΝΑ. τὰ παρὰ τοῦ νυμφίου, μείλια δὲ, τὰ τοῦ πατρὸς τῇ νύμφῃ διδόμενα. ΜΝΗΣΤΥΟΣ ΑΡΓΑΛΕΗΣ. τῆς μέχρι νῦν ἀκατεργάστου. ΟΥΤ' ΟΥΝ ΤΗΛΕΜΑΧΟΝ. θρασύτερα ταῦτα τῶν Ἀντινόου. ΠΟΛΥΜΥΘΟΝ. ἀκριτόμυθον, σκώπτει εἰς ποσότητα, ὁ γὰρ Ἀντίνοος εἰς ποιότητα λόγου ἔσκωψεν, προειπὼν δὲ, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης, οὔτε Τηλέμαχον, οὔτε τὴν μαντείαν, οὐκέτι ἐπήγαγεν οὔτε ἄλλον τινά, καίτοι ὁ λόγος ἀπῄτει, ἀλλ' εἶχεν ἀπέχθειαν πρὸς τὸ πλῆθος. ΚΑΚΩΣ ΒΕΒΡΩΣΕΤΑΙ. ὁμολογεῖ τὴν βίαν. ΟΥΔΕ ΠΟΤ' ΙΣΑ. ἤγουν ἀεὶ ἐλαττωθήσονται. ΔΙΑΤΡΙΒΗΣΙΝ. δια-

τρίβειν

ἔδνα
μέλια



τρίβειν τὸ χρονοτριβεῖν, ἀναβάλλεσθαι καὶ τριψημερεῖν. ΤΑΥΤΑ ΜΕΝ. λείπει ἡ εἰς ἀντὶ τοῦ εἰς ταῦτα. ΑΛΛΑ ΓΕΜΟΙ ΔΟΤΕ ΝΗΑ. πρὸς τοὺς Ἰθακησίους, ἢ τὴν ὑπόνοιαν ἀποτριβόμενοι, αἰτεῖται παρὰ τῶν μνηστήρων τὰ πρὸς τὴν πορείαν, πῶς γὰρ ἠδύνατο σκευωρεῖν κατ' αὐτῶν, πολίτας ὀπαδοὺς ἔχων. ΚΕΚΛΥΤΕ ΝΥΝ ΜΕΝ ΙΘΑΚΙΣΙΟΙ. ὁρῶν τοὺς μνηστῆρας ἀπηρυθριακότας, οὐ πρὸς αὐτοὺς ἀποτείνεται, ἀλλὰ πρὸς τὸ κοινόν, οὐδὲν τι δικαιολογικὸν ἔχει ἡ δημηγορία. καταφορικὴ δὲ, καὶ ἀγαθῷ ἐπισκόπῳ πρέπουσα. ΑΙΣΥΛΑ ΡΕΖΕΙ. ἄδικα, ποιεῖ, οἱονεὶ αἰσόσυλα, τοῦ καθήκοντος σεσυλημένα. ΟΔΥΣΣΗΟΣ ΘΕΙΟΙΟ. οἱ μνηστῆρες μέμνηνται τοῦ Ὀδυσσέως, οὐχ ὡς θείου μέντοι, ἀλλ' ὡς γυναῖκα εὐειδῆ ἔχοντος καὶ ἀφνειοῦ. ΚΑΚΟΡΡΑΦΙΗΣΙ. κακοσυνθεσίαις, κακοβουλίαις. ΠΑΡΘΕΜΕΝΟΙ ΚΕΦΑΛΑΣ. προτείναντες ὡς ἐπὶ ξίφει, ἤγουν ἐπὶ κόπῳ, ὥστε κοπῆναι. ΠΑΡΘΕΜΕΝΟΙ. ἐνέχυρον θέμενοι, ἀντὶ τοῦ ὡς μὴ ἐπικείμενοι τὰς ἑαυτῶν κεφαλάς, ἀλλὰ παρατιθέμενοι αὐτάς. ΗΣΘ' ΑΝΕΩ. κάθησθε ἄφωνοι, ἄναυδοι. ΟΥΤΙ ΚΑΘΑΠΤΟΜΕΝΟΙ ΕΠΕΕΣΣΙΝ. αἰσχύνει τοὺς Ἰθακησίους, εἰ μὴ δὲ λόγοις ἅπτονται τῶν βιαίων μνηστήρων, τὸ γὰρ χερσὶ δυσχερέστερον. ΛΕΙΩΚΡΙΤΟΣ. δῖον ἔκκριτος τοῦ λαοῦ. ὁ ποιητὴς τὸν μὲν Ἀντίνοον ἁπλούστερον ἐποίησε δημηγοροῦντα

 καὶ ἀφε-

καὶ ἀφελέστερον, τὸν δὲ Εὐρύμαχον, ἐμβριθέστερον καὶ ἀδρότερον. ἐνταῦθα δὲ Λειώκριτόν τινα μνηστῆρα βραχυλόγον μὲν πλάττει, θρασύτερον δὲ, ὃς οὐ μόνον τὸν Ὀδυσσέα ἐξευτελίσει, ἀλλὰ καὶ τὴν ἀγορὰν ταχὺ λύσει, ὥς τε ταύτην τὴν ἀγορὰν θέμις μοι κάθισεν, ἀθεμίστου δ' ἀνδρὸς ὕβρις ἔλυσε. ΠΕΡΙ ΔΑΙΤΙ. οἱ γὰρ ἐν δαιτὶ ὄντες ἀνυπόστατοι εἶναι τὴν ἀλκήν, τοῦ οἴνου στρατηγοῦντος αὐτοῖς, λέγει δὲ ὅτι ἀργαλέον τοῖς Ἰθακησίοις καὶ πλέονας ὄντας ἀντικαταστῆναι δαινυμένοις τοῖς μνηστῆρσιν, ὅπερ ἐστὶ κύριον τοῦ ἀδικάτο. ΟΥΚ ΕΝ ΟΙ ΚΕΧΑΡΟΙΤΟ ΓΥΝΗ. ἅμα γὰρ ἰδοῦσα στερήσεται, αἰψηρῶν, ὡς ἀπὸ δεσμοῦ τινός. ΑΙΨΗΡΗΝ. ἀντὶ τοῦ αἰψηρῶς, ὡς τὸ, τότε μοι χάνοι εὐρεῖα χθών, ἀντὶ τοῦ εὐρύ. ΗΕΡΟΕΙΔΕΑ. μέλανα, δι' κην ἀέρα ἢ βαθύν. ΚΑΥΘΙΜΟΙ. ὁ μὲν Τηλέμαχος, ἁπλῶς θεὸν ἐπικαλεῖται. ἀγνοεῖ γὰρ τίς ἦν θεῶν ὁ φανεὶς αὐτῷ. ὁ δὲ ποιητὴς εὔχεται Ἀθηνῇ φησί. ΤΗΛΕΜΑΧΕ. πρὸς παῖδα ἤδη γεγονότα, τὸ οὐδ' ὄπιθεν, προτρεπτικῶς, ὡς περὶ τὴν ἐκκλησίαν ἐμφρόνως διατεθειμένου, οὐ δὲ ὕστερον κακὸς ἔσῃ, οὐ δὲ ἄφρων εἰ Ὀδυσσέως παῖς τυγχάνεις, καὶ τῆς πατρῴας ἀπορροίας ἔχεις τι σύμβουλον. ΕΝΕΣΤΑΚΤΑΙ. ἔοικεν ἐστάχθαι τῆς ἀρχικῆς σπερματικῆς τοῦ εἶναι δυνάμεως. ΟΥΤΟΙ ΕΠΕΙΘ ΑΛΙΗ. ἄλλα ἀλίκως διὰ θαλάσσης πλέοντι. ΟΥΔ ΑΤΕΛΕΣΤΟΣ. εἰ πατρῴζεις ἀγαθὸς ἔσῃ, καὶ οὐ

μάτην



μάτην ὁδεύσεις, ἀλλὰ μὴν πατρῴζεις, ὡς ἡ δημηγορία σου ἔδειξεν, ἔστιν ἄρα ἐπὶ σοὶ ἀγαθὴ ἐλπίς, ὁ δὲ ποιητὴς τῷ χωρίῳ ἐπεμβάλλει καὶ γνωμικὸν σεμνότατον, ἐν ᾧ περὶ διαθέσεως παίδων φιλοσοφεῖ καὶ Ὀδυσσέως ἔπαινον. ΠΑΥΡΟΙ ΓΑΡ ΤΟΙ ΠΑΙΔΕΣ. τὸ αἴτιον τοῦ διϊσασμοῦ. ΠΑΤΡΟΣ ΑΡΕΙΟΥΣ. ὁποῖος Ἡρακλῆς πρὸς Ἀμφιτρύωνα, Ἀχιλλεύς, Ἕκτωρ. ΟΥΤΙ ΝΟΗΜΟΝΕΣ ΟΥ ΔΕ ΔΙΚΑΙΟΙ. δογματίζει Ὅμηρος, ὅτι ὁ ἄδικος καὶ ἀσύνετός ἐστιν. ΟΥ ΔΕ ΤΙ ΙΣΑΣΙ. διασαφεῖ τὸ νοῆμον. ΟΣ ΔΕ ΣΦΙΝ ΣΧΕΔΟΝ. ἀναφώνησις περὶ μνηστήρων πάνυ γοργή. ΟΠΛΑΙΣΙΤΗΙΑ. ἑτοίμασον τὰ ἐφόδια, οἱ παλαιοί φασιν, ὅτι ἤια κυρίως αἱ ὀσπρίων καλάμαι, καὶ δισυλλάβως ἐν συναιρέσει, ἦα, ὡς Φερεκράτης, τὴν γαστέρ' ἤων καὶ χύρων σεσαγμένους. Ὅμηρος δὲ τὰ ἁπλῶς βρώματα, δηλοῖ δὲ καὶ τὸν εἰς ναῦν ἐπισιτισμόν. ΑΡΣΟΝ ΑΠΑΝΤΑ. γέμισον ἐκ τοῦ παρακολουθοῦντος, ἥρμοσαι γὰρ τὸ πληροῦν τῶν πληρουμένων. ΑΛΦΙΤΑ ΜΥΕΛΟΝ. ἄλευρα μυελοποιά, θρεπτικά. ΑΜΦΙΦΟΡΕΙΣ. κεράμεοι ἦσαν ἀμφοτέρωθεν φερόμενοι, ὅ ἐστιν, ἀμφώτοι, δίωτοι, ὡς ἀμφίδουλος, ὁ ἐξ ἀμφοτέρων γονέων δοῦλος. ΕΥΠΥΚΙΝΟΙΣΙΝ. εὖ στερεοῖς. ΕΘΕΛΟΝΤΗΡΑΣ. ἐθελοντάς. ΑΙΓΑΣ ΑΝΙΕΜΕΝΟΥΣ. ἐκφραστικὸν γοργὸν δαπάνης τῶν μνηστήρων. ΑΝΙΕΜΕΝΟΥΣ. ἐκδέροντας ἀπὸ τοῦ συμβαίνοντος, ἐκ τῶν κάτω

γάρ

γὰρ τὰ ἄνω ἵενται οἱ τοιοῦτοι. ΣΙΑΛΟΥΣ. σιτευτοὺς χοίρους. ΕΥΟΝΤΑΣ. ἐντεῦθεν τὸ σαθεύειν καὶ σαθευτός. εὕειν δὲ μαδᾶν ὕδατι ζέοντι, ὅθεν εὔστρα ἐργαστήριον, ἐν ᾧ χοῖροι εὕονται, ἢ κατὰ παυσανίαν, τὸ ἐκ σταχύων καυθέντων ἔδεσμα τοὺς ἀνθέρικας ἀποβαλλόντων, ἤτοι ὁ περικεκαυμένος στάχυς. ΑΝΤΙΝΟΟΣ Δ' ΙΘΥΣ ΓΕ ΛΑΣΑΣ. ἱλαρότερον νῦν πρὸς τὸν ἀντίνοον καὶ ἐπὶ τὴν ἀγοράν. ΝΗΤΕ ΤΙ ΑΛΛΟ ΕΝΣΤΗΘΕΑΣΙ. ταῦτα θυμοῦ ἀποτρέπουσι. τρυφᾶν δὲ παρακελεύουσι. ΩΣ ΤΟ ΠΑΤΡΟΣ ΠΕΡ. ὑποκρίνονται τῷ μειρακίῳ, ὡς μέχρι μὲν ἄρτι ἀσυνθλιβομένῳ νῦν δὲ ἐξαίφνης ἐκ τοῦ σχολάζειν γαστρὶ περιπωμένῳ μεταβάλλεσθαι. ΤΑΥΤΑ ΔΕ ΤΟΙ. λόγος εἰρωνικὸς ἀποτελοῦντων εἰς φήμην, οὕτω γὰρ ἀληθῶς ἀπέβη. ΠΟΛΛΑ ΚΑΙ ΕΣΘΛΑ. ποσῷ καὶ ποιῷ ἐπηύξηται τὸ κακόν. ΜΕΓΑΣ ΕΙΜΙ. ἀφελῶς εἴρηται. ΚΑΙ ΑΛΛΩΝ ΜΥΘΩΝ ΑΚΟΥΩΝ. διδακτικὴ γὰρ ἡ φρόνησις. ΠΥΝΘΑΝΟΜΑΙ. ἀντὶ τοῦ πυνθανόμενος ἀκούω. ΑΕΞΕΤΑΙ ΕΝΔΟΘΙ ΘΥΜΟΣ. αὐξανομένῳ γὰρ τῷ σώματι, συναυξάνονται καὶ αἱ τῆς λογικῆς ψυχῆς αἱ δυνάμεις κατὰ γαληνόν, καὶ ἡρόδοτος, αὐξανομένῳ γὰρ τῷ σώματι, συναυξάνονται καὶ αἱ φρένες, τινὲς ἐπὶ ὀργῆς, ἤγουν ἔμαθον ἤδη θυμοῦσθαι, καὶ μὴ διὰ τέλος ἀόργητος εἶναι, αὐξηθέντος τῇ δυνάμει εἰς τὸ κατ' ἐνέργειαν, ὁ δὲ σαρδανάπαλος θυμὸν ἀέξειν, τὸ πρὸς ἀντιτιμίαν ἐξιῶν. ΚΑΚΑΣ

ΕΠΙΧΕΙΡΑΣ



ΕΠΙΧΕΙΡΑΣ ΙΗΛΩ. ἀντὶ τοῦ πέμψω, θυμοῦ προβολὴ ὁ λόγος οὗτος τῷ τηλεμάχῳ, πλεύσεσθαι μοι γὰρ εἰς πύλον, οὐ περάσεται δέ τι τοιοῦτον. ΕΠΙΒΟΛΟΣ. ἐπιτυχής, ἐγκρατής, ἀπὸ τῆς βολῆς καὶ τοῦ βάλλειν, ὅ ἐστι τοῦ σκοποῦ τυγχάνειν, ὅθεν καὶ τὸ σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι, ἀντὶ τοῦ ἐπιτυχῶς λάμβανε, καὶ ἡ βουλὴ δέ, οἷον βολή τις οὖσα· ὅθεν ἔφη· ἐπεὶ δ' ἥλω βουλῇ πριάμοιο πόλις, ὡς εἰ ἔλεγε τοῖς ὅπλοισι, καὶ τοῖς σοῖς τόξοις καὶ βέλεσι, λύσις ἐντεῦθεν, καὶ τὸ ἢ ... φραδὰς ἐπέβαλλεν ἐπειγομένη διὸς οὖρος, ἔστι γὰρ ἀπὸ τῶν πόρρωθεν ἐπιβολὴν ποιουμένων, ὥστε τυχεῖν τῆς φραδῶν, οὕτω δὲ τῇ λέξει καὶ οἱ μεθ' ὅμηρον κέχρηνται. ΕΜΠΟΡΟΣ. ἔμπορον ὁ ποιητὴς τὸν ἀλλοτρίας νεὼς ἐπιβαίνοντα λέγει, τὸν παρὰ τοῖς ὕστερον ἐπιβάτην, ὡς ἐμπόρου παρ' αὐτοῖς λεγομένου τοῦ μεταβολέως, καὶ πραγματευτοῦ, καὶ μάλιστα τοῦ διὰ θαλάσσης πορευομένου, καὶ ὅτι ἀττικοὶ τοὺς ἐν ταῖς τριήρεσι κωπηλάτας ἐπικώπους λέγουσιν, ἐπιβάτας δὲ τοὺς μαχητάς. ΩΣ ΝΥΠΕΡ ΥΜΙΝ ΕΕΙΣΑΤΟ. τοῦτο ἡμῖν ὠφελιμώτερον εἶναι ἐφάνη, τὸ ἐμὲ μὴ ἔχειν ἰδίαν ναῦν. ἀλλ' ἔμπορον ἀποπλεῖν. οἱονεὶ λέγει, ἀντὶ ναυκλήρου ἐπιβάτης διὰ ὑμᾶς γέγονα, τοὺς τὰ ἐμὰ καταναλώσαντας ἅπαντα κτήματα. ΚΑΙ ΕΚ ΧΕΙΡΟΣ. ἢ δεδιὼς μὴ ἐπιβούλως ἅψηται τῆς χειρός, ἢ ὅτι γελῶν ἥψατο ὁ ἀντίνοος. ΕΠΕΛΩΒΕΥΟΝ. λώβη ἡ ἐν τῷ κοινῷ ὕβρις, οἱονεὶ λάσβη,

ἡ ἐν

ἔμπορος
ἐπιβάτης

ἢ ἐν τῷ λέχει ἐπεμβαίνουσα τινί. ΩΔΕ ΔΕ ΤΙΣ ΕΙΠΕΣΚΕΝ. μυδίζει τοὺς μνηστῆρας, ὧν οἱ μὲν, δεδιάσιν, οἱ δὲ θαῤῥαλεώτερον διάκεινται. ΕΙΣ ΕΦΥΡΗΝ. τὴν θεσπρωτίαν, ἢ νῦν κίχυρον μετωνομάσθη. ΘΥΜΟΦΘΟΡΑ. φθαρτικὰ λογισμοῦ, καὶ ἀναιρετικὰ κατὰ τοὺς παλαιούς. ΟΦΕΛΛΕΙΕ ΠΟΝΟΝ. αὐξήσειε πρῶτον ἀορίστου ὡς τύψειε, τίς δὲ ὁ πόνος λέγει. ΚΤΗΜΑΤΑ ΓΑΡ ΚΕΝ. εἰρωνικῶς, τινὲς τὸ περὶ τὸν γάμον σπουδαίων. ΟΔ ΥΨΟΡΡΟΦΟΝ. ὑψηλόν, διὰ τὸ ἀνεπιβούλευτον. ΘΑΛΑΜΟΝ. τὸ ταμιεῖον. ΕΥΡΥΝ. διὰ τὸν βαθὺν πλοῦτον τοῦ ὀδυσσέως. ΝΗΤΟΣ. σεσωρευμένος. ΧΡΥΣΟΣ ΚΑΙ ΧΑΛΚΟΣ ΕΚΕΙΤΟ. οἰκονομικὴ μέθοδος, διδάσκοντος τοῦ ποιητοῦ τοὺς οἰκοδεσπότας κειμήλια ἔχειν εἰς χρῆσιν τὴν ἐν καιρῷ. ΕΝ ΧΗΛΟΙΣΙ. χηλός, λάρναξ, κιβωτός, σορός. ΕΥΩΔΕΣ ΕΛΑΙΟΝ. ἴσως μὲν τὸ ἐξ ἐλαίας, εἰκὸς δὲ καὶ ἐσκευάσθαι τιμιώτερον, οἷον τὸ ἴρινον, σαμψύχινον. ΠΟΤΙ ΤΟΙΧΟΝ ΑΡΗΡΟΤΕΣ. ἵνα τὸ μέσον τοῦ θαλάμου εἴη ἄλλως χρήσιμον. ΣΑΝΙΔΕΣ. αἱ θύραι. ΔΙΚΛΙΔΕΣ. διχόθεν κλειόμεναι, δίθυροι. ΝΟΟΥ ΠΟΛΥΙΔΡΕΙΗΣΙΝ. περίφρασις τοῦ κεδνοῦ. ΕΝ ΑΜΦΙΦΟΡΕΥΣΙΝ ἌΦΥΣΣΟΝ. ἐκ πίθου ἀπάντλησον εἰς ἀμφιφορεῖς. ΛΑΡΩΤΕΡΟΣ. ἡδύτερος, ὁμοιοντῶ τηλέμαχε ὄντοι σέο κακοξεινότερος ἄλλος, χρηστὸν ἦθος ὑποφαίνει, οὐ γὰρ τὸν κάλλιστον, ἀλλὰ τὸν μετ᾽ ἐκεῖνον δεύτερον αἰτεῖ, τὸν πρωτεύοντα





τεύοντα γὰρ παρ᾽ ἑαυτῇ φυλάσσει. ΚΕΙΝΟΝ ΟΙΟΜΕΝΗ. νομίζουσα, ἐλπίζουσα. ΠΩΜΑΣΙΝ ΑΡΣΟΝ. πώμασον. ΕΥΡΑΦΕΕΣΣΙΝ. εὐράπτοις. ΔΟΡΟΙΣΙ. κωρύκοις, παρὰ τὸ χωρεῖν, θυλάκοις, φασκωλίοις, ἐχρῶντο γὰρ οἱ παλαιοὶ δέρμασιν ἀντὶ σάκκων εἰς ἀλφίτων φυλακήν, ἵνα μηδὲν ἔξωθεν διαφορεῖται, ἐκ γὰρ τῆς πυκνότητος. ΕΙΚΟΣΙ Δ᾽ ΕΣΤΩ ΜΕΤΡΑ. τὸ μέτρον ἐπί τε ξηρῶν, ἐπί τε ὑγρῶν λέγεται, ὡς ἐν τοῖς κύκλωπος. ΑΚΤΗΣ. δωρεᾶς, ἢ τοῦ κλάσματος, παρὰ τὸ κλᾶν, ἢ ἀκτῆς, ἤτοι συναγωγῆς, τροφῆς. ΜΥΛΗΦΑΤΟΥ. τῆς ὑπὸ μύλης κεκομμένης. ΑΙΡΗΣΟΜΑΙ. λήψομαι. ΤΙΠΤΕ ΔΕ ΤΟΙ ΦΙΛΕ ΤΕΚΝΟΝ. εἴληφε ὡς πυκνὰ καὶ γοερὰ προβάλλεται νοήματα ἡ τροφός. ΑΛΛΟΓΝΩΤΩ. ἄλλοις, καὶ οὐχὶ ἡμῖν γινωσκομένω, ἢ ἄλλοις γνωστῷ, ἢ κατὰ γένος οἰκείω. ἦν δὲ ἂν ἀλλογνώτῳ κατὰ τὸ ἄγνωστον πάντεσσι. ΟΙ ΔΕ ΤΟΙ ΑΝΤΙΚ᾽ ΙΟΝΤΙ. ἀναφώνησις, τοῦτο γὰρ καὶ γέγονε. ΑΛΛΑ ΜΕΝ ΑΥΘΙ. τὸ αὐτὸ νόημα καὶ πρὸς τὸν ἀντίνοον ἐλέχθη, δυσμενῶς μέντοι. ΓΕΝΗΤΑΙ. ἔλθῃ ἡμέρα. Η ΑΥΤΗΝ ΠΟΘΕΣΑΙ. ἔδει πρὶν αὐτὴ ποθέσῃ, ὁ δὲ ἀσυνήθως ἐσχημάτισε, διὰ τὸ τοῦ πρὶν ἐπιῤῥήματος δύναμιν. ΙΑΠΤΗ. διαφθείρῃ, παρὰ τὸν ἰόν, ὅθεν καὶ τὸ ἀΐδι προΐαψεν. ΑΠΩΜΝΗ. ἀποφατικῶς, ἐκ τοῦ ἐναντίου τὸ ἐπώμνη. ΟΜΟΣΕΝ ΤΕ. ὀμόσαι μοὶ τὸ εἰπεῖν θεῖόν τι ὄνομα, οἷον νὴ τὸν ἑρμῆν, μὰ τὰς ἐλευσινίας

ἐλευσινίας θεᾶς. ΤΕΛΕΥΤΗΣΑΙ ΔΕ ΤΟΝ ΟΡΚΟΝ.
τὸ ἀποδοῦναι τὸν ἔνορκον λόγον, δίον ποιήσω τόδε, ἢ
οὐ ποιήσω. ΤΗΛΕΜΑΧΩ Δ' ΕΙΚΗΛΑ. αἰνίττεται ὡς
ἕκαστος τῶν ἰθακησίων τὴν τοῦ νέου δημηγορίαν εἰς νοῦν φέ-
ρων, καὶ τὸν τοῦ βασιλέως ἀπολωλότος παῖδα δίον
παρ' αὐτοῖς ἰσάμενον, καὶ κρίνων δίκαια ἐκ θυμοῦ εἰπεῖν,
καὶ αἰτήσασθαι, ἀμῦναι μὲν οὐ θαρροῦσι διὰ τὸν κίνδυνον
δὲ ἐς τὸ ἔργον, ἵνα δὲ δοῦναι λογίζονται καὶ αὐτῶν εἶναι
εἰς ἑτέρας προσεπιδοῦναι. ΦΡΟΝΙΟΙΟ ΝΟΗΜΟΝΑ.
ἀστείως ὠνοματοπεποίηκεν. πάντως γὰρ ἐκεῖνος ἵνα ὑπι-
σχετο, ὃ μὴ κατὰ τοὺς μνηστῆρας ἀφραδίης καὶ ἀνοήμων
ἐπὶ τοῖς μένουσι. ΠΡΟΦΡΩΝ. ἐθελοντής. ΥΠΕΔΕΚΤΟ.
ὑπέσχετο. ΣΚΙΟΩΝΤΟ ΤΕ ΠΑΣΑΙ ΑΓΗΑΙ. ἡ γὰρ
νὺξ, σκιὰ γῆς. ΟΠΛ' ΕΤΙ ΘΕΙ. τὴν σκευὴν τῆς νηός.
ΕΠ' ΕΣΧΑΤΙΗΣ. ἐπὶ τὸ ἄκρον τοῦ λιμένος, μεθ' ὃ
ἡ θάλασσα. ΥΠΝΟΝ ΕΧΕΕ. τὸ ὑγρὸν τοῦ ὕπνου δη-
λοῖ. ΠΛΑΖΕ ΔΕ ΠΙΝΟΝΤΑΣ. παρεπλάνα τοῦ ἐγρη-
γορέναι. ΧΕΙΡΩΝ Δ' ΕΜΒΑΛΕ ΚΥΠΕΛΛΑ. ἀδυνα-
τούντων διὰ τὸν ὕπνον. ΕΠΙ ΒΛΕΦΑΡΟΙΣΙΝ ΕΠΙ-
ΠΤΕΝ. βάρος ὕπνου δηλοῖ, ταχὺ τὰ βλέφαρα
κλειόντων. ΕΠΗΡΕΤΜΟΙ. ἐπίκωποι, ἕτοιμοι ἐρέσσειν.
ΜΕΤ' ΙΧΝΙΑ ΒΑΙΝΕ. εὐσεβεῖ πρέπει. ΔΕΥΤΕ ΦΙ-
ΛΟΙ. δημαγωγικῶς εὐκαίρως κολακεύει. ΜΙΑ ΔΟ-
ΙΗ. λεληθότως ἀπόρρητον αὐτοῖς ὑποτίθησι τὴν
πρᾶξιν ἔσεσθαι, ἵνα μὴ δὲ αὐτοὶ ἐξείπωσί τισί. ΝΗ-
ΟΣ ΒΑΙΝΕ.



ΟΣ ΒΑΙΝΕ. ἐπὶ νηός. ΝΗΙ Δ' ΕΝΙ ΠΡΥΜΝΗ. ἀντὶ
τοῦ νεὼς πρύμνῃ, καὶ ἐν ἰλιάδι, νηὶ δ' ἐνὶ πρυμνῇ
ἔναρα βροτόεντα δόλωνος. ΠΡΥΜΝΗΣΙΑ. τὰ πείσμα-
τα. ΙΚΜΕΝΟΝ. ὑγρὸν, παρὰ τὴν ἰκμάδα, ἢ τὸν φορὸν,
καὶ εἰς τὸ ἵκεσθαι ἐπιτήδειον, οἱονεὶ ἱκόμενον, ἵκμενον,
δι' ὑγρὸν, καὶ ἀλλαχοῦ ἀνέμων μένος ὑγρὸν ἀέντων, ἢ
τὸν ἱκνεῖσθαι καὶ φέρεσθαι ποιοῦντα. ΑΚΡΑΗ ΖΕΦΥΡΟΝ.
ἐπιτήδειον ἄκρως πνέοντα πρὸς τὴν χρείαν, οὔτε πλέον
οὔτ' ἔλαττον, ἢ τὸν μὴ κεκραμένον, ἀλλ' ἀκριβῶς ζέφυ-
ρον, τινὲς εὐκραῆ. ΚΕΛΑΔΟΝΤΑ. ἐπίθετον τοῦ πόντου.
ὅθεν καὶ οἱ παλαιοὶ ἐγκέλαδον ἵππον τῷ ποσειδῶ-
νι παραδιδόασιν. ΙΕΙ ΓΛΑΥΚΩΠΙΣ ΑΘΗΝΗ. ἡ κατὰ
τοὺς ναυτίλους ἐμπειρία καὶ φρόνησις. ἢ χρησάμενοι
ἔπλευσαν. ΕΝΤΟΣΘΕ ΜΕΣΟΔΜΗΣ. μεσόδμη ἡ
ὀπή, δι' ἧς ὁ ἱστὸς ἐγείρεται, παρὰ τὸ ἐν μέσῳ τῆς νηὸς
δεδομῆσθαι. ΠΡΟΤΟΝΟΙΣΙ. σχοινίοις, δι' ὧν ὁ ἱστὸς
ἀποδεσμεῖται, ὡς ἂν ἔχῃ βεβαίως ἵστασθαι, οἱ δὲ πα-
λαιοὶ κάλωας, ἀπὸ τοῦ καρχησίου εἰς πρῷραν καὶ πρύ-
μναν διατείνοντας. ΕΥΣΤΡΕΠΤΟΙΣΙ. εὐμαλάκτοις,
εὐκλώστοις. ΒΟΕΥΣΙ. χρήσεως ἀρχαίας ἐστὶ, καθ' ἣν καὶ
νῦν οἱ περί που τοὺς ταύρους ἀρκτικοί, φωκῶν δέρ-
μασι, καὶ ἄλλοις τισὶ τοιούτοις, τὴν τῶν σχοινίων
χρείαν ἀποπληροῦσι. ΒΟΕΑΣ ΚΑΙ ΒΟΕΙΣ. λέγει
τοὺς ἐκ βοείων ἱμάντας κάλωας. ΕΠΡΗΣΕ Δ' ΑΝΕ-
ΜΟΣ. ἐφύσησεν, ὅθεν καὶ πρηστήρ. ΣΤΕΙΡΗ. ἡ τρόπις.
ΙΑΧΕΝ.

ΙΑΧΕΝ. ἤχησεν, ὀνοματοποιία. ΕΠΙΣΤΕΦΕΑΣ. πλήρεις, μέχρι στεφάνης, παρὰ τὸ κρατῆρας ἐπεστέψαντο. ΚΑΙ ΗΩ. ἕως τοῦ μεταξὺ νυκτός τε καὶ ἀνατολῆς ὥραν, ὤφειλε δὲ εἰπεῖν οἷον. ΠΕΙΡΕ. διεπέρα, ἔνθεν καὶ τὸ ἀλεγεινά τε κύματα πόρων.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Γ ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Τηλέμαχον ἐλθόντα σὺν Ἀθηνᾷ ξενίζει Νέστωρ, καὶ διηγεῖται αὐτῷ τὰ συμβεβηκότα τοῖς Ἕλλησι, καὶ τὸν ἀπόπλουν ἐκ Τροίας, πυθόμενος δὲ τὰ περὶ τοὺς μνηστῆρας, καὶ γνωρίσας Ἀθηνᾶν ἀπιοῦσαν, θυσίαν αὐτῇ ἐπιτελεῖ, λαβὼν δὲ ὁ Τηλέμαχος ἅρμα σὺν Πεισιστράτῳ Νέστορος υἱεῖ εἰς Σπάρτην ἀπαίρει, νυκτὸς δὲ ἐπιγενομένης ξενίζονται παρὰ Διοκλεῖ ἐν Φηραῖς. Τηλέμαχος εἰς Πύλον καταχθεὶς ἅμα τῇ Ἀθηνᾷ ἐν Μέντορος μορφῇ καταλαμβάνει τοὺς Πυλίους θυσίαν ταύρων ἐπιτελοῦντας τῷ Ποσειδῶνι καί τι περὶ τοῦ πατρὸς αὐτῷ πυθομένῳ, ἐκτίθεται τινὰ τῶν Ἰλιακῶν διηγημάτων, μετὰ τοῦτο ἡ μὲν Ἀθηνᾶ, ἐν ὀρνέου μορφῇ ἀπαλλάττεται, ὁ δὲ Νέστωρ θυσίαν



θυσίαν αὐτῇ συντελέσας τὸν Τηλέμαχον ἅμα τῷ υἱῷ Πεισιστράτῳ εἰς Λακεδαίμονα ἀποπέμπει. ΑΝΟΡΟΥΣΕ. ἀνώρμησεν. ΛΙΜΝΗΝ. νῦν τὸν ὠκεανόν. ΠΟΛΥΧΑΛΚΟΝ. ἰσχυρόν, στερεόν. ΦΑΕΙΝΗ. φαίνει, λάμψῃ. ΖΕΙΔΩΡΟΝ. τὴν τὰ πρὸς ζωὴν δωρουμένην. ΡΕΖΟΝ. ἔπραττον, ἔθυον. ΙΞΟΝ. ἀφίκοντο, ἦλθον. ΤΑΥΡΟΥΣ ΠΑΜΜΕΛΑΝΑΣ. ταύρους μὲν διὰ τὸ βίαιον τῆς θαλάσσης, μέλανας δὲ διὰ τὴν χρόαν τοῦ ὕδατος τοῦ ἐκ τοῦ βάθους. ΕΝΟΣΙΧΘΟΝΙ. τῷ Ποσειδῶνι τῷ κινοῦντι τὴν γῆν· ἔνωσις γὰρ ἡ κίνησις, χθὼν δὲ ἡ γῆ· δοκοῦσι γὰρ οἱ σεισμοὶ ὑπ' αὐτοῦ εἶναι. ΚΥΑΝΟΧΑΙΤΗ. μελανοχαίτῃ. ΕΝΝΕΑ Δ' ΕΔΡΑΙ ΕΣΑΝ. ἐννέα συνέδρια ἦν τῶν πόλεων, διὰ τὸ ἐννεάπολιν εἶναι τὴν Πύλον. ΠΡΟΥΧΟΝΤΟ. προείχοντο, παρεῖχον, ἢ κατεῖχον ἐπὶ τὸ σφάξαι. ΕΚΑΣΤΟΘΙ. ἑκάστοτε ἐφ' ἑκάστης. ΕΥΘ' ΟΙ. αὐτίκα οὗτοι. ΕΙΣΗΣ. ἴσης κατὰ τοὺς τοίχους. ΣΤΕΙΛΑΝ. συνέστειλαν. ΕΠΑΣΣΑΝΤΟ. ἐγεύσαντο. ΕΚ ΔΕΒΑΝ. ἐξέβησαν δέ. ΒΑΙΝΕ. ἐξέβαινεν. ΕΤ' ΑΙΔΟΥΣ. ἔτι αἰδεῖσθαι. ΕΠΕΠΛΩΣ. ἐπλεύσας. ΚΥΘΕ. κεύθει, κρύπτει, ἢ ἔκρυψεν. ΕΠΕΣΠΕΝ. ἐπλήρωσεν. ΕΙΔΟΝΕΝ. γνῶμεν, μάθωμεν. ΝΗΤΙΝ. βουλὴν γνώμην. ΙΩ. πορευθῶ. ΠΡΟΣΠΤΥΞΟΜΑΙ. προσεταιρίσομαι, προσαγορεύσω, φιλοφρονήσομαι. ΠΕΠΕΙΡΗΜΑΙ. ἔμπειρος εἰμί, οὐκ ἤσκημαι λόγοις. ΠΥΚΝΟΙΣΙ. συνετοῖς σώφροσιν. ΓΕΡΑΙΤΕΡΟΝ.

Pylus ur-
biu. 9.

ΡΟΝ. παλαιότερον. ΕΞΕΡΕΕΣΘΑΙ. ἐπερωτᾶν. ΥΠΟ-
ΘΗΣΕΤΑΙ. ὑποβάλῃ. ΙΞΟΝ. ἀφίκοντο, ἦλθον. ΕΔΡΑΣ.
τὰ συνέδρια. ΑΕΚΗΤΙ. ἀβουλίᾳ παρὰ γνώμην. ΕΝ-
ΤΥΝΟΜΕΝΟΙ. παρασκευαζόμενοι. ΕΠΕΙΡΟΝ. περιέ-
πειρον, ἐνέπειρον, ὅ ἐστι, διεπερόνησαν. ΓΕΝΕΣΘΑΙ.
γεννηθῆναι. ΙΔΡΥΣΕΝ. ἐκάθισεν. ΚΩΕΣΣΙ. κω-
δίοις δέρμασι προβάτων. ΑΛΙΗΣΙ. θαλασσίαις.
ΜΟΙΡΑΣ. μερίδας. ΔΕΙΔΙΣΚΟΜΕΝΟΣ. δεξιούμενος,
φιλοφρονούμενος. ΔΑΙΤΗΣ. εὐωχίας. ΣΠΕΙΣΗΣ.
θύσεις. ΗΝΤΗΣΑΤΕ. ἐπετύχετε, συνηντήσατε. Ο-
ΜΗΛΙΚΙΗ. ὁμῆλιξ, συνηλικιώτης. ΜΟΛΟΝΤΕΣ.
ἐλθόντες. ΠΡΟΤΕΡΩ. πρώτῳ. ΑΛΕΙΣΟΝ. ἔκπω-
μα ἐκπεπονημένον οἷον εὐάλιον ὑπάρχον πλατὺ
ὅθεν ἐστὶν ἅλις πιεῖν. ΜΕΓΗΡΗΣ. φθονήσῃς. ΑΜΟΙ-
ΒΗΝ. χάριν ἔκτισιν. ΑΓΑΚΛΕΙΤΗΣ. ἄγαν ἐνδόξου.
ΩΣ Δ' ΑΥΤΩΣ. οὕτως δέ. ΤΕΛΕΥΤΑ. ἐτέλεσε, ἐπλήρου.
ΥΠΕΡΤΕΡΑ. τὰ ὑπέρτερα καὶ μείζονα τῶν ἔξωθεν τῶν ἐν-
δον ἐστὶν ἐγκοίλια· ταῦτα γὰρ ὑπερέχει τῶν λοιπῶν
κρεῶν. ΔΑΣΣΑΜΕΝΟΙ. μερισάμενοι. ΚΑΛΛΙΟΝ. κα-
λόν. ΓΕΡΗΝΙΟΣ. κατὰ μὲν ἡσίοδον ὁ ἐν γερήνοις
ἀνατραφείς, κρεῖσσον δὲ ἀποδιδόναι ὁ ἔντιμος παρὰ
τὸ γέρας. ΜΕΤΑΛΛΗΣΑΙ, ἐπιζητῆσαι. ΕΡΕΣΘΑΙ. ἐρω-
τῆσαι. ΤΑΡΠΗΣΑΝ. ἐκορέσθησαν. ΠΛΕΙΤΕ. πλεῖσ-
τε. ΑΛΑΛΗΣΘΕ. πλανᾶσθε. ΟΙΑ ΤΕ ΛΗΙΣΤΗ-
ΡΕΣ. οὐκ ἄδοξον ἦν παρὰ τοῖς παλαιοῖς τὸ λη-
σεύειν,



στεύειν, ἀλλ' ἔνδοξον. ΛΗΙΣΤΗΡΕΣ. λῃσταί. ΥΠΕΡ Α-
ΛΑ. κατὰ τὴν θάλασσαν. ΕΙΡΕΑΙ. ἐρωτᾷς. ΑΛΟΩΝ-
ΤΑΙ. πλανῶνται. ΨΥΧΑΣ ΠΑΡΘΕΜΕΝΟΙ. ἀφειδή-
σαντες ἑαυτῶν παραβαλόντες. ΑΛΛΟΔΑΠΟΙΣΙΝ.
τοῖς ἀλλοφύλοις ξένοις. ΥΠΟ ΝΗΙΟΥ. τῆς ὑπὸ τὸ
νήιον ὄρος κειμένης. ΟΥ ΔΗΜΙΟΣ. οὐ δημοσίᾳ.
ΜΕΤΕΡΧΟΜΑΙ. ἐπιζητῶ. ΤΑΛΑΣΙΦΡΟΝΟΣ. ὑπο-
μονητικοῦ. ΕΞΑΛΑΠΑΞΑΙ. ἐκπορθῆσαι. ΠΕΥΘΟ-
ΜΕΘΑ. ἐμάθομεν, ἠκούσαμεν. ΛΥΓΡΩ. χαλεπῷ.
ΑΠΕΥΘΕΑ. ἀνήκουστον. ΑΜΦΙΤΡΙΤΗΣ. τῆς θαλάσ-
σης. λέγεται δὲ οὕτω καὶ ἡ ποσειδῶνος γυνή. ΙΚΑ-
ΝΟΜΑΙ, ἱκετεύω. ΕΝΙΣΘΕΙΝ. εἰπεῖν. ΟΡΩΠΑΣ.
ἐθεάσω, ἑώρακας. ΟΙΖΥΡΟΝ. πολύπονον, ταλαίπω-
ρον. ΜΕΙΛΙΣΣΕΟ. μείλιχα καὶ προσηνῆ λέγε.
ΟΡΩΠΗΣ. θέας παρὰ τοὺς ὦπας ἢ φωνῆς παρὰ τὴν
ὄπα. ΥΠΟΣΤΑΣ. ὑπομείνας, ὑποσχόμενος. ΕΛΕΑΙ-
ΡΩΝ. ἐλεῶν. ΚΑΤΑΛΕΞΟΝ. ἕκαστα εἰπέ. ΗΝΤΗ-
ΣΑΣ. ἐπήντησας. ΕΞΕΤΕΛΕΣΕ. ἐτελείωσεν, ἐπλή-
ρωσεν. ΜΝΗΣΑΙ. μνημόνευσον. ΗΝΙΠΕΣ. εἶπες.
ΑΝΕΤΛΗΜΕΝ. ὑπεμείναμεν. ΜΕΝΟΣ ΑΣΧΕ-
ΤΟΙ. τὴν δύναμιν ἀκατάσχετοι, ἀνδρεῖοι. ΚΑ-
ΤΑ ΛΗΙΔΑ. κατὰ τὴν λείαν διὰ τὴν τῶν λα-
φύρων κτῆσιν. ΟΠΗ. ὅπου. ΑΡΞΕΙΕΝ. ἡγήσοιτο. ΜΑΡ-
ΝΑΜΕΣΘΑ. μαχόμεθα. ΘΕΟΦΙΝ ΜΗΣΤΟΡ ΑΤΑ-
ΛΑΝΤΟΣ. θεοῖς ἐν τῷ βουλεύεσθαι ὅμοιος. ΜΥ-

ΘΗΣΑΙΤΟ. εἴποι. ΠΑΡΑΜΙΜΝΩΝ. παραμένων. ΕΞΕΡΕΟΙΣ. διεξερευνήσειας, ἐρωτήσειας. ΚΑΚΑ ΡΑΤΟΜΕΝ. κακὰ ἐβουλευόμεθα συνήγομεν ἐπεχνώμετα. ΗΘΕΛΕ. ἠδύνατο. ΕΚΓΟΝΟΣ. παῖς. ΣΕΒΑΣ. ἔκπληξις. ΜΥΘΟΙ. λόγοι. ΦΑΙΗΣ. εἴποις, ἄν τι τοι, εἴποι τὶς ἄν. ΔΙΧ' ΕΒΑΖΟΜΕΝ. ἐδιχονοοῦμεν, ἐλέγομεν. ΕΙΩΣ. ἐφ' ὃν χρόνον. ΒΟΥΛΗ. σκέψις γνώμη. ΕΝΑ ΘΥΜΟΝ ΕΧΟΝΤΕΣ. ὁμονοοῦντες. ΕΠΙΦΡΟΝΙ. συνετῇ. ΦΡΑΖΟΜΕΣΘΑ. ἐβουλευόμεθα. ΔΙΕΠΕΡΣΑΜΕΝ. παντελῶς ἐπορθήσαμεν. ΒΗΜΕΝ. ἐβήκαμεν εἰσήλθομεν. ΣΦΩΝ. αὐτῶν. ΕΠΕΣΠΟΝ. ἐπλήρωσαν. ΜΗΝΙΟΣ ΕΞ ΟΛΟΗΣ. ἐπεὶ αἴαντα τὸν λοκρὸν οὐκ ἐκόλασαν βιασάμενον ἐν τῷ ἱερῷ αὐτῆς κασάνδραν. ΜΗΝΙΟΣ. ὀργῆς. ΚΑΛΕΣΣΑΜΕΝΩ. καλέσαντες. ΜΥΘΕΙΣΘΗΝ. ἔλεγον. ΑΓΕΙΡΑΝ. συνήθροισαν. ΕΡΥΚΑΚΕΕΙΝ. κατασχεῖν, κωλῦσαι. ΕΞΑΚΕΑΙΤΟ. θεραπεύσειεν, ἰάσαιτο. ΠΕΙΣΕΣΘΑΙ. ἐπείσειεν. ΤΡΕΠΕΤΑΙ. μεταβάλλεται. ΑΜΕΙΒΟΜΕΝΩ. δι' ἐξ ἀμοιβῆς ἀλλήλοις ἀποκρινόμενοι. ΕΣΤΑΣΑΝ. ἀντὶ τοῦ διέστησαν. ΑΝΟΡΟΥΣΑΝ. ἀνώρμησαν. ΑΕΣΑΜΕΝ. ἀνεπαυσάμεθα, ἐκοιμήθημεν ἢ διενυκτερεύσαμεν ἐμείναμεν. ΟΡΜΑΙΝΟΝΤΕΣ. ἐνθυμούμενοι, βουλευόμενοι. ΗΡΤΥΕ. παρεσκεύαζεν. ΕΡΗΤΥΟΝΤΟ. ἔμενον οἰκείᾳ τῇ βουλῇ. ΕΣΤΟΡΕΣΕΝ. ἔστρωσεν, γαλήνην ἐποίησεν.



Aiacis locri flagitiũ

ἐκόλασαν



ΗΜΙΣΕΕΣ. ἡμίσεις. ΕΡΕΞΑΜΕΝ. ἐπράξαμεν, ἐθύσαμεν. ΜΕΓΑ ΚΗΤΕΑ. μεγάλα κήτη ἔχοντα. ΗΡΑ. ἐπιθυμητά. ΜΕΤΑ ΝΩΙΝ. ὡς πρὸς ἡμᾶς μετὰ ἡμᾶς. ΛΕΣΒΩ. λέσβῳ, νῆσος τρίας ἔχουσα πόλεις. ΠΥΡΡΑΝ. ἔρεσον. ΜΙΤΥΛΗΝΗΝ. μήθυμναν, ἄντισαν. ΕΚΙΧΕΝ. κατέλαβεν. ΔΟΛΑΧΟΝ ΠΛΟΟΝ ΟΡΜΑΙΝΟΝΤΑΣ. διανοουμένους περὶ μακροῦ πλόου. ΚΑΘΥΠΕΡΘΕΝ. ὑπεράνωθεν. ΝΕΟΙΜΕΘΑ. πορευοίμεθα, ἀντὶ τοῦ πλέοιμεν. ΠΑΙΠΑΛΟΕΣΣΗΣ. τραχείας νήσου. ΨΥΡΙΑ. νησίδιόν ἐστι λυπρὸν ἀπέχον σταδίους π, τῆς χίου, ὃ καὶ αἰγιαλὸν ἔχει, ἐν ᾧ ἐστι λιμὴν ἐκδεχόμενος ἀπὸ τοῦ αἰγαίου πελάγους ταρασσομένας τὰς ναῦς, μέμνηται δημοσθένης. κεῖται ἡ νῆσος χίος μέση τῶν ψυρῶν καὶ τοῦ μίμαντος. ΓΑΡ' ΗΝΕΜΟΕΝΤΑ ΜΙΜΑΝΤΑ. μίμας ὄρος ἀντικρὺ χίου τῆς νήσου ἀπὸ μίμαντος ἑνὸς τῶν γιγάντων ὀνομασθέν. ΑΥΤΗΝ ΕΠ' ΑΡΙΣΤΕΡ' ΕΧΟΝΤΕΣ. τὴν χίον λέγει. ΗΝΕΜΟΕΝΤΑ. ἀνέμους καταπνεόμενον, κατήνεμον ὑψηλόν. ΥΠΕΝΕΡΘΕΝ. ὑποκάτωθεν. ΜΙΜΑΝΤΑ. ὁ μίμας ὄρος ἐρυθρὸν ἀντικρὺ χίου. ΗΤΕΟΜΕΝ. ᾐτοῦμεν παρεκαλοῦμεν. ΦΗΝΑΙ. δεῖξαι. ΗΝΩΓΕΙ. ἐκέλευεν. ΠΕΛΑΓΟΣ ΜΕΣΟΥ. τὴν τούτων μέσην ὁδόν. ΕΥΟΙΑΝ. νῆσον ἐγγὺς ἀθηνῶν. ΤΕΜΝΕΙΝ. διαπερᾶν. ΚΑΚΟΤΗΤΑ. τὸν κίνδυνον τὴν κακίαν. ΟΥΡΟΣ. πόμπιμος ἄνεμος. ΑΗΜΕΝΑΙ.



Psyria

Demosthenes

Mimas. unde di-

Mimas

Euboea

πνεῖν φυσᾶν. ΙΧΘΥΟΕΝΤΑ ΚΕΛΕΥΘΑ. τὴν θάλασσαν
λέγει. ΓΕΡΑΙΣΤΟΝ. γεραιστὸς λιμὴν εὐβοίας. ΕΝ-
ΝΥΧΙΑΙ. ἑωθιναί, ὑπὸ νύκτα. ΜΕΤΡΗΣΑΝΤΕΣ. διελ-
θόντες διαπεράσαντες, οὐριοδρομήσαντες. ΕΣΒΗ. ἐσβέ-
σθη, ἐπαύσατο. ΑΗΝΑΙ. πνεῦσαι. ΦΙΛΕΤΕΚΝΟΝ. ἤτοι
πρὸς τὸ σημαινόμενον ἀπήντησε, φίλος γὰρ τὸ τέκνον
οὐδέτερον. ἢ πρὸς τὸ συνώνυμον τὸ παῖς. ΑΠΕΥΘΗΣ.
μηδὲν πυθανόμενος ἢ ἀκούσας. ΣΑΩΘΕΝ. ἐσώθη-
σαν. ΠΕΥΘΟΜΑΙ. πυνθάνομαι, ἀκούω. Η ΘΕΜΙΣ. ὡς
δίκαιον, ὡς ὁ νόμος. ΔΑΗΣΕΤΑΙ. μαθήσῃ. ΠΟΝ-
ΤΟΣ ΔΕ ΟΙ ΟΥΤΙΝ ΑΠΗΥΡΑ. οὐκ ἀπήλαυσεν ὁ
πόντος τινός. ὥστε οὐ κατεπόντισεν τινά. ΚΕΥΣΩ.
κρύψω. ΕΥ ΝΕΝ ΜΥΡΜΙΔΟΝΑΣ. οἱ νεώτεροι τὸν
νεοπτόλεμον εἰς τὴν ἤπειρον ἐλθεῖν λέγουσι. ΜΗΣΑ-
ΤΟ. διεπράξατο εἰργάσατο. ΣΜΥΓΕΡΩΣ. ἐπιπόνως
τὸ μέζον μετείληφθαι, αἰολικῶς δὲ ὅ ἐστιν ἐπιπόνως.
ΚΑΤΑΦΘΙΜΕΝΟΙΟ. ἀποθανόντος. ΛΙΠΕΣΘΑΙ. κα-
ταλειφθῆναι. ΕΙ ΓΑΡ ΕΜΟΙ. εἴθε γὰρ ἐμοί. ΥΠΕΡ-
ΒΑΣΙΗΣ, ὑπερηφανίας. ΕΠΕΚΛΩΣΑΝ. εἱμαρμέ-
νον γενέσθαι ἐποίησαν. ΟΛΒΟΝ. εὐδαιμονίαν. ΤΕ-
ΤΛΑΜΕΝ. καρτερεῖν. ΜΗΧΑΝΑΑΣΘΑΙ. ἐπινοεῖν.
ΥΠΟΔΑΜΝΑΣΑΙ. ὑποτάξαι. ΕΧΘΑΙΡΟΥΣΙ, μι-
σοῦσιν. ΕΠΙΣΠΟΜΕΝΟΙ. ἀκολουθοῦντες καὶ πει-
θόμενοι. ΟΜΦΗ. χρησμῷ, κληδόνι, μαντείᾳ. ΑΝΑ-
ΦΑΝΔΑ. ἐκ τοῦ φανεροῦ, φανερῶς. ΦΙΛΕΥΝΤΑΣ.





φιλοῦντας. ΚΗΔΟΙΤΟ. φροντίζοι. ΕΚΛΕΛΑΘΟΙ-
ΤΟ. ἐπιλάθοιτο. ΣΑΩΣΑΙ. σῶσαι ἀντὶ τοῦ σῶσαι.
ΕΦΕΣΤΙΟΣ. ἐπὶ τῆς ἑαυτοῦ ἑστίας εἰς τὴν ἰδίας οἰκίαν.
ΟΜΟΙΙΟΝ. τὸν ὁμοίως ἐπὶ πάντας κατὰ φύσιν
ἐρχόμενον. ΜΟΙΡΑ. θανατικὴ ἀνάγκη. ΛΕΓΩΜΕΘΑ.
διαλεγώμεθα. ΚΗΔΟΜΕΝΟΙ ΠΕΡ. καίπερ λυπού-
μενοι. ΕΤΗΤΥΜΟΣ. ἀληθής. ΦΡΑΣΣΑΝΤΟ. ἐβου-
λεύσαντο. ΔΙΚΑΣ. δίκαια, καθήκοντα. ΦΡΟΝΙΝ.
φρόνησιν. ΑΝΑΞΕΣΘΑΙ. βασιλεῦσαι. ΙΝΔΑΛΛΕ-
ΤΑΙ. ὁμοιοῦται, φαίνεται, φαντασιοῦται. ΕΙΣΟΡΑΑ-
ΣΘΑΙ. ὁρᾶν ἀντὶ τοῦ ὁρῶντι, βλέποντι. ΔΟΛΟ-
ΜΗΤΙΣ. δόλια βουλευσάμενος. ΜΗΣΑΤΟ. εἰργά-
σατο, ἐτεχνάσατο. ΚΤΑΝΕ. ἀνεῖλεν, ἐφόνευσεν. ΑΡΕΙΩ.
βελτίονα. Η ΟΥΚ ΑΡΓΕΟΣ, ΗΕΝ ΑΧΑΙΚΟΥ. ἆρα
οὐκ ἐν τῷ ἄργει ἦν τῷ ἀχαϊκῷ. κατέπεφνεν, ἀνεῖλεν.
ΑΓΟΡΕΥΣΩ. λέξω, εἴπω. ΤΡΟΙΗΘΕΝ. ἀπὸ τῆς τροίας.
ΕΤΕΤΜΕΝ. κατέλαβεν. ΧΥΤΗΝ. τὴν ἐπιχεο-
μένην τοῖς νεκροῖς γῆν. ΟΙΩΝΟΙ. σαρκοφάγοι
ὄρνιθες. ΚΑΤΕΔΑΨΑΝ. κατέφαγον. ΜΕΓΑ ΜΗ-
ΣΑΤΟ ΕΡΓΟΝ. νῦν μέγα καὶ χαλεπὸν ἐβουλεύσα-
το, ὅ ἐστιν, ἔργον χαλεπὸν ἐμηχανήσατο. ΤΕΛΕΟΝ-
ΤΕΣ. ἐκτελοῦντες. ΜΥΧΩ ΑΡΓΕΟΣ. τῷ ἐσωτάτῳ
μέρει τοῦ ἄργους. ΘΕΛΓΕΣΚΕ. ἠπάτα. ΕΡΓΟΝ ΑΕΙ-
ΚΕΣ. τὴν μοιχείαν. ΔΙΑ ΚΛΥΤΑ ΜΝΗΣΤΡΗ.
δῖα, εὐγενὴς πρὸ τοῦ μοιχευθῆναι. ΦΡΕΣΙ ΓΑΡ

ΚΕΧΡΗΤ᾽ ΑΓΑΘΗΣΙ. φρεσὶν ἀγαθαῖς. ΠΑΡ Δ᾽ ΑΡΕΗΝ ΚΑΙ ΑΟΙΔΟΣ. συμπαρῆν δὲ αὐτῇ καὶ ἀοιδός, τὸ γὰρ ἀρχαῖον οἱ ἀοιδοὶ φιλοσόφων τάξιν ἐπεῖχον, τινὲς δὲ κακῶς νοήσαντες τὸν εὐνοῦχον ἀπέδοσαν. ΕΙΡΥΣΘΑΙ. φυλάττεσθαι. ΚΥΡΜΑ. εὕρημα, ἅρπαγμα. ΕΚΗΕ. ἔκαυσεν. ΑΓΑΛΜΑΤΑ. ἱμάτια ὑφαντά. ΕΛΠΕΤΟ. ἤλπιζεν. ΣΟΥΝΙΟΝ. ἀκρωτήριον τῆς ἀττικῆς. ΙΡΟΝ. ἱερὸν τίμιον. ΑΦΙΚΟΜΕΘΑ. παραγενόμεθα. ΑΚΡΟΝ ΑΘΗΝΑΙΩΝ. ἀπὸ τῆς πόλεως τὴν ἀττικὴν εἴρηκεν. ΦΡΟΝΤΙΝ ΟΝΗΤΟΡΙΔΗΝ. παρὰ τὸ φροντίζειν καὶ ὄνησιν εἶναι πέπλακε τὰ ὀνόματα. ΕΚΑΙΝΥΤΟ. ἐνίκα, κυρίως δὲ τὸ καίνυσθαι τὸν κτείναντα νικῆσαι. καίνειν γὰρ τὸ φονεύειν ἐστί, τὸ δὲ ἀπέρχοιεν ἀντὶ τοῦ κατεπείγοιεν. ΚΑΤΕΣΧΕΤΟ. ἐν λιμένι κατεσχέθη. ΚΤΕΡΙΣΕΙΕΝ. ἐνταφιάσῃ. ΜΑΛΕΙΑΩΝ ΟΡΟΣ. τὴν μαλέαν λέγει τὸ ἀκρωτήριον τῆς λακωνικῆς. ΕΦΡΑΣΣΑΝΤΟ. ἐβουλεύσαντο. ΑΥΤΜΕΝΑ. ἀρρενικῶς τὸν ἀϋτμένα ἀπὸ ὀρθῆς τῆς ἀϋτμὴν· ἀϋτμὴ γάρ ἐστιν ἡ πνοὴ ἡ σφοδρά. ΧΕΥΕ. ἔβαλεν. ΤΡΟΦΕΟΝΤΟ. ηὐξάνοντο. ΠΕΛΩΡΙΑ. μεγάλα. ΚΥΔΟΝΕΣ. ἔθνος κρήτης καὶ κυδωνὶς πόλις κρήτης ποταμὸν ἔφασαν ἰάρδανον. ΕΣΤΙ ΔΕ ΤΙΣ ΛΙΣΣΗ. λεία, πέτρα, ἣν κατὰ μεταπλασμὸν εἶπεν τὴν νῦν καλουμένην παρὰ τοῖς κρησὶ σὺν τῷ β, βλίσκη, ἔστι δὲ ἀκρωτήριον τῆς γορτυνίας, ὅθεν κράτης σὺν τῷ ι ν γράφει λισσίν.

Musici locum philosophorum apud antiquos habebant

Malea.

Cydones

Cydonis. v.

Jardan. fl.

Blise. promō. gortyniæ

Crates



λισσίν. ΕΣΧΑΤΙΗ. ἐπὶ τοῖς ἐσχάτοις. ΣΚΑΙΟΝ. δεινὸν χαλεπόν. ΦΑΙΣΤΟΝ. ἀκρωτήριον τῆς γορτύνης, ἀπὸ μὲν τῶν πολλῶν κυμάτων λίαν ἐπικλυζόμενον, καὶ εἰ βραχεῖα τις αὔρα γένηται, ἀπὸ δὲ μεσημβρίας οὐ δὲ ὅλως, καίτοι δὲ νότου μέγιστα ἐγείροντος κύματα. διὰ τὸ καὶ τοῦτο τὸ μέρος προκύψασαις εἰς θάλασσαν πέτραις περιράσσεσθαι τὰ κύματα, τινὲς δὲ τὴν φαιστόν, πόλιν τῆς κρήτης λέγουσι. ΜΙΚΡΟΣ ΔΕ ΛΙΘΟΣ ΜΕΤΑ ΚΥΜ᾽ ΑΠΟΕΡΓΕΙ. τὸ γὰρ ὑπὸ τοῦ νότου κῦμα τὴν φαιστὸν ἂν ἐποίει ἀλίμενον εἰ μὴ προκείμενος ὁ λίθος ἐκώλυεν ἐντὸς μέγα γίνεσθαι κῦμα προκαταγνυμένων περὶ αὐτὸν τῶν κυμάτων· γράφεται καὶ μαλίου δὲ λίθος, κάλιον γὰρ ὀνομάζεται. πρὸ τοῦ φαιστίων λιμένος ἀκρωτήριον. ΑΠΟΕΡΓΕΙ. ἀποκωλύει. ΗΛΥΞΑΝ. διέφυγον. ΣΠΙΛΑΔΕΣΣΙ. παραλίοις πέτραις παρὰ τὸ ἐσπιλῶσθαι. ἢ ταῖς κατὰ θάλασσαν περιειλημμέναις ἐν ὀλίγῳ ὕδατι. ΕΑΞΑΝ. ἔκλασαν. ΑΛΑΤΟ. ἐπλανᾶτο. ΔΕΔΜΗΤΟ. ὑπετέτακτο. ΑΥ ΑΠ ΑΘΗΝΑΙΩΝ. ἐπαιδεύετο. ΤΟΝ. τοῦτον τὸν αἴγισθον. ΔΑΙΝΥ. κατεσκεύασε. ΜΗΤΡΟΣ ΤΕΣΤΙΓΕΡΗΣ. φείδεται διὰ τούτων τοῦ ὀρέστου· τὸ μὲν γὰρ εὐφημότερον ἐποίησεν ὅτι ἔθαψε τὴν μητέρα, τὸν δὲ θάνατον παρεσιώπησεν. ΑΝΑΛΚΙΔΟΣ. ἀσθενοῦς. ΑΕΙΡΑΝ. ἐβάστασαν. ΑΛΑΛΗΣΟ. ἐπλανῶ. ΠΡΟΛΙΠΩΝ. καταλιπών. ΤΗΥΣΙΗΝ.

Lissin

Phæstū promō.

Phæst. v.

Malio. p̄

ΣΙΗΝ. μάταιαν. ΕΙΛΗΛΟΥΘΕΝ. ἦλθεν. ΕΚ ΤΩΝ. γῆς ἐκείνων. ΕΛΠΟΙΤΟ. ἤλπισεν. ΑΠΟΣΦΗΛΩΣΙΝ. ἀποκρουσθῆναι καὶ ἀποσφαλῆναι ποιήσωσιν. ΑΥΤΟΕΤΕΣ. ἐν αὐτῷ τῷ ἔτει. ΟΙΧΝΕΥΣΙ. παραγίνονται. ΠΑΡΑ ΤΟΙ. πάρεισί σοι. ΠΟΜΠΗΕΣ. προπομποί. ΔΙΑΝ. εὐδαίμονα. ΕΝΙΣΠΗ. εἴπῃ. ΤΑΜΝΕΤΕ ΜΕΝ ΓΛΩΣΣΑΣ. ἔθος ἦν τρεπομένοις πρὸς τὸ καθεύδειν τῶν ἱερείων τὰς γλώσσας ἀποτέμνειν καὶ καίειν τοῖς θεοῖς, τοὺς λόγους ἐπιμελουμένους, διὸ καὶ ἐπὶ μόνης τῆς Νέστορος θυσίας εἴρηται τὸ ἔθος. εὐήθες δὲ τὸ λέγειν συντέμνε τοὺς λόγους. λέγεται δὲ ἀττικὸν εἶναι τὸ ἔθος, λαβόντων τὴν ἀρχὴν ἐντεῦθεν. ΚΕΡΑΣΘΕ. ἀντὶ τοῦ κιρνᾶτε. ΚΟΙΤΟΙΟ. κοίτης, ὅ ἐστιν ὕπνου. ΖΟΦΟΝ. τὸ σκότος. ΟΥ ΔΕ ΕΟΙΚΕΝ. οὐ πρέπον ἐστίν. ΘΑΑΣΣΕΜΕΝ. καθίσαι, διατρίψαι. ΑΥΔΗΣΑΣΗΣ. εἰπούσης. ΙΕΣΣΟΗΝ. ὥρμησαν. ΚΑΘΑΠΤΟΜΕΝΟΣ. φιλοφρονούμενος. ΖΕΥΣ ΤΟΥΓ ΑΛΕΞΗΣΕΙΣ. τὸ ὑμᾶς χωρισθῆναι ἀπ' ἐμοῦ ὡς πενιχροῦ ἢ ἀνελευθέρου. ΑΛΕΞΗΣΕΙΣ. ἀπείρξειε, κωλύσειεν. ΚΙΟΙΤΕ. ἀπέλθοιτε. ΑΝΕΙΜΟΝΟΣ. μὴ κεκτημένου ἱμάτια. ΡΗΓΕΑ. βαπτὰ ἱμάτια καὶ περιβόλαια. ῥέξαι γὰρ οἱ ἀρχαῖοι ἔλεγον τὸ βάψαι. ΜΑΛΑΚΟΣ. ἁπαλῶς ἀντὶ τοῦ ἐναπαλῶς. ΠΑΡΑ. πάρεισιν. ΤΟΥ Δ' ΑΝΔΡΟΣ. ἤτοι ἀναφορικῶς τοῦ Ὀδυσσέως. ἢ τοῦδε ἀνδρὸς δεικτικῶς ἀντὶ τοῦ ἐμοῦ. ΕΠ' ΙΚΡΙΟΦΙΝ. ἐπὶ τῶν καταστρωμάτων καὶ σανίδω-

Mos sacrificandi linguas

ῥήγεα



deest negatio manifeste

ων τῆς νηός. ΚΑΤΑΛΕΞΕΤΑΙ. κοιμηθήσεται. ΛΙΠΩΝΤΑΙ. καταλειφθῶσιν. ΞΕΙΝΙΖΕΙΝ. ξενοδοχεῖν, φιλικῶς ὑποδέχεσθαι. ΕΦΗΣΘΑ. εἶπε. ΕΥΔΗ. κοιμηθῇ. ΘΑΡΣΥΝΩ. παρορμήσω, θαρρεῖν ποιήσω. ΓΕΡΑΙΤΕΡΟΣ. παλαιότερος. ΛΕΞΑΙΜΗΝ. κοιμηθείην. ΜΕΤΑ ΚΑΥΚΩΝΑΣ. νῦν τῶν ἐν Ἀρκαδίᾳ μέμνηται. ΟΥΘΕΤΙ ΔΕ. ἡ Ἀθηνᾶ πρὸς τὸν Μενέλαον σὺν τῷ Τηλεμάχῳ ἀφικνεῖται διότι γάμοι ἐπετελοῦντο υἱοῦ καὶ θυγατρὸς Μενελάου. ἀλλοτρία δὲ τούτων ἡ Ἀθηνᾶ. ΟΦΕΛΛΕΤΑΙ. ὀφείλεται, χρεωστεῖται. ΦΗΝΗ. φήνη εἶδος ὀρνέου ὅμοιον ἀετῷ. ΘΑΥΜΑΖΕΝ Δ' Ο ΓΕΡΑΙΟΣ. ὅτι νέῳ ὄντι τῷ Τηλεμάχῳ συνηκολούθει ἡ Ἀθηνᾶ. ΚΑΚΟΝ. δειλόν, ἀσθενές. ΕΠΟΝΤΑΙ. ἀκολουθοῦσιν. ΙΛΗΘΙ. ἵλεως ἢ εὐμενὴς ἔσο. ΔΙΔΩΘΙ. δίδου, πάρεχε. ΑΓΑΚΛΥΤΑ. ἄγαν ἔνδοξα. ΚΡΗΔΕΜΝΟΝ. τὸ πῶμα μεταφορικῶς τοῦ πίθου. ΑΙΘΟΥΣΣΗ. τῇ πρὸς ἥλιον τετραμμένῃ παρὰ τὸ αἴθεσθαι ἐν αὐτῇ φῶς. ὅ ἐστι, καίεσθαι. ΕΡΙΓΔΟΥΠΩ. μεγάλους ἤχους ἀποτελούσῃ διὰ τοὺς ἀνέμους. ΕΥΜΕΛΙΗΝ. καλῶς τῇ μελίᾳ χρώμενον. ΟΡΧΑΜΟΝ. ἡγεμόνα. ΗΙΘΕΟΣ. ὁ ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ἕως ὀκτωκαίδεκα ἠΐθεος λέγεται: ἔστι δὲ ἄγαμος. ΠΟΡΣΥΝΕ. ηὐτρέπιζεν. ΑΠΟΣΤΙΛΒΟΝΤΕΣ. ἀπολάμποντες. ΑΛΕΙΦΑΤΟΣ. λείπει τὸ ὡς, ἔστι γὰρ ὡς ἐλαίου. ΙΖΕΣΚΕΝ. ἐκαθέζετο. ΕΦΙΖΕ. ἐπεκάθητο. ΘΕΟΕΙΚΕΛΟΝ.

Caucones

ἠΐθεος

ΚΕΛΟΝ. θεοῖς ὅμοιον. ΕΙΣΑΝ. ἐκάθισαν. ΚΡΗΗΝΑΤΕ. ἐπιτελέσατε. ΙΛΑΣΟΜΑΙ. ἐξιλεώσομαι. ΕΝΑΡΓΗΣ. φανερά. ΙΤΩ. βαδιζέτω. ΘΑΛΕΙΑΝ. τὴν θάλλειν καὶ αὔξειν ποιοῦσαν. ΛΙΠΕΤΩ. καταλιπέτω, ἐασάτω. ΟΙΟΥΣ. μόνους. ΚΕΛΕΣΘΩ. κελευσάτω. ΠΕΡΙΧΕΥΗ. περιβάλλει. ΕΠΟΙΠΝΥΟΝ. ἐνήργουν. ΕΡΓΑ. τὰ ἐργαλεῖα. ΧΑΛΚΗΙΑ. χαλκευτικά. ΠΕΙΡΑΤΑ ΤΕΧΝΗΣ. οἷς ἡ τέχνη συμπεραιοῦται. ΑΝΤΙΟΩΣΣΑ. μεταληψομένη. ΑΝΘΕΝΟΕΝΤΙ. ποικίλῳ διὰ τὰ ἐντετορνευμένα αὐτῷ ἐπιτηδείως. ΟΥΛΑΣ. ἐλαιοβρόχους κριθάς. ΠΕΛΕΘΥΝ. δίστομον ἀξίνην. ΑΜΝΙΟΝ. ἔστι μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις, σημαίνει δὲ ἀγγεῖον ὅπου τὸ αἷμα τῶν ἱερείων δέχονται, καὶ ἔστι κατὰ τὸ ἔτυμον αἱμένιον. ὃ δὲ ἐστὶ στερητικὸν τοῦ μένους, τουτέστι, ψυχῆς. οἱ Ἀττικοὶ δὲ σφάγιον αὐτὸ καλοῦσι. ΧΕΡΝΙΒΑ Τ' ΟΥΛΟΧΥΤΑΣ ΤΕ ΚΑΤΗΡΧΕΤΟ. χερνίβων καὶ οὐλῶν πρῶτος ἦρχεν. ΗΛΑΣΕΝ. ἔπαισεν, ἔκρουσεν. ΤΕΝΟΝΤΑΣ. πάντα τὰ διατεταμένα νεῦρα Ὅμηρος τένοντας καλεῖ. ΟΛΟΛΥΞΑΝ. μετὰ βοῆς ηὔξαντο. ΝΥΟΙ. νύμφαι. ΠΡΕΣΒΑ. πρεσβυτέρα, ἢ ἔντιμος. ΑΝΕΧΟΝΤΕΣ. καθίσαντες. ΕΥΠΥΟΔΕΙΗΣ. πλατείας ὁδοὺς ἐχούσης. ΕΣΧΟΝ. κατέχον. ΡΥΓΗ. ἔρυσεν. ΔΙΕΧΕΥΣΕΝ. κατὰ μέρη διεῖλον. ΤΑΜΝΟΝ. διέτεμον διέκοψαν. ΑΚΡΟΠΟΡΟΥΣ. ὀξέσι, ὧν τὸ ἄκρον διὰ τῶν πειρομένων εὐχερῶς διΐησιν

διὰ τὴν

ἄμνιον

σφάγιον

Τένοντες homero



διὰ τὴν ὀξύτητα. ΟΠΛΟΤΑΤΗ. νεωτάτη. ΛΙΠ' ΕΛΑΙΩ. τῷ λιπαρῷ ἐλαίῳ. ΕΖΟΜΕΝΟΙ. καθεζόμενοι. ΟΡΟΝΤΟ. ὥρμων. ΟΙΝΟΧΟΕΥΝΤΕΣ. κιρνῶντες. ΠΡΗΣΣΗΣΙΝ ΟΔΟΙΟ. πορεύηται εἰς τὴν ὁδόν. ΟΥΑ. ἐδέσματα. ΔΙΟΤΡΕΦΕΕΣ. ὑπὸ Διὸς τεθραμμένον, εὐγενεῖς. ΣΕΙΟΝ ΖΥΓΟΝ. παρεκδοχικῶς ἀπὸ τοῦ παρεπομένου τὸ προηγούμενον ἀντὶ τοῦ ὤδευον. ΦΗΡΑΣ. Φηραὶ πόλις τῆς ἐλῶν Μεσσηνίας. οἱ δὲ τῆς Λακωνικῆς. ΑΛΦΕΙΟΣ. ποταμὸς Ἤλιδος. ΑΕΣΑΝ. ἀνεπαύσαντο ἐκοιμήθησαν. ΠΥΡΗΦΟΡΟΝ. σιτοφόρον. ΗΝΟΝ. ἤνυον διήρχοντο. ΤΟΙΟΝ ΓΑΡ ΥΠΕΚΦΕΡΟΝ. οὕτω γὰρ μετὰ τάχους ἔτρεχον.

Τέλος τοῦ γ.

Pheræ .V.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Δ' ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Παρὰ Μενελάῳ ξενισθεὶς σὺν Πεισιστράτῳ Τηλέμαχος, ἀπαγγέλλει τὰ κατὰ τὴν Ἰθάκην ὑπὸ τῶν μνηστήρων πραττόμενα, ἔπειτα διηγεῖται αὐτῷ ὁ Μενέλαος περὶ τοῦ νόστου τῶν Ἑλλήνων καὶ τῆς Πρωτέως μαντείας, δι' ἧς ἔγνω τὸν Ἀγαμέμνονος θάνατον, καὶ ὡς Ὀδυσσεὺς

παρὰ

παρὰ καλυψοῖ ἐστί. βουλὴ δὲ γίνεται τῶν μνηστήρων περὶ τοῦ τὸν τηλέμαχον ἀνελεῖν. παραμυθεῖται δὲ ἡ ἀθηνᾶ δι᾽ ὀνείρου τὴν πηνελόπην ἐπὶ τῇ τοῦ παιδὸς ἀποδημίᾳ δυσχεραίνουσαν διὰ εἰδώλου. ὁμοιωθεῖσα ἰφθίμῃ τῇ τῆς πηνελόπης ἀδελφῇ.

Sparte Lacedæmo

ΚΟΙΛΗΝ ΛΑΚΕΔΑΙΜΟΝΑ. ἐπὶ ὑψηλοτάτοις ὄρεσι περικεκλεῖσθαι. ποτὲ μὲν τὴν πόλιν καλεῖ λακεδαίμονα, ποτὲ δὲ τὴν χώραν λακεδαίμονα τὴν σπάρτην. ΕΛΩΝ. ἤλαυνον. ΔΑΙΝΥΝΤΑ. ἑστιῶντα. ΕΤΗΣΙΝ. πολίταις. ΡΗΞΗΝΟΡΟΣ. ἀνδρείου, τοῦ διὰ τῆς ἠνορέας ῥήσσοντος τὰς τάξεις. ΔΩΣΕΜΕΝΑΙ. δοῦναι, παρασχεῖν. ΜΥΡΜΙΔΟΝΩΝ ΠΡΟΤΙ ΑΣΤΥ. ἣν ὅμηρος μὲν φθίαν λέγει. οἱ δὲ νεώτεροι φαρσαλίαν. ΣΠΑΡΤΗΘΕΝ. ἐκ τῆς σπάρτης. ΑΛΕΚΤΟΡΟΣ ΚΟΥΡΗΝ. οἱ μὲν ἰφιλόχην, οἱ δὲ ἐχέμηλον λέγουσιν τὸν γὰρ ἀλέκτορα γενεαλογοῦσιν ἀρκείου τοῦ πέλοπος. ΤΗΛΥΓΕΤΟΣ. ἤτοι τηλοῦ τῆς ἡλικίας, τουτέστι, προβεβηκόσι τοῖς γονεῦσι γενόμενος παῖς, μεθ᾽ ὃν οὐκέτι ἐλπίζουσι τεκνῶσαι, ἢ μονογενής, καθάπερ τηλέμαχος τῷ ὀδυσσεῖ καὶ ὀρέστης τῷ ἀγαμέμνονι. ΜΕΓΑΠΕΝΘΗΣ. ἐκ τοῦ ὀνόματος δηλοῖ, ὅτι μετὰ τὴν ἁρπαγὴν τοῦτον ἔσχεν. ΕΚ ΔΟΥΛΗΣ. οἱ μὲν κύριον τὸ δούλης, οἱ δὲ τηριδάην γὰρ τὸ κύριον αὐτῆς ὄνομα. ΕΛΕΝΗ ΔΕ ΘΕΟΙ ΓΟΝΟΝ ΟΥΚΕΤ᾽ ΕΦΑΙΝΟΝ. πιθανῶς ἵνα ἐπιπλεῖστον ἀκμάσῃ. ἢ ἵνα ἐξ ἀλεξάνδρου παῖδα μὴ σχῇ, οἱ γὰρ νεώτεροι ἑλέ-

Ide
Phthia
Pharsalia
Τηλύγετος

νης μὲν



Helenæ f.

νης μὲν καὶ ἀλεξάνδρου κόρυθον ἢ ἕλενον, ἐκ δὲ μενελάου νικόστρατον γενεαλογοῦσι. ΓΕΙΤΟΝΕΣ Η ΔΕ ΕΤΑΙ. γείτονες μὲν νῦν οἱ ἀστυγείτονες, ἔται δὲ φίλοι, ἢ οἱ πολῖται, οὕτω γὰρ ἔσται μεγαλοπρεπὴς ὁ γάμος. ΕΜΕΛΠΕΤΟ. ᾖδεν. ΚΥΒΙΣΤΗΤΗΡΕΣ. κυβισταί, ὀρχησταί. ΜΟΛΠΗΣ. τῆς παιδιᾶς. ΕΔΙΝΕΥΟΝ. ἐκύκλωσε, ἐστρέφοντο, ὠρχοῦντο. ΙΔΕΤΟ. ἐθεάσατο. ΚΡΕΙΩΝ. ἐξέχων καὶ διάκριτος. ΠΡΟΜΟΛΩΝ. προελθών. ΟΤΡΗΡΟΣ. σπουδαῖος, δραστικός. ΘΕΡΑΠΩΝ. ὑπηρέτης, φίλος, ὁ περὶ τὴν θεραπείαν ὑπάρχων. ΑΓΓΕΛΕΩΝ. ὀφείλων ἀπαγγεῖλαι. ΞΕΙΝΩ ΔΗ ΤΙΝΕ. εἰσαγγέλλεται μόνῳ περὶ ξένων μενελάῳ διὰ τὸ βεβουλεῦσθαι ὑπὲρ ξένων. ΓΕΝΕΗΝ. γένησιν, γένος. ΕΙΚΤΟΝ. ἐοίκεσαν. ΣΦΩΙΝ. αὐτοῖς. ΑΛΛΟΝ. πρὸς ἄλλον. ΙΚΑΝΕΜΕΝ. παραγένηται. ΦΙΛΗΣΗ. φιλικῶς ὑποδέξηται. ΕΞΟΠΙΣΩ. ἐς ὕστερον εἰς τὰ μετὰ ταῦτα. ΘΟΙΝΗΘΗΝΑΙ. εὐωχηθῆναι. ΖΕΙΑΣ. ὀλύρας. ΚΑΠΗΣΙ. φάτναις, ὀλύρας δὲ ἀντὶ τῆς ἁπαλὰς κεκροκισμιλίας. ΔΕΙΚΝΥΜΕΝΟΣ. δεξιούμενος. ΕΙΡΗΣΟΜΕΘΑ. ἐρωτήσομεν. ΟΥ ΓΑΡ ΣΦΩΙΝ ΓΕ ΓΕΝΟΣ. σὺν τῷ ι γραπτέον, ἢ σφῶιν δυϊκῶς. οὐ γὰρ ἀφανῶν ἐστε γονέων. ΑΣΠΕΤΑ. πολλά. ΚΑΚΟΙ. δειλοί, ἀσθενεῖς. ΤΕΚΟΙΕΝ. γεννήσοιεν. ΤΑ ΡΑ ΟΙ. ἅτινα δὴ αὐτῷ. ΓΕΡΑ. κατὰ τιμήν. ΠΑΡΘΕΣΑΝ. παρέθηκαν. ΦΡΑΖΕΤΟ. νῦν ἀντὶ τοῦ ὅρα. ΣΤΕΡΟΠΗΝ. ἔκλαμψιν.

ΗΧΗΕΝΤΑ.

ΗΧΗΕΝΤΑ. μεγάλα. ΞΥΝΕΤΟ. συνῆκεν. ἤκουσεν.
ΕΠΙΣΕΤΑΙ. φιλονεικήσει. ΕΠΑΛΗΘΕΙΣ. πλανηθείς, οἱ
δὲ ἐπὶ τοὺς ἀληθεῖς αἰγυπτίους μαντικῆς ἔμπειροι.
ΑΙΓΥΠΤΙΟΥΣ, ἐπὶ τοὺς αἰγυπτίους. ΙΚΟΜΗΝ. παρα-
Sidonij.. γενόμενον. ΣΙΔΟΝΙΟΥΣ. τοὺς παρὰ τῇ ἐρυθρᾷ θαλάσσῃ
λέγει, ὅθεν μετῴκησαν οἱ φοίνικες. ΕΡΕΜΒΟΥΣ. τοὺς
Erembi τρωγλοδύτας παρὰ τὸ εἰς τὴν ἔραν δύνειν. οἱ δὲ τοὺς
ἰνδοὺς παρὰ τὸ ἔρεβος. μέλανες γάρ. ὅθεν καὶ κρά-
Crates της ἐρεμνοὺς γράφει. οἱ δὲ ἴδιον ἔθνος, ἔνιοι δὲ τοὺς
ἄραβας, καὶ μεταγράφουσιν οὕτως, αἰθίοπάς θ' ἱκό-
μην καὶ σιδονίους ἄραβάς τε. ΑΦΑΡΚΕΡΑΟΙ. ταχέως
φέρουσι διὰ τὴν εὐδίαν. οἱ δὲ σύνθετον τῶν ἀρνῶν
τὸ κεραοί, τινὲς δὲ τὸ ἄφαρ, ὅτι ταχέως καὶ πρώϊμοι
γίνονται. ΤΡΙΣ ΓΑΡ ΤΙΚΤΕΙ ΜΗΛΑ. ἄλλοτε ἄλλα. ἢ
δι' ὅλου αὐτοῦ εἰσὶν αἱ γοναί, οὐχ ὥσπερ ἡμῖν μό-
νῳ τῷ ἦρι. ΕΠΙΔΕΥΗΣ. ἐνδεής. ΕΠΛΕΤΑΝΟΝ. ἐπὶ
πολὺ ἄφθονον. ΘΗΣΘΑΙ. κυρίως μὲν τὸ θηλάσαι,
νῦν δὲ τὸ ἀμέλγειν, εἶπεν παρὰ τὴν θηλήν. ΗΛΩ-
ΜΗΝ. ἐπλανώμην. ΤΕΙΩΣ. τηνικαῦτα. ΑΩΙΣΤΙ. ἀνυ-
πονοήτως ὥστε μηδὲ προνοῆσαί τινα. ΚΕΧΑΝΔΩ-
ΤΑ. χωροῦντα. ΚΑΙ ΑΠΩΛΕΣΑ ΟΙΚΟΝ. ἀμφίβο-
λον, πότερον τὸν ἑαυτοῦ ἢ τὸν πριάμου. ΓΟΩ ΦΡΕ-
ΝΑ ΤΕΡΠΟΜΑΙ. πληροῦμαι. ΑΙΨΗΡΟΣ ΔΕ ΚΟ-
ΡΟΣ. ὁ ὑπὲρ τῶν ἄλλων μοι θρῆνος ταχέως θραύεται.
ΟΔΥΡΟΜΑΙ. ἀποκλαίομαι. ΑΠΕΧΘΑΙΡΕΙ. εἰς μῖσος
ἄγει.



ἄγει. ΜΝΩΟΜΕΝΩ. μνηστευομένῳ. ΕΜΟΓΗΣΕΝ. ἐκα-
κοπάθησεν. ΗΡΑΤΟ. ὑπέμεινεν. ΑΠΟΙΧΕΤΑΙ. ἄπε-
στιν, ἀπόλωλε. ΕΞΕΡΕΟΙΤΟ. ἐρευνήσειεν, ἀνακρίνοι.
ΜΥΘΗΣΑΙΤΟ. εἴποι. ΘΥΩΔΕΟΣ. εὐώδους. ΚΛΙΣΙ-
ΗΝ. δίφρον ἀνάκλιτον ἔχοντα. ΤΑΛΑΡΟΝ. κάλα-
θον. ΘΗΒΗΣΙ. θῆβαι πόλις αἰγύπτου, ἡ νῦν καλου- Theba
μένη διὸς πόλις. ΚΑΛΛΙΜΑ. ἄγαν καλή. ΥΠΟΚΥ- Diospolis
ΚΛΟΝ. κύκλον ἔχον ἢ ὑπότροχον. ΚΕΚΡΑΑΝΤΟ.
ἐτετελείωντο. ΝΗΜΑΤΟΣ. εἰς νῆσιν ἐπιτηδειότητος.
ΑΣΚΗΤΟΙΟ. καλῶς γεγονότος. ΒΕΒΥΣΜΕΝΟΝ. πε-
πληρωμένον. ΗΛΑΚΗΤΗ. ἐριουργικόν, ἐργαλεῖον.
ΤΕΤΑΝΥΣΤΟ. ἐπέκειτο. ΙΟΔΝΕΦΕΣ. μέλαν ἢ πορ-
φυροῦν. ΕΙΡΟΣ. ἔριον. ΕΥΧΕΤΟΩΝΤΟ. ἐκαυχῶντο.
ΕΟΙΚΟΤΑ. ὅμοιον ὄντα. ΕΙΣΚΕΙΣ. ἀπεικάζεις. ΤΟΙΑΙ.
τοιαῦται. ΒΟΛΑΙ. τὰ βλέμματα. ΕΦΥΓΕΡΘΕΝ. ἐπά-
νωθεν. ΜΥΘΕΟΜΗΝ. ἔλεγον, διηγούμην. ΟΙΖΥΣΑΣ.
ταλαιπωρήσας. ΣΑΟΦΡΩΝ. σώφρων. ΝΕΜΕΣΑΤΑΙ.
ἐντρέπεται, αἰδεῖται. ΕΠΕΣΒΟΛΙΑΣ ΑΝΑΦΑΙΝΕΙΝ.
τὰς γενομένας τῶν μνηστήρων εἰς αὐτὸν φλυα-
ρίας, ἢ τὰς περὶ τὸν οἶκον αὐτοῦ φλυαρίας καὶ λοι-
δορίας διεξιέναι. ἢ ὑπὸ σωφροσύνης οὐ βούλεται προ-
κατάρχεσθαι λόγων, ἐπεσβολίας δὲ νῦν τὰς τῶν
ἐπῶν εἰσβολὰς ἀρχάς. ΑΝΑΦΑΙΝΕΙΝ. φαίνειν, διε-
ξιέναι. ΕΕΛΔΕΤΟ. ἐπεθύμει. ΑΟΣΗΤΗΡΕΣ. βοηθοί.
ΥΠΟΘΗΣΕΑΙ. ὑποβάλῃς. ΑΛΑΛΚΟΙΕΝ. κωλύσουσι

βουληθῶσιν. ΦΛΗΣΕΜΕΝ. φιλοφρονήσασθαι. ΕΦΗΝ. ἔλεγον. ΝΑΣΣΑ. κατῴκησα. ΕΤΑΞΑ. κατεσκεύασα. ΤΕΚΕΙ. τέκνῳ. ΕΞΑΛΑΠΑΞΑΣ. μεταστήσας τοὺς ἐνοικοῦντας εἰς ἕτερον τόπον. ΑΝΑΦΕΚΑΛΥΨΕ. περιεκάλυψεν. ΑΛΛΑ ΤΑ ΜΕΝ ΠΟΥ ΜΕΛΛΟΙΕΝ. ἀλλὰ τὸ τοῖς κεν ἐῴκει. ΑΓΑΣΑΣΘΑΙ. φρονήσειν. ΑΝΟΣΤΙΜΟΝ. ἐπανόδου μὴ τυχόντα. ΗΟΥΣ ΗΟΣ. ὁ μέμνων, τιθωνοῦ γὰρ καὶ τῆς ἡμέρας υἱός. ΕΡΕΟΙΜΕΝ. ἐρωτήσωμεν. ΕΙΤΙ ΠΟΥ ΕΣΤΙΝ. εἰ ἐνδέχεται. ΜΕΤΑΔΟΡΠΙΟΣ. μετὰ τὸ δεῖπνον ἢ οὕτως οὐ γὰρ ἀρέσκει μοι θρηνεῖν μετὰ τὸ δεῖπνον. ΝΕΜΕΣΩΜΑΙ. μέμφομαι. ΚΑΚΙΣΤΟΣ. δειλός. ΙΔΜΕΝΑΙ. εἰδέναι. ΡΕΞΕΙΕ. πράξοι. ὁ δὲ ὅ. ΑΡΙΓΝΩΤΟΣ. εὔγνωστος. ΕΠΙΚΛΩΣΕΙ. εἱμαρμένον ποιήσει. ΓΕΙΝΟΜΕΝΩ. τεκνοποιοῦντι, γαμοῦντι. ΛΙΠΑΡΩΣ. εὐδαιμόνως, μεγάλως. ΠΙΝΥΤΟΥΣ. σώφρονας, συνετούς. ΜΝΗΣΩΜΕΘΑ. ἐπιμεληθῶμεν. ΧΕΥΑΝΤΩΝ. ἐπιχεέτωσαν ἀττικῶς. ΔΙΑΕΙΠΕΜΕΝ. διαλεχθῆναι. ΑΣΦΑΛΙΩΝ. πεποίηκε τὸ ὄνομα παρὰ τὴν ἀσφάλειαν. ΝΗΠΕΝΘΕΣ. ἀπενθές. ΑΧΟΛΟΝ. τὴν χολὴν παῦον. ΕΠΙΛΗΘΟΝ. παροξυτόνως, ἵν' ᾖ, ἐπιλησικόν. οἱ δὲ προπερισπῶσιν, ἵν' ᾖ, ἐπιλανθάνεσθαι ποιοῦν. ΚΑΤΑΒΡΩΞΕΙΕΝ. καταπίοι. ΕΦΗΜΕΡΙΟΣ. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ ἔπιεν. ΔΗΙΟΩΕΝ. ἀναιροῖεν, φονεύοιεν. ΜΗΤΙΟΕΝΤΑ. πρακτικὰ ἢ ὑπὸ συνέσεως. ΠΟΛΥ-

ΔΑΜΝΑ.

Titon?



ΔΑΜΝΑ. ἀμφίβολα πότερον τῆς φαρμακίδος ἐστὶ τὸ ὄνομα ἢ τὰ φάρμακα τὰ πολλοὺς δαμάζοντα, ἐκείνην γὰρ θέμιν πτολεμαῖος ἐν τῷ πρώτῳ χρόνῳ φησί. ΙΗΤΡΟΣ ΔΕ ΕΚΑΣΤΟΣ. ἕκαστος δὲ ἐκεῖθι ἰατρῶν, ὑπὲρ τοὺς ἄλλους ἐστίν, ἐπεὶ παιήονος ἀπόγονοί εἰσι, γράφεται καὶ περὶ πάντων φαρμακευτῶν, οὐ γὰρ πάντες πάντα ἴσασιν. ΠΕΡΙ ΠΑΝΤΩΝ. ὑπὲρ πάντας. ΠΑΙΗΟΝΟΣ. παιήων, ἰατρὸς θεῶν, οὐχ ὁ αὐτὸς τῷ Ἀπόλλωνι, ἀλλὰ κεχωρισμένος, παρὰ μέντοι τοῖς νεωτέροις ὁ αὐτὸς νομίζεται εἶναι, καὶ ἡσίοδος δὲ μάρτυς ἐστί, τοῦ ἕτερον εἶναι τὸν παιήονα τοῦ Ἀπόλλωνος, λέγων, εἰ μὴ ἀπόλλων φοῖβος ὑπὲκ θανάτοιο σαώσεν, ἢ αὐτὸς παιήων, ὃς ἁπάντων φάρμακα οἶδεν. ΟΙΝΟΧΟΗΣΑΙ. κεράσαι. ΗΤΟΙ ΝΥΝ ΔΑΙΝΥΣΘΕ. τὸ ἑξῆς ἀτρεΐδη καὶ παῖδες ἤτοι νῦν δαίνυσθε. ζεὺς γὰρ ἄλλοτε ἄλλα περιγίνεται, νῦν μέν τοι ἡμῖν τὸ εὐωχεῖσθαι. ΚΑΤΑΛΕΞΩ. ἕκαστα εἴπω. ΑΕΘΛΟΙ. ἆθλοι ἀγῶνες. ΑΥΤΟΝ ΜΙΝ. δύο ἰσοδυναμοῦσαι ἀντωνυμίαι ἀντὶ μιᾶς παραλαμβάνονται. ΑΕΙΚΕΛΙΗΣΙ. δασικαῖς, δειναῖς, χαλεπαῖς. ΣΠΕΙΡΑ ΚΑΚΑ. ἱμάτια· προσέθηκε δὲ κακὰ ἵνα δηλώσῃ ῥάκη. ΟΙΚΗΙ. οἰκέτῃ, δούλῳ. ΑΝΔΡΩΝ ΔΥΣΜΕΝΩΝ. οἱ μὲν ἵνα μετρήσῃ τὸ τεῖχος, οἱ δὲ ἵνα πείσῃ τὴν ἑλένην συνεργῆσαι τοῖς ἕλλησι. ΚΑΤΕΔΥ. εἰσῆλθεν. ΗΙΣΚΕΝ. ἀπείκαζεν, ὡμοιοῦτο. ΔΕΚΤΗ. ἐπαίτῃ, ἀπὸ τοῦ δέχεσθαι. ΟΣ ΟΥΔΕΝ ΤΟΙΟΣ ΕΗΝ.



Ptolemaeus

Paeo

Paeo

Hesiodus

περὶ πάντων. ἢ ὑπὲρ πάντων

ἀβάκησαν

τὸ δεῖν παρέλκει. ΑΒΑΚΗΣΑΝ. ἠγνόησαν παρὰ τὸ βάζω ἐσχημάτισται ἡ λέξις τῶν ἅπαξ εἰρημένων ἐστίν. ΑΝΕΓΝΩΝ. ἐπέγνων. ΑΝΗΡΩΤΑΝ. ἠρώτουν. ΚΕΡΔΟΣΥΝΗ. δόλος, πανουργία. ΑΛΕΕΙΝΕΝ. ἐφυλάττετο. ΕΛΟΕΝ. ἔλουον, ἵνα ἀκριβέστερον τὰ καθ' ἑαυτὸν μάθῃ αὐτὴ ἔλουεν αὐτόν. ΕΣΣΑ. ἐνέδυσα. ΑΝΑΦΗΝΑΙ. μηνῦσαι, δεῖξαι. ΚΑΤΑ ΔΕ ΦΑΟΝΙΝ ΗΓΑΓΕΠΟΛΛΗΝ. πεταμένην ἔχοντι τὴν ἀκμὴν καὶ φρόνησιν αὐτῶν ἤγαγεν, τουτέστιν ἢ αὐτὸς καταφρονήσει τῇ αὐτῶν, ἢ τοὺς Ἕλληνας ἐποίησεν αὐτῶν καταφρονῆσαι, δι' ὧν ἔπεισεν τὴν Ἑλένην. ἢ φρονήσεως ἀπείρου ἑαυτῷ περιέθετο τὸ ὄνομα ταῦτα πρήσας. οἱ δὲ νεώτεροι φρόνιν τὴν λείαν, ἀπεδέξαντο. ΛΙΓΑ. ὀξέως. ΕΚΩΛΥΟΝ. ἐθρήνουν. ΜΕΤΕΣΤΕΝΟΝ. μετεμελόμην. ΝΕΕΣΘΑΙ. πορεύεσθαι. ΝΟΣΦΙΣΣΑΜΕΝΗ. χωρίσασα, καταλιποῦσα. ΠΟΣΙΝ. ἄνδρα. ΤΕΥ. τινός. ΔΕΥΟΜΕΝΟΝ. ἐνδεῆ ὄντα, ἐνδευόμενον. ΕΠΕΛΗΛΥΘΑ. ἐπῆλθον. ΕΔΑΗΝ. ἔμαθον. ΙΠΠΩ ΕΝΙ ΞΕΣΤΩ. τῷ δουρείῳ ἵππῳ καλῶς ἐξεσμένῳ. ΕΝΗΜΕΘΑ. ἐμβεβλημένοι ἦμεν. ΚΕΛΕΥΣΕΜΕΝΑΙ. προτρέψαι. ΚΑΙ ΤΟΙ ΔΗΙΦΟΒΟΣ. ἐπεὶ τελευτήσαντος τοῦ Ἀλεξάνδρου, ὑπὸ Φιλοκτήτου, Δηιφόβῳ ἐγαμήθη ἡ Ἑλένη. ΘΕΟΕΙΚΕΛΟΣ. θεοῖς ὅμοιος. ΙΟΥΣΗ. πορευομένη. ΤΟΙ. σοί. ΠΕΡΙΣΤΙΞΑΣ. περιῆλθες ἀπὸ τοῦ στίχειν, ὅ ἐστιν, πορευθῆναι. ΚΟΙΛΟΝ ΛΟΧΟΝ.

Durius equus

στίχω





τὸν δούρειον ἵππον. ΑΜΦΑΦΟΩΣΑ. ψηλαφῶσα. ΕΚ Δ' ΟΝΟΜΑ ΚΛΗΔΗΝ. ἐξ ὀνόματος. ΙΣΚΟΥΣΑ. ἀπεικάζουσα. ΝΩΙ. ἡμεῖς. ΜΕΝΕΗΝ ΑΜΕΝ. προεθυμήθημεν. ΕΣΧΕΝ. ἐπέσχεν. ΕΝΔΟΘΕΝ. ἔσωθεν. ΚΑΤΕΡΥΚΕ. κατέσχεν, ἐκώλυσεν. ΑΚΗΝ. ἥσυχοι. ΑΜΕΙΨΑΣΘΑΙ. ἀποκριθῆναι. ΙΕΜΕΝΟΣ ΠΕΡ. καίπερ προθυμούμενος. ΠΙΕΖΕ. ἔσφιγγεν. ΜΑΣΤΑΚΑ. τὸ στόμα. ΝΩΛΕΜΕΩΣ. ἀδιαλείπτως. ΣΑΩΣΕ. ἔσωσεν. ΟΦΡΑ. ἕως. ΑΛΓΙΟΝ. λυπηρόν. ΤΕΡΠΩΜΕΘΑ. τερφθῶμεν. ΗΡΚΕΣΕΝ. ἐβοήθησεν. ΓΛΥΚΕΡΩ. ἡδεῖ. ΔΕΜΝΙΑ. στρώματα. ΥΠ' ΑΙΘΟΥΣΣΗ. ἐξωτικῇ. ΣΤΟΡΕΣΑΝ. ἔστρωσαν. ΥΠΕΡΘΕ. ὑπεράνωθεν. ΔΑΟΣ. φῶς, λαμπάδα. ΠΡΟΔΟΜΩ. τῷ πρὸ τοῦ θαλάμου. ΜΥΧΩ. τῷ ἐσωτάτῳ. ΤΑΝΥΠΕΠΛΟΣ. τεταμένον πέπλον ἔχουσα. ΕΛΕΞΑΤΟ. ἐκοιμήθη. ΗΜΟΣ. ἡνίκα, ὅτε. ΙΜΕΝ. πορευθῆναι. ΔΕΥΡΟ. ἐνθάδε. ΝΩΤΑ ΘΑΛΑΣΣΗΣ. μεταφορικῶς τὸ πλάτος τῆς θαλάσσης εἶπεν. ΔΗΜΙΟΝ. δημόσιον. ΝΗΜΕΡΤΕΣ. ἀληθές. ΚΛΗΗΔΟΝΑ. κληδόνα, φήμην. ΕΝΙΣΠΟΙΣ. εἴποις. ΠΛΕΙΟΣ. πλήρης. ΥΠΕΡΒΙΟΝ. μεγάλην. ΑΝΑΛΚΙΔΕΣ. ἀσθενεῖς. ΙΚΑΝΟΜΑΙ, ἱκετεύω. ΟΠΩΠΑΣ. ἑώρακας. ΟΙΖΥΡΟΝ. ταλαίπωρον. ΜΕΙΛΙΣΣΕΟ. προσηνῶς διαλέγου. ΥΠΟΣΤΑΣ. ὑποδεχόμενος. ΟΝΙΣΠΕ. εἰπέ. ΞΥΛΟΧΩ. συνδένδρῳ τόπῳ, κοίτῃ θηρίων. ΝΕΒΡΟΥΣ. τὰ ἔγγονα τῶν ἐλάφων. ΝΕΗΓΕΝΕΑΣ. νεωστὶ τεχθείσας

νηπίας. ΓΑΛΑΘΗΝΟΥΣ. μικροὺς ἔτι γάλακτι τρε-
φομένους. ΚΝΗΜΟΥΣ. τὰς προβάσεις τῶν ὀρέων.
ΕΡΕΗΣΙΝ. ἐξερευνᾷ. ΑΓΚΕΑ. τοὺς κοίλους τόπους
τῶν ὀρέων. ΠΟΙΗΕΝΤΑ. βοτανώδη. ΕΗΝ. τὴν ἑαυτοῦ.
ΕΙΣΗΛΥΘΕΝ. εἰσῆλθεν. ΕΦΗΣΕΙ. ἐπιβαλεῖ. ΚΑΔ-
Δ' ΕΒΑΛΕ ΔΕ. κατέβαλε δὲ, ἐφῆκεν, ἔπεμψεν. ΦΙ-
ΛΟΜΗΛΕΙΔΗ. τῷ πατρόκλῳ, φιλομήλας γὰρ ἦν υἱός.
ΚΕΧΑΡΟΝΤΟ. ἐχάρησαν. ΟΜΙΛΗΣΕΙΕΝ. συμβάλοι,
μαχέσαιτο. ΛΙΣΣΕΑΙ. ἱκετεύεις, παρακαλέσεις.
ΠΑΡΕΞ. ἔξω παρὰ ταῦτα. ΠΑΡΑΚΛΙΔΟΝ. παρα-
κλιθείσης, παρατραπείσης. ΓΕΡΩΝ ΑΛΙΟΣ. θαλάσ-
σιος γέρων ὁ πρωτεύς. ΝΗΜΕΡΤΗΣ. ἀληθὴς, ἀψευ-
δής. ΦΑΡΟΝ. νῆσον αἰγύπτου τῆς νῦν ἀλεξανδρείας. *Pharos*
ΕΠΙΠΝΕΙΗΣΙΝ. ἐπιπνέῃ. ΕΥΟΡΜΟΣ. εὐκαθόρμιστος.
ΤΟΣΟΝ ΑΝΕΥΘΕΝ. ἐκτὸς τοσοῦτον εἶναι κατὰ τοὺς
ἡρωϊκοὺς χρόνους τὸ διάστημα, ἔπειτα ἀπὸ χωσθῆναι
τοῦ νείλου ὑπερχέοντος τῆς ἰδίας ἰλύϊ. ποταμόχω-
*Herodo* στος γὰρ ἡ αἴγυπτος κατὰ ἡρόδοτον. ΑΝΕΥΤΕ. μα-
κρὰν, πόῤῥω. ΠΑΝΙΜΕΡΙΗ. διὰ πάσης ἡμέρας. ΓΛΑ-
ΦΥΡΗ. κοίλη. ΗΝΥΣΕ. διεπέρασεν. ΑΦΥΣΣΑΜΕΝΟΙ.
ἀντλήσαντες. ΑΛΙΑΕΕΣ. οἱ ἐν τῇ θαλάσσῃ πνέοντες.
ΗΙΑ. ἐφόδια. ΚΑΤΕΦΘΙΤΟ. κατανάλωτο, ἀπέλι-
πεν. ΟΛΟΦΥΡΑΤΟ. ᾤκτειρεν. ΠΡΟΤΕΟΣ ΘΥΓΑ-
ΤΗΡ. εἰδοθέα. ΩΡΙΝΑ. ἐτάραξα. ΕΡΡΟΝΤΙ. μετὰ λύ-
πης πορευομένῳ καὶ φθορᾶς. ΑΛΩΜΕΝΟΙ. πλανώ-
μενοι.



μενοι. ΙΧΘΥΑΑΣΚΟΝ. ἰχθῦς ἤγρευον. ΓΝΑΜΠΤΟ-
ΙΣ. ἐπικαμπέσιν. ΕΤΕΙΡΕ. κατεπόνει. ΚΑΛΙΦΡΩΝ.
κεχαλασμένας ἔχων τὰς φρένας ἢ ἠλίθιος. ΜΕΘΙ-
ΕΙΣ. ἀμελεῖς. ΕΡΥΚΕΑΙ. κατέχῃ καὶ κωλύῃ. ΜΙΝΥ-
ΘΕΙ. ἐλαττοῦται, μειοῦται. ΚΑΤΕΡΥΚΟΜΑΙ. κατέ-
χομαι. ΜΕΛΛΩ. ἔοικα. ΑΛΙΤΕΣΘΑΙ. ἁμαρτή-
σαι. ΠΕΔΑΑ. ἐμποδίζει, κατέχει. ΠΟΛΕΙΤΑΙ.
ἀναστρέφεται, περιγίνεται. ΥΠΟΔΜΩΣ. θεράπων, ὑπη-
ρέτης. ΔΥΝΑΙΟ. δυνηθείης. ΛΟΧΗΣΑΜΕΝΟΣ. ἐνε-
δρεύσας. ΛΕΛΑΚΕΣΘΑΙ. ἐπιλαβέσθαι, κρατῆσαι.
ΔΟΛΙΧΗΝ. μακράν. ΦΡΑΖΕΟ. διανοοῦ, βουλεύου.
ΠΡΟΔΑΕΙΣ. προμαθών. ΑΛΕΗΤΑΙ. ἐκκλίνῃ, φυλά-
ξηται. ΔΑΜΗΝΑΙ. δαμασθῆναι. ΑΜΦΙΒΕΒΗΚΗ. περιέ-
χει. ΕΞ ΑΛΟΣ. ἤτοι ἔξω τῆς θαλάσσης. ΦΡΙΚΙ. τῇ *Φρικι*
ἐπιγινομένῃ μελανίᾳ ἐν τῷ ἐκ τῆς ἐπιπολαίου
κινήσεως τῶν ὑδάτων. ΑΜΦΙ ΔΕ ΜΙΝ ΦΩΚΑΙ.
περὶ αὐτὸν δὲ φῶκαι συνδιαιτᾶται ὁ πρωτεύς. *Phoca*
ἐπιτηδειότατον γὰρ τῶν ἐναλίων ζώων τοῦτο εἰς
μαγείαν. ΝΕΠΟΔΕΣ. οἱ διὰ τὸ νήχεσθαι τὴν χρείαν
ποιούμενοι, ἢ ἄποδες. ΑΛΟΣΥΔΝΗΣ. τῆς θαλάσσης
παρὰ τὸ ἐν ἁλὶ σεύεσθαι. ΑΘΡΟΑΙ. ὁμοῦ, πᾶσαι.
ΑΠΟΡΝΕΙΟΥΣΑΙ. ὄζουσαι. ΠΟΛΥΒΕΝΘΕΟΣ. πο-
λὺ βάθος ἐχούσης. ΕΥΝΑΣΩ. κατακλινῶ, κοι-
μίσω. ΚΡΙΝΑΣΘΑΙ. ἐπιλέξασθαι. ΟΛΟΦΩΙΑ. ὀλέ-
θρια ἢ ἀπόκρυφα ἢ δόλια. ΕΠΕΙΣΙΝ. ἐπελεύσεται.

ΠΕΜΠΑΣΣΕΤΑΙ. κατὰ πέντε ἀριθμήσει. ΛΕΞΕΤΑΙ. κατακλιθήσεται. ΝΟΜΕΥΣ. ὡς ποιμήν. ΠΩΕΣΙ. ποιμνίοις. ΚΑΤΕΥΝΗΘΕΝΤΑ. κοιμηθέντα. ΑΛΥΞΑΙ. ἐκφυγεῖν. ΠΕΙΡΗΣΕΤΑΙ. πειραθείη. ΕΡΠΕΤΑ. κυρίως μὲν οἱ ὄφεις, καταχρηστικῶς δὲ νῦν πάντα τὰ θηρία. ΑΣΤΕΜΦΕΩΣ. ἀσφαλῶς, βεβαίως, ἀμετακινήτως. ΠΙΕΖΕΙΝ ΒΙΑΙΟΤΕΡΟΝ. βιαιότερον κρατεῖν. ΑΝΗΡΗΤΑΙ. ἐρωτήσει. ΕΙΡΕΣΘΑΙ. ἐρωτᾶν. ΣΧΕΣΘΑΙ. παῦσαι. ΕΛΕΥΣΕΑΙ. ἔλθῃς, παράσχῃς. ΧΑΛΕΠΤΕΙ. βλάπτει. ΕΔΥΣΑΤΟ. κατέδυεν. ΗΙΑ. ἐπεξεύθην ἢ ἐπορευόμην. ΠΟΡΦΥΡΕ. ἐν βάθει τῆς διανοίας διενοεῖτο καὶ ἐκινεῖτο καὶ ἐταράσσετο. ὥσπερ συμβαίνει ἐπὶ τῶν ὑδάτων τὰ ἐκ βάθους κινούμενα μελαίνεσθαι. ΚΙΟΝΤΙ. ἀπιόντι. ΟΠΛΙΣΣΑΜΕΘΑ. παρεσκευασάμεθα. ΑΜΒΡΟΣΙΝ. ἄφθαρτος, θεία. ΠΕΠΟΙΘΕΑ. ἐπεποίθειν, ἐθάρρουν. ΓΑΣΑΝ ΕΠ᾽ ΙΘΗΝ. ἐπὶ πᾶσαν ὁρμὴν καὶ πρᾶξιν. ΕΥΡΕΑ. πλατεῖαν ἢ μεγάλην. ΥΠΟΔΥΣΑ. κατελθοῦσα. ΝΕΟΔΑΡΤΑ. νεωστὶ ἐκδαρθέντα. ΔΙΑΓΛΑΨΑΣΑ. διακοιλάνασα. ΕΥΝΙΣΕΝ. κατέκλινεν, ἐκοίμισεν. ΑΙΝΟΤΑΤΟΣ. δεινότατος, χαλεπώτατος. ΤΕΙΡΕ. κατεπόνει. ΑΛΙΟΤΡΕΦΕΩΝ. τῶν ἐν τῇ θαλάσσῃ τρεφομένων. ΕΙΝΑΛΙΩ. θαλασσίων. ΟΝΕΙΑΡ. ὠφέλειαν. ΥΔΗ. ἡδέως. ΟΛΟΩΤΑΤΟΣ. ὀλεθριώτατος. ΑΜΒΡΟΣΙΗΝ. νῦν τὸ θεῖον καὶ εὐῶδες ἔλαιον. ΗΟΙΗΝ. τὸν ἀπὸ πρωΐας ἕως ὥρας ἕκτης καιρόν.

Ambrosia

ἠοίη

ΤΕΤΛΗΚΟΤΙ.



ΤΕΤΛΗΚΟΤΙ. καρτερικῷ, ὑπομονητικῷ. ΕΞΗΣ. ἐφεξῆς, ἢ κατὰ στίχον. ΕΥΝΑΖΟΝΤΟ. ἐκοιμῶντο. ΕΝΔΙΟΣ. μεσημβρινός, τότε γὰρ ἄρχεται λοιπὸν ἐνδεῖν ἡ ἕλη. ὅ ἐστιν, ἡ ἀκτὶς ἡλίου. ΖΑΤΡΕΦΕΑΣ. εὐτραφεῖς. ΛΕΚΤΟ. ἠρίθμησεν. ΛΕΓΕ. κατηρίθμει. ΩΙΣΘΗ. ὑπενόησεν. ΛΕΚΤΟ. νῦν ἐκαθεύδησεν. ΙΑΧΟΝΤΕΣ. βοήσαντες. ΕΠΕΣΣΥΜΕΘΑ. μετὰ ὁρμῆς ἐπήλθομεν. ΑΛΛ᾽ ΗΤΟΙ ΠΡΩΤΙΣΤΑ. οὐ καλῶς μετέβαλεν, ἀλλὰ φαντασίαν ἐποίει τέχνῃ μαγικῇ, ἐλήφθη δὲ ἐν δόλῳ οὐ προμαντευόμενος, οὐ δὲ προεφεστηκὼς ἐπὶ τὰς μεθόδους τῆς μαντείας. ΕΧΟΜΕΝ. κατείχομεν. ΕΥΓΕΝΕΙΟΣ. καλὸν ἔχων γένειον. ΗΝΙΑΖΕΝ. ἐστέναζεν. ΑΝΕΙΡΟΜΕΝΟΣ. ἐρωτῶν. ΤΕΩ ΣΕ ΧΡΗ. τίνος σοὶ χρεία ἐστίν; ΠΑΡΑΤΡΟΠΕΩΝ. παραλογιζόμενος. ΕΡΥΚΟΜΑΙ. κατέχομαι. ΠΕΔΑΑ. ἐμποδίζει, κατέχει. ΕΛΕΥΣΟΜΑΙ. ἔλθω, διαπράσσω. ΩΦΕΛΛΕΣ. ὤφειλες. ΑΝΑΒΑΙΝΕΜΕΝ. ἀναβαίνειν ἐπὶ τῶν πλοίων δηλονότι. ΕΚΟΙΟ. παραγένοιο, ἔλθοις. ΑΙΓΥΠΤΟΙΟ. αἴγυπτος ὁ νεῖλος πρότερον ἐκαλεῖτο. ΔΙΙΠΕΤΕΟΣ. τοῦ ὑπὸ διὸς πληρουμένου. ΚΑΤΕΚΛΑΣΘΗ. ἐλυπήθη λίαν. ΔΟΛΙΧΗΝ. μακράν. ΤΕΛΕΣΩ. τελειώσω, πληρώσω. ΑΔΕΥΚΕΙ. ἀπροσδοκήτῳ, χαλεπῷ. ΤΟΛΥΠΕΥΣΕΝ. ἐμηχανήσατο, μετὰ κακοπαθείας ποιηθέν, πολυπόνως ἐργάζεσθαι, τολύπη, ἡ ἐργασία τολυπευτὸν, κατασκευαστὸν, καὶ πεφιλοκαλημένον ἔριον.

ἔνδιος ἕλη

Aegyptus Nilus

Τέω σε χρή

ξέριον. ΔΙΕΙΡΕΑΙ. ἐρωτᾷς. ΔΑΗΝΑΙ. μαθεῖν. ΑΡ-
ΧΟΙ ΔΑΥΔΥΟ. τὸν αἴαντα τὸν λοκρὸν λέγει
καὶ τὸν ἀγαμέμνονα. καὶ γὰρ αὐτὸς οὐδέπω εἰς
τὴν αὐτοῦ πατρῴαν οἰκίαν. ΠΑΡΗΣΘΑ. παρῆς. ΔΟ-
ΛΙΧΗΡΕΤΜΟΙΣΙ. μεγάλαις, ἐπιμήκεσι, ἢ μακροτά-
ταις. ΓΥΡΗΣΙ. πέτραις πλησίον μυκόνου τῆς νήσου
οὕτως καλουμέναις, ἐπεὶ εἰσὶ περιφερεῖς. ΕΠΕΛΑΣ-
ΣΕ. προσήγγισεν. ΕΧΘΟΜΕΝΟΣ. λυπούμενος.
ΥΠΕΡΦΙΑΛΟΝ. ὑπερήφανον. ΑΑΣΘΗ. ἐβλάβη. ΑΕΚΗ-
ΤΙ. ἀβουλίᾳ παρὰ γνώμην. ΛΑΙΤΜΑ. βάθος ἢ διά-
στημα. ΑΥΤΟΘΙ. ἐπὶ χώρας, ἐπὶ τόπου. ΕΛΑΣ-
ΣΕ. ἔπληξεν. ΓΥΡΑΗΝ ΠΕΤΡΗΝ. τὰς γύρας.
ΤΡΥΦΟΣ. τὸ ἀπόκλασμα. ΕΦΕΖΟΜΕΝΟΣ. ἐπικα-
θήμενος. ΕΦΟΡΕΙ. ἔφερεν. ΑΠΕΙΡΟΝΑ. τὸν μέ-
γαν καὶ πέρας μὴ ἔχοντα. ΥΠΑΛΥΞΕΝ. ἐξέφυ-
γεν. ΜΑΛΙΑΩΝ. ἀκρωτήριον τῆς λακωνικῆς. ΙΞΕ-
ΣΘΑΙ. ἀφίξεσθαι, παραγίνεσθαι. ΘΥΕΛΛΑ. ἀνέμων
συστροφή. ΝΑΙΕ. ᾤκει. ΘΥΕΣΤΙΑΔΗΣ. θυέστου παῖς
ἄιγισθος. ΚΥΝΕΙ. προσεκύνει. ΜΝΗΣΑΙΑΤΟ. μνη-
σθείη. ΤΕΧΝΗΝ. μηχανήν. ΚΡΙΝΑΜΕΝΟΣ. ἐπιλε-
ξάμενος. ΕΤΕΡΩΘΙ. ἀλλαχοῦ. ΠΕΝΕΣΘΑΙ. ἐνερ-
γεῖν, πράττειν. ΔΕΙΡΝΙΣΑΣ. εὐωχήσας. ΚΑΤΕ-
ΚΤΑΝΕΝ. ἀνεῖλεν, ἐφόνευσεν. ΖΩΗΝ. ζωήν. ΚΥΛΙΝ-
ΔΟΜΕΝΟΣ. κυλιόμενος. ΑΣΚΕΛΕΣ. ἀδιαλεί-
πτως. ΑΝΥΣΙΝ. πρᾶξιν. ΔΗΟΜΕΝ. εὑρήσομεν.
ΠΕΙΡΑ,

Gyræ petræ

Maliæ pro.



ΠΕΙΡΑ. πειρῶ σπούδαζε. ΚΙΧΗΣΕΑΙ. καταλάβοις.
ΚΤΕΙΝΕ. ἔκτεινεν, ἀνεῖλεν. ΥΠΟΦΘΑΜΕΝΟΣ. προ-
λαβών. ΤΑΦΟΥ. τοῦ περιδείπνου. ΙΑΝΘΗ. διεχύθη,
ἥσθη. ΑΝΤΙΒΟΛΗΣΕΙΣ. μετάσχεις. ΙΣΧΕΙ. κατέχεις
κωλύει. ΠΕΜΠΟΙΜΕΝ. δοκιμάζοιμεν. ΕΡΗΡΕΤΜΟΙ.
εὔκωποι. ΘΕΣΦΑΤΟΝ. τὸ ἐκ θεοῦ πεφασμένον,
εἱμαρτόν. ΗΛΥΣΙΟΝ ΠΕΔΙΟΝ. τὸ τῶν ἡρώων ἐν-
διαίτημα, κεκλημένον ἀπὸ τῆς ἠλυσίου τῆς ἐλεύθερας
εὐσεβεστάτου γενομένου, ἢ παρὰ τὸ ἄλυτα ἐν αὐτῷ
μένειν τὰ σώματα, ὁ δὲ τόπος ἐν ταῖς καλουμέ-
ναις μακάρων νήσοις. ΡΗΙΣΤΗ. ἀρεστή, ἄφθονος. ΒΙΟ-
ΤΗ. ζωή, βίος. ΝΙΦΕΤΟΣ. χιών. ΛΙΓΥΠΝΕΙΟΝΤΑΣ.
ἠδέθαν ἔχοντας πνοήν. ΑΝΙΗΣΙ. ἀναδίδωσιν, ἀνα-
πέμπει. ΑΝΑΨΥΧΕΙΝ. ἀνακτᾶσθαι. ΕΡΥΣΣΑΜΕΝ.
εἱλκύσαμεν, κατηγάγομεν. ΚΥΜΑΙΝΟΝΤΑ. κυμα-
τούμενον. ΠΟΛΙΗΝ. λευκήν διὰ τὸν ἀφρόν. ΠΟΡ-
ΦΥΡΕ. διενοεῖτο. ΧΕΥΑ. ἔχωσα. ΑΣΒΕΣΤΟΝ. ἀκα-
τάπαυστον. ΤΕΛΕΥΤΗΣΑΣ. πληρώσας, πληρώσας.
ΚΙΟΝΤΙ. ἀπιόντι, πορευομένῳ. ΝΕΟΜΗΝ. ἐπο-
ρευόμην. ΕΡΥΚΕ. κατέχε. ΑΝΕΧΟΙΜΗΝ. ὑπο-
φέροιμι, στέγοιμι. ΗΜΕΝΟΣ. ἄπρακτος, καθεζόμε-
νος. ΑΝΙΑΖΟΥΣΙ. λυποῦνται, ἀνιῶνται. ΕΡΥΚΕΙΣ.
κατέχεις. ΛΕΙΨΩ. καταλείψω, ἐάσω. ΛΩΤΟΣ.
εἶδος πόας ἢ δένδρου. ΚΥΠΕΙΡΟΝ. εἶδος πόας τὸ
κύπερον. ΖΕΙΑΙ. ὀλύραι. ΕΥΡΥΦΥΕΣ. τὸ ἐπὶ πλάτος
καὶ ὑψηλοῦ

Helysius campus unde & ubi

Cyper.

Zeæ Olyræ

χρι

καὶ ἐπιπολὺ φυόμενον. ΚΡΙ. κριθή, λειμὼν δὲ ἐστὶ ἔχθα πρὸς βόσιν καὶ νομὴν αἰγῶν ἐπιτηδεία καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο, ἀπ' ἄλλης ἀρχῆς τοῦτο. ἤγουν ἥ, καί τοι αἰγίβοτος οὖσα ἢ ἱπποτρόφου ἐμοὶ μᾶλλον ἐπήρατος, ἐπήρατος δὲ ἡ ἐπέραστος. ΙΠΠΗΛΑΤΟΣ. εἰς ἔλασιν ἵππων ἐπιτηδεία. ΕΥΛΕΙΜΩΝ. καλοὺς λειμῶνας ἔχουσα. ΑΛΙ ΚΕΚΛΙΑΤΑΙ. περιέχονται τῇ θαλάσσῃ. ΠΕΡΙ ΠΑΣΕΩΝ. ὑπὲρ πάσας. ΑΙΜΑΤΟΣ. γένους. ΟΙΑ. ὁποῖα. ΜΕΤΑΣΤΗΣΩ. μεταβαλῶ, μεταλλάξω. ΚΕΚΡΑΑΝΤΑΙ. τετελείωνται, πεπλήρωνται. ΕΟΣ. ὁ ἴδιος. ΑΜΦΕΚΑΛΥΨΕ. περιεκάλυψεν, ἀντὶ τοῦ ὑπεδέξατο. ΦΑΙΔΙΜΟΣ. ὄνομα κύριον. ΤΕΙΝ. σοί. ΟΠΑΣΣΑΙ. παρασχεῖν. ΔΑΙΤΥΜΟΝΕΣ. οἱ ἑστιάτορες. ΕΥΗΝΟΡΑ ΟΙΝΟΝ. τὸν ἀνδρείαν παρέχοντα ἐν καιρῷ πινόμενον. ΚΑΛΛΙΚΡΗΔΟΜΝΟΙ. καλὰ περιβόλαια ἐπὶ τῶν κεφαλῶν ἔχουσαι. ΤΥΚΤΩ ΔΑΠΕΔΩ. κατασκευασμένῳ καὶ λελειωμένῳ ἐδάφει. ΟΠΠΟΤΕ. ποτέ. ΝΕΙΤΑΙ. ἐπανήξει, ἐλεύσεται. ΔΙΑΒΗΜΕΝΑΙ. διελθεῖν, διαπλεῦσαι. ΤΑΛΑΕΡΓΟΙ. ὑπομονητικοί. ΑΔΜΗΤΕΣ. ἀδάμαστοι. ΕΘΑΜΒΕΟΝ. ἐξεπλήττοντο. ΘΗΤΕΣ. οἱ ἐπὶ μισθῷ δουλεύοντες. ΔΜΩΕΣ. οἱ δοῦλοι παρὰ τὸ δεδμῆσθαι, ὅ ἐστιν, ὑποτετάχθαι. ΠΡΟΣΠΤΥΞΑΤΟ. ἐκολάκευσεν, ἐξελιπάρησεν, ἐφιλοφρονήσατο. ΤΙΚΕΝ ΡΕΖΕΙΕ ΚΑΙ ΑΛΛΟΣ. τί ἂν

πράξει



πράξει καὶ ἄλλος αἰτοῦντος τοιούτου πάντως συνέδωκεν. ΜΕΛΕΔΗΜΑΤΑ, μερίμνας, παρὰ τὸ μέλει ἔδειν, ὅ ἐστιν, ἐσθίειν. ΑΙΤΙΖΗ. αἰτῇ, παρακαλῇ. ΔΟΣΙΝ. δωρεάν. ΑΝΗΝΑΣΘΑΙ. ἀρνήσασθαι. ΚΟΥΡΟΙ ΔΕ ΟΙ ΚΑΤΑ ΔΗΜΟΝ. ἄνδρες αὐτῷ συμπλέουσι λογάδες ἰθακήσιοι οἱ μεθ' ὑμᾶς κρατοῦσιν. ΒΑΙΝΟΝΤΑ. εἰσιόντα. ΥΠΗΟΙΟΝ. ὑπὸ τὴν ἕω ὄρθρινον. ΕΜΒΗ. εἰσῆλθεν. ΑΓΑΣΣΑΤΟ. ἐθαύμασεν, ἐξεπλάγη. ΕΡΥΣΣΑΜΕΝΟΣ. ἑλκύσας καταγαγών. ΚΡΙΝΑΣ. τοὺς κρείττονας ἐκλεξάμενος. ΑΡΞΕΙ ΚΑΙ ΠΡΟΤΕΡΩ. δίον προκακώσει ἡμᾶς, οἱ δὲ ὄνομα ἀπ' εὐθείας τῆς ἄρξις. ἤγουν ἢ ἀπ' ταύτης τῆς ἀρχῆς χεῖρον ἡμᾶς ἐργάσεται. ΛΟΧΗΣΟΜΑΙ. ἐνεδρεύσω. ΦΥΛΑΞΩ. τηρήσω. ΠΟΡΘΜΩ. περὶ διὰ περάματος περὶ στενῷ τόπῳ: πορθμὸς γὰρ λέγεται ἡ στενὴ θάλασσα. ΠΑΙΠΑΛΟΕΣΣΗΣ. τραχείας. ΕΠΙΣΜΥΓΕΡΩΣ. ἐπὶ κακῷ περὶ ἑαυτοῦ ἐπιπόνως. ΝΑΥΤΙΛΛΕΤΑΙ. πλέει. ΑΠΥΣΤΟΣ. ἀνήκοος, ἀνήκουστος. ΒΥΣΣΟΔΟΜΕΥΟΝ. κατὰ βάθους τῆς διανοίας ἐβουλεύοντο. ΥΦΑΙΝΟΝ. κατεσκεύαζον. ΠΡΟΕΣΑΝ. προέπεμψαν. ΜΗ Δ' ΑΛΛΟΘ' ΟΜΙΛΗΣΑΝΤΕΣ. μηδὲ ἀλλόθι που συγγενόμενοι. ΠΕΙΜΑΤΑ. ἔσχατα τελευταῖα. ΑΓΕΙΡΟΜΕΝΟΙ. συναθροιζόμενοι. ΚΑΤΑΚΕΙΡΕΤΕ. καταναλίσκετε καταδαπανᾶτε. ΓΑΤΕΡΩΝ. συγγενῶν. ΕΞΑΙΣΙΟΝ. ἔξω τοῦ καθήκοντος, ἄδικον. ΔΙΚΗ. νό-

μος

μελεδημα

πορθμός

μος ἢ τρόπος. ΕΧΘΑΙΡΗΣΙ. μισοίη. ΑΤΑΣΘΑΛΟΝ. ἁμαρτωλόν, ἄδικον. ΕΩΡΓΕΙ. εἰργάσατο. ΑΕΙΚΕΑ. ἀπρεπῆ, χαλεπά. ΕΥΕΡΓΕΩΝ. εὐεργεσιῶν. ΑΡΓΑΛΕΩΤΕΡΟΝ. δεινότερον, χαλεπώτερον. ΤΕΛΕΣΣΕΙΕ. εἰς τέλος ἄξει. ΜΕΙΣΟΜΕΝΟΝ. ἐπανερχόμενον, ὑποστρέφοντα. ΑΜΦΑΣΙΗ. ἀμφασία, ἀφωνία. κεῖται τὸ μ. περισσόν. ΛΙΠΗΤΑΙ. καταλειφθείη. ΟΡΩΣΕΝ. παρώρμησεν. ΠΥΘΗΤΑΙ. ἀκούσῃ, μάθῃ. ΕΠΕΣΠΕΝ. ἐπλήρωσεν. ΘΥΜΟΦΘΟΡΟΝ. βλαπτικὸν λογισμοῦ. ΕΦΕΖΕΣΘΑΙ. ἐπικαθέζεσθαι. ΠΟΛΥΚΜΗΤΟΥ. μετὰ πολλοῦ καμάτου κατασκευασθέντος. ΟΙΚΤΡΑ. ἐλεεινά. ΜΙΝΥΡΙΖΟΝ. ἡσύχως ἔκλαιον, ἐθρήνουν. ΑΔΙΝΟΝ. ἀθρόως, ἀδινῶς. ΚΕΚΑΣΜΕΝΟΝ. κεκοσμημένον. ΘΥΜΟΛΕΟΝΤΑ. ἀνδρεῖον, λεοντόθυμον. ΑΚΛΕΑ. ἄδοξον. ΟΡΜΗΘΕΝΤΟΣ. ἐξελθόντος. ΣΧΕΤΛΙΟΙ. ἀγνώμονες, χαλεποί. ΘΕΣΘΑΙ. ἀποθέσθαι, θησαυρίζεσθαι. ΠΥΘΟΜΗΝ. ἤκουσα, ἔμαθον. ΗΚΕΜΕ. ἀφῆκέ με. ΟΡΜΑΙΝΟΝΤΑΣ. προθυμουμένους. ΟΤΡΗΡΩΣ. δραστικῶς, σπουδαίως. ΔΟΛΙΟΝ. ὄνομα κύριον. ΚΙΟΥΣΗ. πορευομένῃ. ΚΗΠΟΝΕΧΕΙ. νῶι, ἀντὶ τοῦ ἡμῖν μέλει. ΚΑΤΑΛΕΞΗ. εἴποι ἕκαστα. ΜΗΤΙΝ. σύνεσιν, βουλήν, γνώμην, τέχνην, δόλον, ἀπάτην, ἦθος. ΥΦΗΝΑΣ. κατασκευάσας. ΟΔΥΡΕΤΑΙ. ἀποκλαύσεται. ΦΘΕΙΣΑΙ. διαφθεῖραι.

ἀμφασιαι





ΚΑΤΕΚΤΑΝΕ. ἀνεῖλεν, ἐφόνευσεν. ΕΛΕΤΟ. ἔλαβεν. ΙΑΠΤΗΣ. διαφθείρῃς. ΥΔΡΗΝΑΜΕΝΗ. λουσαμένη, ὕδατι περιχυθεῖσα. ΕΛΟΥΣΑ. λαβοῦσα, ἀντὶ τοῦ ἐνδυσαμένη. ΚΑΚΩ. λύπῃ. ΓΟΝΗΝ. γένος. ΑΡΚΕΙΣΙΑΔΑΩ. πατρωνυμικῶς τοῦ Λαέρτου. ΕΧΘΕΣΘΑΙ. μισεῖσθαι. ΕΠΕΣΣΕΤΑΙ. καὶ εἰς τὸ μετὰ ταῦτα ἔσται. ΥΨΗΡΕΦΕΑ. ὑψηλοτέρα. ΠΙΟΝΑΣ. τοὺς πιαίνοντας, τουτέστι, λιπαρούς, πλουσίους ποιοῦντας τοὺς ἀνθρώπους. ΕΥΝΗΣΕ. ἔπαισεν, ἐκοίμισεν. ΑΠΑΛΑΛΚΕ. ἀπεκώλυσεν. ΟΛΟΛΥΞΕ. ὀλοφυρτικόν, ἐφθέγξατο. ΑΡΗΣ. εὐχῆς. ΥΠΕΡΗΝΟΡΕΟΝΤΑΣ. ὑπερέχοντας τῇ δυνάμει. σημαίνει δὲ καὶ ὑπερηφανοῦντας. ΟΜΑΔΗΣΑΝ. ἐθορύβησαν. ΑΝΑΜΕΓΑΡΑ. κατὰ τοὺς οἴκους. ΠΟΛΥΜΝΗΣΤΗ. ὑπὸ πολλῶν μεμνηστευμένη. ΑΡΤΥΕΙ. παρασκευάζει. ΟΥΚ ΙΣΑΝ. οὐκ ἐγίνωσκον. ΔΑΙΜΟΝΙΟΙ. μακάριοι, θαυμάσιοι. ΑΛΕΑΣΘΕ. ἐκκλίνατε, φυλάξατε. ΣΙΓΗΤΟΙΟΝ. μετὰ σιγῆς οὕτω. ΤΕΛΕΩΜΕΝ. πληρώσωμεν, πληρώσωμεν. ΗΡΑΡΕΝ. ἥρμοσεν. ΕΚΡΙΝΑΤΟ. ἐπελέξατο. ΕΝ ΔΙΣΤΟΝ ΕΤΙΘΕΝΤΟ. πῶς τῇ εἰρεσίᾳ χρώμενοι κόσμου χάριν. ΗΡΤΥΝΑΝΤΟ. παρεσκευάσαντο. ΕΡΕΤΜΑ. κώπας. ΤΡΟΠΟΙΣ ΕΝ ΔΕΡΜΑΤΙΝΟΙΣΙ. περιεσφιγμένως. δηλοῖ γὰρ τοὺς τροπωτῆρας, περὶ οὓς αἱ κῶπαι τρέπονται καὶ στρέφονται ἐν ἱμᾶσι τοῖς περιδεδεμένοις ταῖς κώπαις.

ΥΠΕΡΘΥΜΟΙ. ἀνδρειότατοι. ΥΨΟΥ. ἐν ὕψει, ἐν τῷ κατωτέρῳ τόπῳ. ΝΟΤΙΩ. τῷ διύγρῳ, οἱ δὲ ἐν νοτίῳ τῷ πρὸς νότον τόπῳ. ΩΡΜΙΣΑΝ. ἡσύχως ἑστάναι τὴν ναῦν ἐποίησαν. ΕΒΑΝ. ἔβησαν, εἰσῆλθον. ΕΛΟΝΤΟ. ἔλαβον. ΕΣΠΕΡΟΝ. τὴν ἑσπέραν. ΑΠΑΣΤΟΣ. ἄγευστος. ΟΜΙΛΩ. πλήθει. ΟΡΜΑΙΝΟΥΣΑ. λογιζομένη. ΔΟΛΟΝ ΠΕΡΙΚΥΚΛΟΝ. τὸ δίκτυον, ἄψεα δὲ τὰ μέλη φησί. ἀπὸ τοῦ συνῆφθαι. ΕΙΔΩΛΟΝ. φάσμα. ΗΙΚΤΟΝ. ὅμοιον ἦν. ΙΦΘΙΜΗ. οὕτως ἐκαλεῖτο κυρίως ἡ ἀδελφὴ τῆς πηνελόπης. ΦΕΡΗΣ. ἐν ταῖς φεραῖς δὲ πόλις τῆς μεσσηνίας. ΔΑΚΡΟΕΝΤΟΣ. δακρύων ποιητικοῦ. ΠΑΡΑ ΚΛΗΙΔΟΣ ΙΜΑΝΤΑ. ἀντιστρόφως παρὰ τὴν κλεῖδα. ἥτις ἱμάντα εἶχε παρὰ τὸ κλεῖθρον. ΤΕΤΙΗΜΕΝΗ. λελυπημένη. ΡΕΙΑ ΖΩΟΝΤΟΣ. ῥᾳδίως καὶ ἀπόνως ζῶντες ἐλπίζων ἀνακομισθῆναι καὶ σωθῆναι. ΑΛΙΤΗΜΕΝΟΣ. ἡμαρτηκὼς ἢ ἡμαρτημένος. ΚΝΩΣΣΟΥΣΑ. κοιμωμένη. ΕΝ ΟΝΕΙΡΕΙΗΣΙ ΠΥΛΗΣΙ. ἐν τῷ βάθει τοῦ ὕπνου, διὰ γὰρ τούτου ἔρχεται ὄνειρος. ΤΙΠΤΕ. τί δή. ΚΑΣΙΓΝΗΤΗ. ἀδελφή. ΗΛΥΘΕΣ. ἦλθες. ΠΩΛΕΑΙ. παραγίνῃ, ἀναστρέφῃ. ΑΠΟΠΡΟΘΙ. πόῤῥω. ΝΑΙΕΙΣ. οἰκεῖς. ΕΡΕΘΟΥΣΙΝ. ἐρεθίζουσιν. ΟΙΖΥΟΣ. ταλαιπωρίας κακοπαθείας. ΠΟΣΙΝ. ἄνδρα. ΝΗΠΙΟΣ. νέος ὁ πραγμάτων ἄπειρος ἢ μικρός. ΕΥ ΕΙΔΩΣ. ἀκριβῶς ἐπιστάμενος. ΔΕΙΔΙΑ. φοβοῦμαι εὐλαβοῦμαι. ΜΗΧΑΝΟΩΝΤΑ. ἐπινοοῦσιν. ΑΜΑΥΡΟΝ. τὸ μὴ βλεπόμενον.

ὥρμισαν

ἄψεα

Corneae portae

νήπιος



μενον. οἱ δὲ τὸ ἅμα ταῖς αὔραις φερόμενον. ΠΟΜΠΟΣ. παραπέμπουσα. ΤΡΟΜΕΩ. τρέμω. ΙΝΑ. ὅπου. ΙΕΜΕΝΑΙ. προθυμούμενοι. ΑΜΑΥΡΟΝ. ἀσθενές. ΔΕΙΔΙΘΙ. φοβοῦ. ΖΩΗ. ζῇ. ΤΕΙΝ. σοί. ΕΙΝ ΑΙΔΑΟ. ἐν ᾅδου. ΕΙΔ᾽ ΑΓΕ. ἄγε δή. ΠΟΜΠΟΣ. ὁδηγός. ΤΕΘΝΗΚΕΝ. ἀπέθανεν. ΔΙΗΝΕΚΕΩΣ. σαφῶς, ἀκριβῶς, ἕως τέλους τὰ πάντα. ΑΝΕΜΩΛΙΑ. μάταια. ΒΑΖΕΙΝ. λέγειν. ΣΤΑΘΜΟΙΟ. τοῦ παραστάδος. ΚΛΗΙΔΑ. τὴν κλεῖν, τὸ κλεῖθρον. ΛΙΑΣΘΗ. ἐκλίθη, ἐχωρίσθη. ΙΑΝΘΗ. εὐφράνθη. ΕΝΑΡΓΕΣ. φανερόν. ΝΥΚΤΟΣ ΑΜΟΛΓΩ. ἐν τῇ τοῦ μεσονυκτίου ὥρᾳ, καί ἐστι κατὰ τὸ ἔτυμον ἤτοι ἀμολγῷ, καθ᾽ ἣν ὥραν συμβέβηκεν μὴ ἀμέλγεσθαι ζῷα, ἢ κατὰ ἀφαίρεσιν τοῦ γ, ἀμολγῷ, καθ᾽ ἣν ὥραν οὐδεὶς μολίσκει, ὅ ἐστι, βαδίζει, ἢ κατὰ ἀφαίρεσιν τοῦ λ, ἀμογῷ, καθ᾽ ἣν ὥραν οὐδεὶς μογεῖ, ὅπερ ἐστὶ, κακοπαθεῖ, ἀλλὰ ἀναπαύεται· ταῦτα δὲ πάντα εἰς τὴν τῆς μεσονυκτίου ὥραν καταστρέφει. ΜΕΣΗ ΑΛΙ. ἐν μέσῃ τῇ θαλάσσῃ. ΠΕΤΡΗΕΣΣΑ. πετρώδης, τραχεῖα. ΑΣΤΕΡΙΣ. ὄνομα νήσου κειμένης μέσον ἰθάκης καὶ σάμου. ΥΓΡΑ ΚΕΛΕΥΘΑ. τὴν διὰ θαλάσσης ὁδόν. ΝΑΥΛΟΧΟΙ. ἐν οἷς αἱ νῆες λοχῶσαι καὶ ἐνεδρεύουσαι λαθεῖν δύνανται, ἢ οἱ τὰς ναῦς ὑποδεχόμενοι τόποι. ΑΜΦΙΔΥΜΟΙ. ἀμφοτέρωθεν εἰς δύσεις, τουτέστιν, ἐξ ἑκατέρου μέρους, εἴσπλους καὶ καταγωγὰς ἔχοντες, ἢ διπλοί.

πομπός

ἀμολγῷ

ΤΗ. ἐκεῖ. ΛΟΧΟΩΝΤΕΣ. ἐνεδρεύοντες. ΑΧΑΙΟΙ. οἱ μνηστῆρες.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ε΄ ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Ἐκκλησίαν τῶν θεῶν δευτέραν ποιησάμενος ὁ Ζεύς, Ἑρμῆν πέμπει πρὸς Καλυψώ, κελεύων ἀποπέμπειν τὸν Ὀδυσσέα, ὁ δὲ τὸ κελευσθὲν ποιεῖ, τῇ δὲ ὀκτωκαιδεκάτῃ ἡμέρᾳ ἰδὼν αὐτὸν ὁ Ποσειδῶν, καὶ χαλεπήνας, λύει τὴν σχεδίαν, Ἰνὼ δὲ αὐτῷ κρήδεμνον δίδωσιν, ἐντειλαμένη, ἐπιβάντι τῆς γῆς, ἀπορρίψαι αὐτό, καὶ πολλὰ παθὼν, εἰς τὴν Φαιάκων χώραν ἔρχεται διασωθείς.

[Tithonus] [Endymio]

ΤΙΘΩΝΟΙΟ. Τιθωνὸς Λαομέδοντος παῖς, Πριάμου ἀδελφός, Ἠοῦς ἀνήρ, ὁ Ἐνδυμίων λέγεται συνεῖναι τῇ σελήνῃ, καὶ ὁ Τιθωνὸς τῇ ἡμέρᾳ, ἀλληγορεῖται δὲ οὕτως, ὁ Ἐνδυμίων εἰς ἄνδρα κυνηγέτην, καὶ τῇ μὲν νυκτὶ κοιμώμενον, τῇ δὲ ἡμέρᾳ οὐ, διὰ τὸ ἠσχολῆσθαι περὶ τὰ κυνηγέσια, ὁ δὲ Τιθωνὸς εἰς ἀστρονόμον, καὶ τῇ μὲν ἡμέρᾳ κοιμώμενον, τῇ δὲ νυκτὶ ἐπαγρυπνοῦντα διὰ τὸ ἠσχολῆσθαι περὶ τὰ ἄστρα. ΘΩΚΟΝ-

ΔΕ. εἰς



ΔΕ. εἰς συνέδριον. ΜΝΗΣΑΜΕΝΗ. ὑπομνησθεῖσα. ΜΕΛΕ. διὰ φροντίδος ἦν. ΙΣΧΕΙ. κατέχει, κωλύει. ΗΠΙΟΣ. πρᾶος, ἥσυχος. ΟΥ ΓΑΡ ΔΗ. οὐ τοῦτο γὰρ ἐρωτήσει προσενεκτέον. ΕΒΟΥΛΕΥΣΑΣ. ἐβουλεύσω, ἐσκέψω. ΑΙΣΥΛΑ. παράνομα καὶ ἁμαρτωλά. ΠΟΜΠΗ. παρακομιδή. ΠΑΡΑ. πάρεισιν. ΑΚΟΗΝ. φήμην. ΔΙΑΝ. μεγάλην. ΑΠΟΤΙΣΕΙ. τιμωρήσεται. ΕΠΙΣΤΑΜΕΝΩΣ. ἐπιστημόνως. ΠΑΛΙΜΠΕΤΕΣ. ἐξ ὑποστροφῆς εἰς τὰ ὀπίσω. ΑΣΚΗΘΗΣ. ὑγιὴς ἐξ ἐπιμελείας. ΗΥΔΑ. ἔλεγεν. ΕΙΠΕΙΝ. ἀντὶ τοῦ εἰπέ. ΤΑΛΑΣΙΦΡΟΝΟΣ. καρτερικοῦ. ΟΥΤΕ ΘΕΩΝ ΠΟΜΠΗ. οὐδενὸς θεῶν παραπέμποντος. ΣΧΕΔΙΑ. εἶδος πλοίου. ΣΧΕΔΙΗΣ. λείπει νεὼς τῆς αὐτοσχεδίως πηχθείσης. ΠΟΛΥΔΕΣΜΟΥ. πολλοῖς ἐμπεπηγμένη δεσμοῖς. ΗΜΑΤΙ. ἡμέρᾳ. ΣΧΕΡΙΗΝ. Σχερία ἐκαλεῖτο ἡ νῆσος τῶν Φαιάκων, ἣ δὲ μετὰ ταῦτα ἐκλήθη Κέρκυρα, τὸ δὲ ἀρχαιότατον ἐκαλεῖτο Δρεπάνη. ΕΡΙΒΩΛΟΝ. μεγαλόβωλον, εὔγειον. ΑΓΧΙΘΕΟΙ. ἤτοι καθότι ἔκγονοι εἰσὶν ἀπὸ Ποσειδῶνος οἱ βασιλεῖς αὐτῶν, ἢ ὅτι εὐδαίμονές εἰσιν, ἢ καθὸ οἱ θεοὶ συνδιατρίβουσιν αὐτοῖς, καὶ εὐωχοῦνται. ΠΕΡΙ ΚΗΡΙ. περισσῶς καὶ λίαν τῇ ψυχῇ ἐκθύμως. ΑΛΙΣ. ἱκανῶς, αὐτάρκως. ΕΞΗΡΑΤΟ. ἐξαίρετα ἔλαβεν. ΤΡΟΙΗΣ ΕΞΗΡΑΤΟ. διαιρετέον, τὸ γὰρ ἑξῆς, Τροίης ἀπὸ ληΐδος ἀπὸ τῆς Τρωϊκῆς λείας. ΛΑΧΩΝ.

[Scheria Cercyra Drepane]

κληρωσάμενος. ΜΟΙΡΑ. εἱμαρμένη. ΔΙΑΚΤΟΡΟΣ. ἄγγελος, σαφής, ὁ διάγων τὰς ἀγγελίας. ΕΙΛΕΤΟ ΔΕ ΡΑΒΔΟΝ. λόγου ἀθρότητα νοητέον τὴν τοῦ ἑρμοῦ ῥάβδον, ὥστε ψυχὰς καὶ τεταραγμένας παύειν, ἐκλελυμένας δὲ διεγείρειν. ΘΕΛΓΕΙ. ἀμαυροῖ, νῦν δὲ κοιμίζει. ΥΠΝΩΟΝΤΑΣ. κοιμωμένους καθεύδοντας. ΠΙΕΡΙΗΝ. πιερία ὄρος μακεδονίας ἕδος μουσῶν. ΕΜΠΕΣΕ. ἀθρόως κατῆλθεν. ΛΑΡΩ ΟΡΝΙΘΙ ΕΟΙΚΩΣ. τὴν ὁρμὴν οὐ τὸ σῶμα, λάρος δὲ ὄρνεον θαλάσσιον. ΚΟΛΠΟΥΣ ΑΛΟΣ. τὰ κοιλώματα τῆς θαλάσσης. ΑΓΡΩΣΣΩΝ. θηρεύων, ἀγρεύων. ΠΥΚΙΝΑ. πυκνῶς, συνεχῶς. ΔΕΥΕΤΑΙ. βρέχεται. ΟΧΗΣΑΤΟ. ἐποχήσατο, ἐπέδραμεν. ΒΑΣ. ἐκβάς, ἐξελθὼν. ΙΟΕΙΔΕΟΣ. μέλανος. ΗΠΕΙΡΟΝ ΔΕ. εἰς τὴν γῆν. ΩΕΝΙ. ἐν ᾧ. ΝΑΙΕΝ. ᾤκει. ΕΥΠΛΟΚΑΜΟΣ. καλοὺς πλοκάμους ἔχουσα. ΤΕΤΜΕΝ. κατέλαβεν. ΕΠ' ΕΣΧΑΡΟΦΙΝ. ἐπὶ τῆς ἑστίας, ἢ ἐπὶ τῆς ἐσχάρας. ΤΗΛΟΣΕ. πόῤῥω. ΚΕΔΡΟΥ. εἶδος δένδρου. ΕΥΚΕΑΤΟΙΟ. εὐκατασχιδάσου, εὐκλάστου, εὐσχιστου. ΑΝΑ ΝΗΣΟΝ. κατὰ τὴν νῆσον. ΘΥΟΥ. εἶδος δένδρου ἢ φυτοῦ. ΟΔΩΣΕΙ. ἔπνεεν, ἀνεδίδοτο, ὦζεν. ΔΑΙΟΜΕΝΩΝ. καιομένων. ΑΟΙΔΙΑΟΥΣΑ. ᾄδουσα. ΕΠΟΙΧΟΜΕΝΗ. περιερχομένη. ΣΠΕΟΣ. περὶ τὸ σπήλαιον. ΠΕΦΥΚΕΙ. πεφύτευτο ἦν. ΤΗΛΕΘΟΩΣΑ. ἄγαν θάλλουσα. ΚΛΗΘΡΗ Τ' ΑΙΓΕΙΡΟΣ ΤΕ. εἴδη δένδρων. ΤΑΝΥΣΙΠΤΕ-

ΡΟΙ.

Vngamor curij

Pieria M.

Thyo



ΡΟΙ. οἱ ἐν τῇ πτήσει τείνοντες τὰ πτερά. ΣΚΩΠΕΣ. ὄρνεα νυκτονόμα, κακόνομα, κακόφωνα, σκολόπες ὥς τινές. ΙΡΗΚΕΣ. ἱέρακες. ΤΑΝΥΓΛΩΣΣΟΙ. πλατύγλωσσοι. ΕΙΝΑΛΙΑΙ. θαλάσσιαι. ΤΗΣΙΝ. αἷσισιν. ΘΑΛΑΣΣΙΑ ΕΡΓΑ. αἱ ἐν τῇ θαλάσσῃ διατριβαί. ΤΕΤΑΝΥΣΤΟ. ἐξετέτατο. ΠΕΡΙ ΣΠΕΙΟΥΣ. περὶ τοῦ σπηλαίου. ΓΛΑΦΥΡΟΙΟ. τοῦ κοίλου. ΗΜΕΡΙΣ ΗΒΩΩΣΑ. ἄμπελος εἰς διαστολὴν τῆς ἀγρίας ἀκμάζουσα. ΤΕΘΗΛΕΙ. ἔθαλλεν. ΠΙΣΥΡΕΣ. τέσσαρες. ΤΕΤΡΑΜΜΕΝΑΙ. ἀπεστραμμέναι. ΑΛΛΥΔΙΣ ΑΛΛΗ. ἄλλη ἀλλαχοῦ, τὸ ἄλλη ἐπίρρημα ἐστίν, ὅθεν ἄνευ τοῦ ι γραπτέον. ΛΕΙΜΩΝΕΣ ΜΑΛΑΚΟΙ. κακῶς τινὲς περιέσπασαν, ἵν' ᾖ. ΜΑΛΑΚΟΙ. ἁπαλοί, ἀλλαχοῦ δὲ λέγει ὑδρηλοί, μαλακοί. ΙΟΥ. ἴον εἶδος ἄνθους. ΘΗΛΕΟΝ. ἔθαλλον. ΘΗΗΣΑΤΟ. ἐθεάσατο, ἐθαύμασεν. ΘΗΕΙΤΟ. ἐθεᾶτο, ἐθαύμαζεν. ΑΓΝΩΤΕΣ. ἄγνωστοι. ΠΕΛΟΝΤΑΙ. εἰσίν, ὑπάρχουσιν. ΕΠ' ΑΚΤΗΣ. ἐπὶ τοῦ αἰγιαλοῦ. ΣΤΟΝΑΧΗΣΙ. στεναγμοῖς. ΑΛΓΕΣΙ. κακοῖς. ΘΥΜΟΝ ΕΡΕΧΘΩΝ. καταπίνων ἐν ἑαυτῷ στενῶν λυπούμενος βαρέως. ΔΕΡΚΕΣΚΕΤΟ. ἑώρα, ἔβλεπεν. ΕΡΕΕΙΝΕΝ. ἠρώτα. ΙΔΡΥΣΑΣΑ. καθίσασα. ΣΙΓΑΛΟΕΝΤΙ. ποικίλῳ. ΧΡΥΣΟΡΡΑΠΙΝ. χρυσῆν ῥάβδον ἔχοντα. ΑΝΩΓΕΝ. ἐκέλευεν. ΑΙΔΟΙΟΣ. αἰδοῦς ἄξιος, τίμιος. ΘΑΜΙΖΕΙΝ. συνεχῶς ἐπιφοιτᾶν καὶ ἔρχεσθαι. ΕΙ ΤΕΤΕΛΕΣΜΕΝΟΝ ΕΣΤΙ. εἰ φύσιν

ἄλλῃ

ἔχει τοῦ δύνασθαι τελεσθῆναι, ἢ δυνατόν ἐστι γενέσθαι.
ΑΜΒΡΟΣΙΗΣ. τοῦ τῶν θεῶν βρώματος. ΠΛΗΣΑ-
ΣΑ. πληρώσασα. ΚΕΡΑ ΣΕ ΔΕ ΝΕΚΤΑΡ. νῦν ἐνέ-
χεεν ἀπὸ τῆς ἀρχαίας συνηθείας: εἰς κέρας γὰρ ἐγχέον-
τες ἔπινον. ΗΣΘΕ. ἤσθιεν. ΗΡΑΡΕΝ. ἀρεσθῆναι ἐποίη-
σεν, τουτέστιν, ἥρμοσεν. ΝΗΜΕΡΤΕΩΣ. ἀληθῶς. ΕΝΙ-
ΣΠΗΣΩ. εἴπω, λέξω. ΟΥΚ ΕΘΕΛΟΝΤΑ. ἐκ τούτου
ἐμφαίνεται ἀκουσίως ἀμείβεσθαι. ΑΣΠΕΤΟΝ. πολύ.
ΕΞΑΙΤΟΥΣ. διαιρέτους οὔτε παρεξελθεῖν, οὔτ' ἀλιῶ-
σαι, οὔτε μάταιον ἡγήσασθαι, οὔτε παρελθεῖν καὶ ἀπει-
θῆναι. ΟΙΖΥΡΩΤΑΤΟΝ. καταπεπονημένον τεταλαι-
πωρημένον. ΝΟΣΤΟΝ. τὴν οἴκαδε ἐπάνοδον. ΤΩΝ.
ἐκείνων. ΠΕΡΣΑΝΤΕΣ. πορθήσαντες. ΕΒΗΣΑΝ. ἐπο-
ρεύθησαν, ἀπέπλευσαν. ΑΛΙΤΟΝΤΟ. ἥμαρτον. ΕΠΩΡ-
ΣΕ. ἐπήγαγεν. ΑΓΕΦΘΙΕΝ. ἐφθάρησαν. ΤΗΔΕ.
ἐνθάδε. ΑΙΣΑ. πεπρωμένη. ΟΛΕΣΘΑΙ. ἀπολέσθαι.
ΣΧΕΤΛΙΟΙ. ἀγνώμονες. ΖΗΛΗΜΟΝΕΣ. ζηλότυ-
ποι, ἀθλήμανες, βλαπτικοί. ΑΓΑΑΣΘΑΙ. φθονεῖ-
τε. ΕΥΝΑΖΕΣΘΑΙ. κοιμᾶσθαι. ΩΣ ΜΕΝ ΟΤ' Ω-

*Orion*

ΡΙΩΝΑ. οἱ πλείονες ὑπὸ σκορπίου φασὶ αὐτὸν
ἀναιρεθῆναι βιαζόμενον τὴν Ἄρτεμιν, ὁ γὰρ Ἀπόλ-
λων οὐκ ἀνεῖλεν, ἴσως μὴ παρὼν τότε. ΗΓΑΑΣΘΕ.
ἐφθονεῖτε. ΟΡΤΥΓΙΗ. τῇ δήλῳ: νῆσος δὲ ἡ δῆλος ἐστὶν
ἀνὰ μέσον τῶν κυκλάδων. ΩΣ Δ' ΟΠΟΤ' ΙΑΣΙΩ-

*Iasion*

ΝΙ. τούτου καὶ δήμητρος ὁ πλοῦτος, ἦν δὲ κρὴς
ὁ ἰασίων

*Plutus iasionis & ceteris*



ὁ ἰασίων. ἑλλανικὸς δὲ ἠλέκτρας καὶ διὸς αὐτὸν
γενεαλογεῖ: ἔνιοι δὲ φασὶν αὐτὸν γεωργικώτατον
ὄντα δόξαν ἔχειν, ὅτι τῇ δήμητρι συνῴκει: τινὲς δὲ

*De Iasione*

φασὶν μετὰ τὸν ἐπικλυσμὸν παρὰ μόνῳ ἰάσωνι σπέρ-
μα πυρὸν εὑρεθῆναι ἐν κρήτῃ, ὅθεν διαδοθῆναι φή-
μην, ὅτι ἡ δημήτηρ αὐτῷ συνῴκει καὶ ἐγέννησε πλοῦ-
τον. Ω ΘΥΜΩ ΕΙΞΑΣΑ. ἐπιθυμήσασα. ΝΕΙΩ. νε-
νεασμένη γῇ ἠρομένῃ. ΤΡΙΠΟΛΩ. τρίτον ἐσπαρμένῃ.
ΕΣΑΩΣΑ. ἔσωσα. ΑΠΥΣΤΟΣ. ἀνήκουστος. ΠΕΡΙΤΡΟ-
ΠΙΟΣ ΒΕΒΑΩΤΑ. περιβεβηκότα τὸν τρόπιν. ΕΛΣΑΣ.
πλήξας, κεραυνώσας. ΕΚΕΑΣΣΕ. ἔκαυσε, διέσχισεν.
ΠΑΡΑ. πάρεστιν. ΥΠΟΘΗΣΟΜΑΙ. συμβουλεύσω.
ΑΓΗΡΑΟΝ. μὴ γηρῶντα. ΕΠΟΤΡΥΝΕΙ. παρορμᾷ.
ΟΥΠΗ. οὐδαμῶς. ΠΡΟΦΡΩΝ. πρόθυμος, ἢ προθύμως.
ΕΠΟΠΙΖΕΟ. ἐπιστρέφου, φρόντιζε. ΧΑΛΕΠΗΝΗ. ὀργι-
σθείη. ΤΕΡΣΟΝΤΟ. διεξηραίνοντο. ΚΑΤΕΙΒΕΤΟ. ἐνδά-
κρυσιν ἦν αὐτῷ ὁ τοῦ βίου χρόνος καὶ κατετήκετο.
ΕΠΕΙ ΟΥΚΕΤΙ ΗΝΔΑΝΕ. κατ' οὐδὲν ἤρεσκεν ἀπο-
πέμπειν ἔτι αὐτόν, ἢ τὸ μὲν πρῶτον ὡς σώσας ἀνέ-
στερξεν, τὸ δὲ μετὰ ταῦτα οὐκέτι. ΙΑΥΕΣΚΕΝ. διε-
νυκτέρευσεν, ἢ ἐκοιμᾶτο. ΚΑΜΜΟΡΕ. ἤτοι κακόμορε
καὶ ταλαίπωρε. ΔΕΡΚΕΣΚΕΤΟ. ἔβλεπεν. ΦΘΙΝΕ-
ΤΩ. φθειρέσθω. ΑΙΩΝ. ὁ βίος τοῦ ἀνθρώπου, τουτέστιν,
ὁ τῆς ζωῆς χρόνος. ΔΟΥΡΑΤΑ. νῦν ξύλα. ΤΑΜΩΝ.
κόψας. ΣΧΕΔΙΗΝ. τὴν εἰκαίως κατασκευασθεῖσαν

 ναῦν λέ-

νηῦν λέγει. ΡΙΓΗΣΕΝ. ἔφριξεν, ἐφοβήθη. ΙΚΡΙΑ. τὰ ὀρθὰ ξύλα, ἐφ' ὧν τὰ τῆς νεὼς καταστρώματα πήγνυται, τὰ ἐγκύλα λεγόμενα παρ' ἡμῖν. ΠΗΞΑΙ. σύμπηξον. ΠΟΜΠΗ. ἔφοδος, ἐξαποστολή. ΜΕΝΟΕΙΚΕΑ. τῷ μένει ἁρμόζοντα. ΕΡΥΚΟΙ. κωλύοι. ΚΡΗΝΑΙ. τελειῶσαι. ΠΟΛΥΤΛΑΣ. πολλὰ ὑπομείνας. ΜΗΔΕΑ. βουλεύματα. ΩΚΥΠΟΡΟΙ. ταχέως πλέουσαι. ΠΕΡΟΩΣΙΝ. διαπερῶσιν. ΑΓΑΛΛΟΜΕΝΑΙ. τερπόμεναι. ΒΟΥΛΕΥΣΕΜΕΝ. βουλεύσασθαι, ἐπινοῆσαι. ΑΛΙΤΡΟΣ. ὁ μὴ ἀπηλλαγμένος πανουργίας, ὁ ἁμαρτωλός. ΑΕΚΗΤΙ. ἀβουλίᾳ παρὰ γνώμην. ΑΠΟΦΩΛΙΑ. ἀπαίδευτα: φωλεοὶ γὰρ τὰ παιδευτήρια, ἢ ἃ οὐκ ἄν τις ἀποφήναιτο ὡς ἄρρητα, ἢ ἀσύνετα. ΕΠΕΦΡΑΣΘΗΣ. ἐβουλεύσω, ἐπενόησας. ΑΛΛΑ ΤΑ ΜΕΝ ΝΟΕΩ. ἀλλὰ ταῦτά σοι μηνύσω ὅσα φρονῶ καὶ ὅσα ἂν ἐμ' αὐτῇ συνεβούλευσα, ἐν τούτῳ τῆς χρείας καταστᾶσα. ΜΗΔΟΙΜΗΝ. βουλευσαίμην. ΙΚΟΙ. ἔλθοι. ΕΝΑΙΣΙΜΟΣ. ἀγαθός. ΓΛΑΦΥΡΟΝ. κοῖλον διὰ τὸ γεγλύφθαι. ΙΞΟΝ. ἀφίκοντο, ἦλθον. ΑΥΤΙΚΑ ΝΥΝ ΕΘΕΛΕΙΣ ΙΕΝΑΙ. ἐν ἐπερωτήσει. ΕΙΔΕΙΗΣ. ᾔδεις, ἠπίστασο. ΑΝΑΠΛΗΣΑΙ. ἀναπληρῶσαι. ΔΩΜΑ. καταχρηστικῶς τὸ σπήλαιον. ΕΙΗΣ. γένοιο. ΙΜΕΙΡΟΜΕΝΟΣ. ἐπιθυμῶν. ΕΕΛΔΕΑΙ. ἐπιθυμεῖς. ΗΜΑΤΑ ΠΑΝΤΑ. πάντα τὸν χρόνον. ΚΗΔΕΑ. λῦπαι, ἀνίαι. ΟΥ ΜΕΝ ΘΗΝ. οὐ μὲν δή. ΕΡΙΖΕΙΝ. φιλονεικεῖν.





ΠΟΤΝΑ. σεβασμένα, τιμία. ΧΩΕΟ. ὀργίζου. ΑΚΙΔΝΟΤΕΡΗ. οἱ μὲν γλωσσογράφοι ἀσθενεστέρα, οἱ δὲ εὐτελεστέρα: καὶ γὰρ ἐν ἄλλοις οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο, οἱ μέντοι γλωσσογράφοι ἀπέδοσαν πάλιν ἀσθενέστερον. ΑΓΗΡΩΣ. μὴ γηρῶσαι. ΕΙ Δ' ΑΥΤΙΣ. εἰ δέ τις. ΡΑΙΗΣΙ. διαφθείρῃ. ΝΟΣΤΙΜΟΝ ΗΜΑΡ. τὴν τῆς ἀνακομιδῆς ἡμέραν. ΤΑΛΑΡΕΝΘΕΑ. ὑπομενητικόν. ΕΜΟΓΗΣΑ. ἐκακοπάθησα. ΜΥΧΩ. τελευταίῳ, ἐσχάτῳ. ΣΠΕΙΟΥΣ. σπηλαίου. ΕΝΝΥΤΟ. ἐνεδύσατο. ΙΞΥΙ. ὀσφύϊ. ΚΑΛΥΠΤΡΗΝ. τὸ κάλυμμα τῆς κεφαλῆς. ΑΡΓΥΦΕΟΝ. λευκόν. ΠΟΜΠΗΝ. τὴν ἀπόπεμψιν. ΑΡΜΕΝΟΝ. ἡρμοσμένον. ΣΤΕΙΛΕΙΟΝ. στελεὸς ἡ λαβὴ τοῦ πελέκεως. ΠΕΡΙΚΑΛΛΕΥΣ. πάνυ καλόν. ΕΝΑΡΗΡΟΣ. ἐνηρμοσμένος. ΕΠ' ΕΣΧΑΤΗΝ. ἐπὶ τῶν ἐσχάτων μερῶν. ΑΥΑ ΠΑΛΑΙ. κατάξηρα καὶ ἐξαυλισμένα, ἢ διὰ εὐφωνίαν ἀγχθ᾽) τὸ α. ΠΕΡΙΚΗΛΑ. περιασῶς, κατεσκληκότα. ΗΝΥΤΟ. ἠνύετο, ἐτελειοῦτο. ΕΚΒΑΛΕ. κατέβαλε. ΣΤΑΘΜΗΝ. κανόνα, ὑπομεμιλτωμένον σχοινίον ἢ τεκτονικὴν σπάρτην. ΙΘΥΝΕ. ἐπ' εὐθείας ἤγαγεν. ΤΟΦΡΑ. τηνικαῦτα. ΕΝΕΙΚΕ. ἤνεγκεν, ἤγαγεν. ΤΕΡΕΤΡΑ. πάντα τὰ διατετρῆσαι δυνάμενα γομφωτήρια καὶ τρύπανα. ΓΟΜΦΟΙΣΙΝ. οἷς ἁρμόζεται τὰ ξύλα πρὸς ἄλληλα, ἢ πασσάλοις, ἢ πλατέσιν ἐπιούροις ἢ σφῆναις. ΑΡΜΟΝΙΗΣΙΝ. ἁρμονίαις. ΑΡΑΡΕΝ.



γλωσσογράφοι

ἁρμόσειν γράφεται καὶ ἀρηρεῖν. ΕΔΑΦΟΣ ΝΗΟΣ. τὸ κατώτατον κύτος τῆς νεώς. ΤΟΡΝΩΣΕΤΑΙ. περιγράψειεν. ΦΟΡΤΙΔΟΣ. φορταγωγοῦ τῆς καὶ ὁλκάδος καλουμένης. ΤΕΚΤΟΣΥΝΑΩΝ. τῆς περὶ τὰς τεκτονικὴν ἐμπειρίας. ΑΡΑΡΩΝ. ἁρμόσας. ΘΑΜΕΣΙ. πυκνοῖς συνεχέσιν. ΣΤΑΜΙΝΕΣΣΙ. τοῖς ἐπιμήκεσι ξύλοις, ἃ παρατίθεται τοῖς ἰκρίοις ἐξ ἑκατέρων τῶν μερῶν πρὸς τὸ ἑστάναι, ἢ τοῖς ὀρθοῖς ξύλοις, οἷς τὰ πηδάλια ἐμπήσσεται. ΕΠΗΓΚΕΝΙΔΕΣΣΙ. ταῖς διαπεταμέναις σανίσι κατὰ μετάθεσιν τοῦ γ, οἷον ἐπηνοκήδεσι ταῖς ἐπικειμέναις δοκοῖς. ΕΠΙΚΡΙΟΝ. τὴν κεραίαν τὸ πλάγιον ξύλον τοῦ ἱστοῦ ᾧ προσδέδεται τὰ ἄρμενα. ΤΕΛΕΥΤΑ. ἐτελείου, ἐπλήρου. ΠΗΔΑΛΙΟΝ. κώπην. ΙΘΥΝΟΙ. ἐπ' εὐθείας ἄγοι, κυβερνᾷ. ΔΙΑΜΠΕΡΕΣ. διὰ παντὸς δι' ὅλου. ΡΙΠΕΣΣΙ. τοῖς τῆς ἰτέας ῥαβδίοις, ὅ ἐστιν, κλάδοις ἢ ἀπὸ σύινων, ὅ ἐστιν, ἱμαντώδες φυτόν. ΕΙΛΑΡ. ἀσφάλειαν ἢ κώλυμα καὶ φυλακήν. ΕΠΕΧΕΥΑΤΟ ΥΛΗΝ. ἔρεισμα τῆς σχεδίας. ΦΑΡΕΑ. ὀθόνας. ΤΕΧΝΗΣΑΤΟ. εἰργάσατο. ΥΠΕΡΑΣ. τοὺς ἐκ τοῦ ἄκρου τῆς ὀθόνης ἐξημμένους κάλους, ἢ τὰς προχηλίας. ΚΑΛΩΑΣ. τὰ σχοινία, δι' ὧν ἀνάγεται καὶ κατάγεται ἡ κεραία. ΠΟΔΑΣ. τοὺς πόδας τοὺς κάτωθεν συνέχοντας τὴν ὀθόνην, ἢ τοὺς μεταγωγοὺς τοῦ κέρατος, ἕτεροι δὲ φασὶ σχοινία οἷς συνέχεται ἀπὸ πρώρας καὶ ἀπὸ πρύμνας ὁ ἱστός, ἢ τὰ ἑκατέρωθεν δεδεμένα



Τὰ ἄρμενα

Pedes in navi



τοῖς ἀρμενίοις σχοινία. ΚΑΤΕΙΡΥΣΕΝ. καθείλκυσεν. ΑΜΦΙΕΣΑΣΑ. ἐνδύσασα. ΘΥΩΔΕΑ. εὐώδη. ΗΙΑ. ἐφόδια, ἄλφιτα. ΜΕΝΟΕΙΚΕΑ. προσηνῆ, ἀρέσκοντα τῇ ψυχῇ ἀγαθά. ΚΩΡΥΚΩ. τῷ θυλάκῳ. ΠΕΤΑΣΕΝ. ἥπλωσεν. ΙΘΥΝΕΤΟ. ἐπ' εὐθείας ἦγεν ἐκυβέρνα. ΤΕΧΝΗΕΝΤΩΣ. ἐπιστημόνως. ΗΜΕΝΟΣ. καθήμενος. ΠΛΗΙΑΔΑΣ. ἑπτὰ ἀστέρας συνεχεῖς κατ' οὐρὰν τοῦ ταύρου κειμένους, ὧν οἱ ἓξ μόνοι φαίνονται. ΟΨΕ ΔΥΟΝΤΑ ΒΟΩΤΗΝ. τότε γὰρ μάλιστα τοῦ ἔργου ἀπολύονται οἱ βόες. ΟΨΕ ΔΥΟΝΤΑ. μετὰ πολὺν χρόνον τῶν συγκατελαυνόντων δύνοντα, κατὰ γὰρ τὸν Ἄρατον τέτρασι ιʹ μοίραις ἄμυδις καὶ ἰόντα βοώτην ὠκεανὸς δέχεται, συγκαταφέρεται δὲ τέτρασι ζῳδίοις σκορπίῳ ἀφ' οὗ ἄρχεται τοξότῃ αἰγοκέρῳ ὑδροχόῳ ἐφ' οὗ λήγει. ΒΟΩΤΗΝ. ὁ βοώτης καὶ ἀρκτοφύλαξ καλεῖται, καὶ δοκεῖ εἶναι ὁ ἰκάριος· βοώτης δὲ λέγεται ὅτι κατὰ τὴν ἐπιτολὴν αὐτοῦ βοηλατοῦσι καὶ ἀροτριῶσιν, ἢ ἐπειδὴ ἰκάριος ἐπὶ ἁμαξῶν περιεκόμιζε τὸν οἶνον. ΑΡΚΤΟΝ Θ' ΗΝ ΚΑΙ ΑΜΑΞΑΝ. καὶ ἅμαξα καλεῖται ἡ ἄρκτος, ἐπεὶ ἐκ τεσσάρων ἐστὶ τῶν ἐφεξῆς τριῶν, ὥσπερ ἐκ τροχῶν καὶ ῥυμοῦ ἁμάξης, σχῆμα ἀποτελεῖται. ΕΠΙΚΛΗΣΙΝ. ἐπωνυμίαν. ΤΗΝ ΓΑΡ ΔΗ ΜΙΝ. πρὸς ταύτην γὰρ δὴ αὐτόν. ΠΟΝΤΟΠΟΡΕΥΕΜΕΝΑΙ. πρὸς τὴν θάλασσαν διαπεραιοῦσθαι καὶ πλέειν. ΑΓΧΙΣΤΟΝ ΔΕ. τὸ ἐγγύτερον. ΕΙΣΑΤΟ.



Pliades

Arato

ὡς ὅτε ἐρινόν, εἰ μὲν ῥινὸν ἀναγνωστέον, ἔσται
ἐφάνη ὡς ἀσπὶς, ὅ ἐστι, βύρσα: εἰ δὲ ἐρινεόν, ἔσται
συκῆ, οἱ δὲ λέγουσιν ἰλλυριοὺς ῥινὸν λέγειν τὴν ἀρ-
χλὺν, ἐφάνη οὖν ὡς ἀχλὺς ἡ γῆ. ΕΙΣΑΤΟ. ἐφάνη, ἔδο-
Solyma ξεν. ΣΟΛΥΜΩΝ. σόλυμα ὄρη τῆς πισιδίας. ΚΑΡΗΝ.
τὴν κεφαλήν. ΠΡΟΤΙΟΝ. πρὸς τὸν ἑαυτοῦ. ΜΥΘΗΣΑ-
ΤΟ. εἶπεν. ΜΕΤΕΒΟΥΛΕΥΣΑΝ. μετέγνωσαν. ΠΕΙ-
ΡΑΣ. ἤτοι τὸ πέρας τὸ τέλος, ἢ τὸ λιπαρὸν καὶ ἀκμά-
ζον. ΑΔΗΝ. ἀθρόως. ΕΛΑΑΝ ΚΑΚΟΤΗΤΟΣ. κόρον
ἔχειν τῆς κακίας. ΣΥΝΑΓΕΝΕΦΕΛΑΣ. πρὸς ἀνθρώ-
πους πάντες πάντων ἐξουσίαν ἔχουσιν. ΤΡΙΑΙΝΑΝ
ΕΛΩΝ. εὐπρεπῶς πρὸς τὸ κινῆσαι. φόρημα γὰρ εἶχεν
ἀχώριστον. ΘΡΟΘΥΝΕΝ. ἐτάραξε, συνήγαγεν. ΟΡΩ-
ΡΕΙ. ἐκινεῖτο, παρωρμᾶτο. ΝΥΞ. σκότος. ΔΥΣΑΗΣ.
δυσπνόους, ἢ ἀπὸ δυσμῶν πνέων, ἢ διπλοῦς κατὰ
τὸ πνεῖν, καὶ γὰρ ἀναψύχει τοὺς ἀνθρώπους. ΑΙ-
ΘΡΗΓΕΝΕΤΗΣ. αἰθρίαν καὶ εὐδίαν ποιῶν, ἢ αἴθρον
ποιῶν, ὅ ἐστι, πάγον. ΛΥΤΟ. ἀντὶ τοῦ ἐλύθη. ΔΕΙΛΟΣ.
δείλαιος, δυστυχής. ΤΙ ΓΥΜΟΙ ΜΗΚΙΣΤΑ ΓΕΝΗ-
ΤΑΙ. τίνα μοι τούτων δύναται γενέσθαι μείζονα κα-
κά; τινὲς δὲ διὰ τοῦ χ γράφουσιν, ἵν᾽ ᾖ, μήχιστα,
ἀντὶ τοῦ τίς μοι γένηται μηχανή; οἱ δὲ τί νυ πῶς ὡς
κακῶς, τί νυ βίομαι; πῶς μοι τούτων δύναται μείζω
γενέσθαι κακά; ΜΗΚΙΣΤΑ. μείζονα. ΕΦΑΤΟ. εἶπεν.
ΑΝΑΠΛΗΣΕΙΝ. ἀναπληρώσειν. ΟΙΟΙΣΙΝ. ὁποίοις.

ΠΕΡΙΣΤΡΕΦΕΙ.



ΠΕΡΙΣΤΡΕΦΕΙ. περιλαμβάνει, περικαλύπτει. ΠΕΡΙ-
ΣΠΕΡΧΟΥΣΙ. κατεπείγουσι. ΠΕΡΙ ΠΗΛΕΙΩΝΙ ΘΑ-
ΝΟΝΤΙ. ἴσως διὰ τὴν θέτιν τοῦ ἀχιλλέως ἐμνή-
σθη. ΤΩΚΕΝ. οὕτω γὰρ ἄν. ΕΛΑΧΟΝ. ἔτυχον, ἠξιώθην.
ΗΓΟΝ. διέφθειρον, διεδίδοσαν. ΛΕΥΓΑΛΕΩ. ἀδόξῳ
ἢ ἀδυνάτῳ, ἢ περὶ δὲ ὕδατος. ΝΥΝ ΜΟΙ ΕΟΩΣ.
ΑΙΠΥΣ ΟΛΕΘΡΟΣ. τοῦτο ἐστὶν ἀντὶ τοῦ ἀποθανεῖν.
ΧΑΡΙΝ ΦΕΡΟΝΤΕΣ. χαριζόμενος. ΕΙΜΑΡΤΟ. πέ-
πρωτο. ΕΛΑΣΕΝ. ἔπαισεν, ἐνέκρουσεν, ἔπληξεν.
ΑΛΩΝΑΙ. ἀποθανεῖν. ΕΛΕΛΙΞΕΝ. ἔκλωσεν. ΚΑΤ᾽ Α-
ΚΡΗΣ. κατὰ κεφαλῆς, ἢ ἀντὶ τοῦ ὅλον, καὶ γὰρ κατ᾽ ἄκρας
πόλιν ἑλεῖν φαμέν. ΠΡΟΕΗΚΕΝ. ἀφῆκεν, ἐξείασεν.
ΣΤΕΙΡΟΝ. νηῶν τὸ ἄρμενον. ΥΠΟΒΡΥΧΑ. ὑποβρύχιον,
βούλεται δὲ λέγειν τὸν κατ᾽ ἀδεδυκότα εἰς τὸ ὕδωρ.
ΑΝΣΧΕΘΕΕΙΝ. ἤτοι ἀντισχεῖν, ἢ ἀνελθεῖν. ΚΡΑΤΟΣ.
κεφαλῆς. ΚΕΛΑΡΥΖΕΝ.. μετὰ ἤχου ἔρρει. ΤΕΛΟΣ
ΘΑΝΑΤΟΙΟ. τοῦ θανάτου. ΤΕΙΡΟΜΕΝΟΣ ΠΕΡ. καὶ
καταπονούμενος. ΕΛΑΒΕΤΟ. ἐπελάβετο, κατέ-
σχεν. ΚΑΤΑ ΡΟΟΝ. κατὰ τὸ ῥεῦμα. Ο ΠΩΡΙΝΟΣ. ὁ
ἐν τῷ καιρῷ τῆς ὀπώρας, ὅ ἐστιν, ἐν τῷ θέρει πνέων.
ΦΟΡΕΗΣΙ. φέροι, κουφίζοι. ΕΧΟΝΤΑΙ. ἀντέχονται.
ΠΡΟΒΑΛΕΣΚΕ. προεβάλετο, ὤθει. ΕΙΞΑΣΚΕ. παρε-
χώρει. ΤΟΝ ΔΕ ΙΔΕΝ ΚΑΔΜΟΥ ΘΥΓΑΤΗΡ. ἐλεεῖ Ino
αὐτὸν ὡς ἄνθρωπος, γενομένη ἰνώ, ἢ ὅτι ἦν φιλογε-
νὴς ὁ ὀδυσσεύς, ἢ καὶ διὰ τὸν ἀθάμαντα ἐδυστύχησεν. Athamas

οὐκ ἐνόων-

Leucothea unde.

οὐκ ἐναντίου τ δὲ τῷ ποσειδῶνι: κἀκεῖνος γὰρ ᾔδει ὅτι δεῖ σωθῆναι αὐτόν. ΚΑΛΛΙΣΦΥΡΟΣ. καλὰ σφύρα ἔχουσα, ὅ ἐστι, πόδα. ΛΕΥΚΟΘΕΗ. λευκοθέα ἐκλήθη ἡ ἰνὼ, ἀπὸ τοῦ θεῦσαι, ὅ ἐστι, δραμεῖν, διὰ τοῦ λεγομένου λευκοῦ πεδίου τῆς μεγαρίδος. ΑΥΔΗΕΣΣΑ. ἤτοι διαβόητος διὰ τὰ συμβάντα, ἢ ἐπεὶ οἱ ἄνθρωποι φωνήεντες πρὸς τὰ ἄλλα ζῶα αὐδήεσσα ἡ ἀνθρώπειος ποτέ. ΕΞΕΜΜΟΡΕ ΤΙΜΗΣ. μοῖραν ἔχει τιμῆς. ΑΙΘΥΙΗ Δ' ΕΙΚΥΙΑ ΠΟΤΗΝ. σὺν τῷ ἐγκαπτέον, ἤγουν ἡ, πτῆσιν ὡς τὸ ὁρμὴν, ἀπαλλαττομένη μέν τοι εἴκασαι τῇ αἰθυίᾳ ὡς καὶ ἡ Ἀθηνᾶ, ὄρνις δ' ὡς ἀνόπαια διέπτατο, καὶ φήνῃ εἰδομένη, αἴθυια ἐστὶν εἶδος ὀρνέου θαλασσίου. ΠΟΤΗΝ. Η ΠΟΤΗ. τὸ πτῆσιν, τῇ πτήσει. ΩΔΥΣΣΑΤΟ. ὠργίσθη. ΕΚΠΑΓΛΩΣ. πάνυ ἐξόχως. ΚΑΤΑΦΘΙΣΕΙ. φθαρῆναι ποιήσει. ΕΡΞΑΙ. πρᾶξον, ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. ΔΟΚΕΕΙΣ. δοκεῖς, νομίζεις. ΟΥ ΚΑΠΙΝΥΣΣΕΙΝ. οὐ κενοῦ καὶ ἀσυνέτου. ΚΑΛΛΙΠΕ. κατάλιπε, ἔασον. ΝΕΩΝ. νηχόμενος κολυμβῶν. ΕΦΙΕΣΟ. ἐφίεσο, ἐφικνοῦ. ΑΛΥΞΑΙ. ἐκφυγεῖν. ΤΗ. λαβὲ δωρικῶς. ΚΡΗΔΕΜΝΟΝ. κεφαλόδεσμον. ΤΑΝΥΣΣΑΙ. ἁπλῶσαι, ἀντὶ τοῦ ἅπλωσον. ΕΦΑΨΕΑΙ. ἐπιλάβῃ. ΠΟΛΛΟΝ ΑΠ' ΗΠΕΙΡΟΥ. ἵνα μὴ τὸ κῦμα ἐκβράσῃ. ΥΦΑΙΝΗΣΙΝ. κατασκευάζει. ΕΡΞΩ. πράξω. ΠΕΙΣΟΜΑΙ. πεισθήσομαι. ΦΥΞΙΜΟΝ. φευκτόν. ΑΡΗΡΗ. ἡρμό-

σο. ΝΗΞΟΜΑΙ.



σο. ΝΗΞΟΜΑΙ. κολυμβήσω. ΩΡΜΑΙΝΕ. διενοεῖτο. ΠΑΡΑ ΠΡΟΝΟΗΣΑΙ ΑΜΕΙΝΟΝ. τούτου κρεῖττον πάρεστιν νοῆσαι. ΚΑΤΗΡΕΦΕΥΣ. ὑψηλὸν ἐπεστεγασμένον καὶ καταλύψαι αὐτόν. ΖΑΗΣ. μεγάλως πνέως πολύπνους. ΗΙΩΝ. ἄχυρον παρὰ τὸ ἱέναι ἐπὶ φέρεσθαι ταχέως τὸ ἄχυρον: δηλοῖ δὲ καὶ τὰ βρώματα ἐπὶ ἐφόδια. ΘΗΜΩΝΑ. σωρόν. ΚΑΡΦΑΛΕΩΝ. ξηρῶν. ΚΕΛΗΘ' ΩΣ ΙΠΠΟΝ. ὡς κέλης, ὅ ἐστιν, ὁ ἄζευκτος ἵππος. ΔΙΕΣΚΕΔΑΣΕΝ. διεσκόρπισεν. ΑΛΛΥΔΙΣ ΑΛΛΗ. ἄλλα ἀλλαχόσε. ΒΑΙΝΕ. περιέβαινεν. ΚΕΛΗΤΑ. μόνον ἵππον. ΕΞΑΠΕΔΗΝΕΝ. ἀπεδύσατο. ΠΡΗΝΗΣ. ἐπὶ πρόσωπον. ΝΗΧΕΜΕΝΑΙ. νήχεσθαι, κολυμβᾶν. ΑΛΟΩ. πλανῶ. ΟΝΟΣΣΕΣΘΑΙ ΚΑΚΟΤΗΤΟΣ. ἐξουθενήσειν τῶν κακώσεων, ἢ μέμψασθαι. ΑΙΓΑΣ. πόλιν τῆς ἀχαΐας, οἱ δὲ νῆσον πρὸ τῆς εὐβοίας, ἱερὰν ποσειδῶνος. ΚΑΤΕΔΗΣΕ. κατέσχεν, ἔπαυσεν. ΚΕΛΕΥΘΟΥΣ. νῶν τὰς πνοάς. ΚΡΑΙΠΝΟΝ. ταχὺν, ἢ ὀξύν. ΠΡΟ ΔΕ ΚΥΜΑΤ' ΕΑΞΕΝ. κατέαξε τὰ τῶν ἄλλων κύματα: ἐπιφέρει δὲ μεγάλου, ὑπὸ κύματος ἀρθείς. ΡΗΓΩ. οἱ μὲν γλωσσογράφοι μέλανι καὶ ἰσχυρῷ, τινὲς δὲ γαληναίῳ, κρεῖσσον δὲ εὐπαγεῖ καὶ εὐξαφεῖ καὶ εὐμεγέθει. ΠΛΑΖΕΤΟ. ἐπλανᾶτο, προσεπέλαζε τῇ γῇ. ΠΡΟΤΙΟΣΣΕΤ' ΟΛΕΘΡΟΝ. ἐν ὀφθαλμοῖς καὶ φανερῶς ἑώρα τὸν ἑαυτοῦ ἀπώλειαν. ΝΗΝΕΜΙΗ. ἥσυχος, χωρὶς πνοῆς. ΑΡΘΕΙΣ.

ἐπαρθεὶς

Aega. V.

γλωσσογράφοι

ἐπαρθεὶς κουφισθείς. ΒΙΟΤΟΣ. βίος, ζωή. ΚΡΑΤΕΡΑ. ἰσχυρά. ΑΛΓΕΑ. νῦν ὀδύνας. ΕΧΡΑΕ. ἐπέσκηψεν, ἢ ἐπεβάρησεν, ἢ μετὰ βλάβης ἐπῆλθεν. ΚΑΚΟΤΗΤΟΣ. τοῦ κινδύνου τοῦ νόσου. ΑΣΠΑΣΤΟΝ. ἐπιθυμητόν. ΝΗΧΕ. ἐνήχετο, ἐκολύμβα. ΑΠΗΝ. ἀφεστήκει. ΟΣΣΟΝΤΕ ΛΕΓΩΝ ΕΒΟΗΣΑΣ. ὥστε διακουστὸν γενέσθαι βοήσαντα. ΣΠΙΛΑΔΕΣΣΙ. ὑφάλοις πέτραις. ΡΟΧΘΕΙ. ποιὸν ἦχον ἀπετέλει, περὶ ξερὸν ἠπείροιο, πρὸς τὸ ξερὸν τῆς γῆς, λέγει δὲ τὸ πεζῶδες τῆς ἀκτῆς. ΕΡΕΥΓΟΜΕΝΟΝ. μετὰ ἤχου ἀποβάλλον, ἐκβρασσόμενον. ΕΙΛΥΤΟ. ἐκεκάλυπτο. ΑΛΟΣ ΑΧΝΗ. τῷ λεπτομερεστάτῳ τοῦ ἀφροῦ ἢ τῇ ἀναβρασίᾳ. ΝΗΩΝ ΟΧΟΙ. οἱ συνέχοντες τὰς ναῦς, ἢ ἐφ' ὧν ὀχοῦνται καὶ ἀναπαύονται αἱ νῆες. ΕΠΙΩΓΑΙ. οἱ ἀνέμου σκέπην ἔχοντες τόποι ἢ αἱ ἐξοχαὶ καὶ οἱ πλατεῖς αἰγιαλοί. ΠΡΟΒΛΗΤΕΣ. αἱ προβεβλημέναι τῆς θαλάσσης πέτραι. ΑΚΤΑΙ. ἐξοχαί. ΠΑΓΟΙ. οἱ ὀξεῖς τόποι, αἱ πετρώδεις ἐξοχαί, ἢ ὀξεῖς πέτραι, ἢ εἰς ὕψος ἀνέχουσαι πέτραι, ἀναπεπταμένοι τόποι. ΣΠΙΛΑΔΕΣ. αἱ διεσχισμέναι καὶ κεκοιλωμέναι πέτραι, ὑπὸ τῆς πλήξεως τῶν κυμάτων. ΑΕΛΠΕΑ. ἀνέλπιστον. ΒΕΒΡΥΧΕΝ. ἤχει, βοᾷ. ΒΡΕΜΥ. βρυχᾶται. ΡΟΘΙΟΝ. ἀπὸ τοῦ γινομένου ἤχου τὸ σημαινόμενον, ἢ ῥοίζῳ φερόμενον καὶ ὁρμητικόν. ΛΙΣΣΗ. ἡ λεία καὶ ὁμαλή. ΑΝΑΔΕΔΡΟΜΕ. ἀνατείνει, ἀνήκει εἰς ὕψος. ΑΓΧΙΒΑΘΗΣ.

σπιλαδες





ἡ ἐγγὺς τῆς γῆς βάθος ἔχουσα. ΛΙΘΑΚΙ. λιθώδει πέτρᾳ ὑποπεπτωμένῃ τῇ θαλάσσῃ ἢ ἐξεχούσῃ. ΜΕΛΕΗ. ματαία. ΗΙΟΝΑΣ. αἰγιαλούς. ΠΑΡΑΠΛΗΓΑΣ. τοὺς ἐκ πλαγίου καὶ οὐκ ἄντικρυ παραπλησσομένους λιμένας ἐπιπετικῶς. ΘΥΕΛΛΑ. ἀνέμων συστροφή. ΣΤΕΝΑΧΟΝΤΑ. στενάζοντα. ΑΜΦΙΤΡΙΤΗ. ἀπὸ τῆς δαίμονος ἡ θάλασσα. ΟΔΩΔΥΣΤΑΙ. κεχόλωται ὤργισται. ΡΙΝΟΝ. δέρμα. ΔΡΥΦΘΗ. ἀπεδάρη περιεσπαράχθη, διεξέσθη. ΝΕΩΝ. κολυμβῶν. ΑΡΑΧΘΗ. συνετρίβη ἢ ἐρράγη. ΕΠΕΣΣΥΜΕΝΟΣ. ἐφορμήσας. ΛΑΒΕ. ἐπελάβετο. ΣΤΕΝΑΧΩΝ. στενάζων. ΥΠΑΛΥΞΕΝ, διέφυγεν. ΠΑΛΙΡΡΟΘΙΟΝ. παλινόρμητον εἰς τοὐπίσω φερόμενον ἐκ τοῦ ἄντικρυ ῥέοντος. ΕΣΣΥΜΕΝΟΝ. ἐπελθὸν τὸ κῦμα. ΠΟΥΛΥΠΟΔΟΣ. τοῦ ὀκτάποδος, εἶδος δὲ ἰχθύος ὁ ὀκτάπους. ΘΑΛΑΜΗΣ. φωλεοῦ καταδύσεως πρὸς κοτυληδὸν ὅθεν πρὸς ταῖς κοτυληδόσι, κοτυληδόνες δὲ εἰσὶν αἱ τοῦ πολύποδος πλεκτάναι, ἐναντίως δὲ προβέβληται. ΠΥΚΙΝΑΙ. πυκναὶ συνεχεῖς. ΛΑΙΓΓΕΣ. μικρὰ λιθάρια ἢ μικραὶ ψῆφοι. ΡΙΝΟΙ. τὰ δέρματα. ΑΠΕΔΡΥΦΘΕΝ. ἀπεδρύφθησαν ἀπεσπάσθησαν ἀπεξέσθησαν. ΔΥΣΤΗΝΟΣ. ἄθλιος. ΕΠΙΦΡΟΣΥΝΗΝ. σύνεσιν ἐπίνοιαν. ΙΞΕ. ἀφίκετο παρεγένετο. ΕΞΑΝΑΔΥΣ. ἀνελθών. ΕΡΕΥΓΕΤΑΙ. μετὰ ἤχου προσρήγνυται.

κοτυληδόνες

ΣΤΟΜΑ. τὴν εἴσοδον. ΣΚΕΠΑΣ. σκέπη. ΚΑΛΛΙΡΡΟΟΙΟ. καλὰ ῥεύματα ἔχοντος. ΧΩΡΟΣ. τόπος. ΕΓΝΩ. ἐθεάσατο ἢ ᾔσθετο. ΠΟΛΥΛΛΙΣΤΟΝ. πολυλιτάνευτον. ΙΚΑΝΩ ΔΕ. ἀντὶ τοῦ ἱκετεύω. ΕΝΙΠΑΣ. ἀπειλάς. ΙΚΗΤΑΙ. ἱκετεύσῃ. ΕΛΕΑΙΡΕ. ἐλέησον. ΕΥΧΟΜΑΙ. καυχῶμαι λέγω. ΕΣΧΕ. ἐπέσχεν ἔπαυσεν. ΠΡΟΧΟΑΣ. τὰς εἰς θάλασσαν τῶν ποταμῶν στόματα, τὰς πορεύσεις. ΔΕΔΜΗΤΟ. ἐδεδάμαστο. ΑΛΙ ΓΑΡ ΔΕΔΜΗΤΟ. τῇ θαλάσσῃ καταπεπονημένος ἦν. ΩΔΕΕ. ἔνιοι ᾠδήκει ἐν ὄγκῳ. ΚΗΚΙΕ. κατέρρει ἀνεφέρετο. ΑΠΝΕΥΣΤΟΣ. μὴ ἀναπνέων. ΑΝΑΥΔΟΣ. ἄφωνος. ΟΛΙΓΗΠΕΛΕΩΝ. ὀλιγοψυχῶν. ΙΚΑΝΕΝ. κατέσχεν. ΑΛΙΜΥΡΗΕΝΤΑ. ἐπιθετικῶς τὸν εἰς θάλασσαν ἐξερευγόμενον. ΜΕΘΗΚΕΝ. ἀφῆκεν. ΔΕΞΑΤΟ. ἔλαβεν. ΛΙΑΣΤΕΙΣ. χωρισθείς. ΣΧΟΙΝΙΩ. εἶδος πόας ἢ σχοῖνος. ΥΠΕΚΛΙΝΘΗ. ἐπέπεσεν. ΚΥΣΕ. κατεφίλησεν. ΔΥΣΚΗΔΕΑ. χαλεπὴν κακωτικήν. ΑΜΥΔΙΣ. ὁμοῦ. ΣΤΙΒΗ ΔΕ. ἡ πάχνη κατὰ ἀντίφρασιν ἢ τὸ ἑωθινὸν ψῦχος. ΘΗΛΥΣ. θάλλουσα. ΕΕΡΣΗ. δρόσος. ΟΛΙΓΗΠΕΛΙΗΣ. ὀλιγοψυχίας. ΚΕΚΑΦΗΟΤΑ. ἐκπεπνευκότα ἢ κεκακωμένον. ΑΥΡΗ. πνοή. ΗΩΘΙ ΠΡΟ. πρὸ ἡμέρας. ΚΛΙΤΥΝ. τὴν ὑψηλὴν πρόσβασιν τοῦ ὄρους. ΘΑΜΝΟΙΣ. δασέσι φυτοῖς. ΔΑΣΚΙΟΝ. δασύσκιον. ΚΑΤΑΔΡΑΘΩ. καθευδήσω κατακοιμηθῶ. ΜΕΘΕΙΗ. ἐάσει. ΚΕΡΔΙΟΝ.

ὠφέλιμον.



ὠφέλιμον, κρεῖττον. ΦΡΟΝΕΟΝΤΙ. βουλευομένῳ. ΠΕΡΙΦΑΙΝΟΜΕΝΩ. περιορωμένῳ, περὶ ὃν τόπον οὐκ ἔστιν ὕλη ἀλλὰ μόνον θάμνος. τὸ δὲ περὶ αὐτὸν ψιλόν. ΕΞΩΜΟΘΕΝ. ἐκ τοῦ αὐτοῦ τόπου. ΠΕΦΥΩΤΑΣ. πεφυκότας, ἀναδεδομένους. ΦΥΛΙΗΣ. εἶδος ἐλαίας τῆς καλουμένης φυλίας. ΔΙΑΕΙ. διαπνεῖ διίησιν. ΛΕΝΤΩΝ. πνεόντων. ΕΦΥΝ. ὑπῆρχον ἐπεφύκεσαν. ΕΠΑΓΜΟΙΒΑΔΙΣ. ἐπιπλεγμένοι ἐναλλάξ. ΔΥΣΕΤΟ. ἐπέδυ ὑπεισῆλθεν. ΕΠΑΜΗΣΑΤΟ. ἐπεσπάσατο ἐπεσώρευσεν. ἐπέβαλεν. ΧΥΣΙΣ. ἄθροισις, πλῆθος. ΗΛΙΘΑ. ἀθρόως δαψιλῶς. ΕΡΥΣΘΑΙ. ῥύσασθαι σῶσαι φυλάξαι. ΩΡΗ ΧΕΙΜΕΡΙΗ. ἐν τῇ τοῦ χειμῶνος ὥρᾳ. ΕΛΕΚΤΟ. ἐκοιμᾶτο. ΔΑΛΟΝ. διάπυρον ξύλον. ΣΠΕΡΜΑ ΠΥΡΟΣ. τὸν σπινθῆρα τοῦ πυρός. ΧΑΛΕΠΑΙΝΟΙ. χαλεπῶς ὑπὸ ῥίγους διατεθῇ. ΣΠΟΔΙΗ. κονία σποδῷ. ΕΠ' ΕΣΧΑΤΙΗ. ἐπ' ἐσχάτων μερῶν. ΑΥΟΙ. ἐξάπτοι. ΧΕΥΕ. ἐπέβαλεν. ΔΥΣΠΟΝΕΟΣ. χαλεπὸν πόνον ἐπιφέροντος. ΑΜΦΙΚΑΛΥΨΑΣ. περισκεπάσας.

τέλος τοῦ ε.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ζ. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Η Ἀθηνᾶ ἐπιστᾶσα ὄναρ τῇ Ἀλκινόου θυγατρὶ Ναυσικάᾳ, κελεύει αὐτῇ τὴν ἐσθῆτα ἐπὶ τὸν ποταμὸν ἀγαγούσῃ πλύνειν, πλησίον γὰρ αὐτῇ εἶναι τὸν γάμον. ἡ δὲ τὸ κελευσθὲν ποιεῖ, ἔπειτα παίζει μετὰ τῶν θεραπαινῶν. ἀκούσας δὲ αὐτῶν ὁ Ὀδυσσεύς, ἐξυπνίζεται καὶ δεηθεὶς Ναυσικάας ἐσθῆτα ἢ ζοφιῶ παρ' αὐτῆς λαβών, ἕπεται αὐτῇ εἰς τὴν πόλιν.

ΝΑΥΣΙΚΑΑΣ. ἡ Ἀλκινόου θυγάτηρ ὑπ' ὀνείρου τραπεῖσα ἐπὶ τὸν ποταμὸν κάτεισι πλύνουσα τὴν ἐσθῆτα, μετὰ δὲ τὸ πλῦναι παιδιά τις ὁποία εἰκὸς διὰ σφαίρας ταῖς κόραις γίνεται. Ὀδυσσεὺς δὲ θορύβου γενομένου διυπνίσθη, καὶ ἐσθῆτος τυχὼν μέχρι τοῦ τῆς Ἀθηνᾶς ἱδρου ὃ πρὸ τῆς πόλεως ἦν, συνώδευε τῇ κόρῃ. ΑΡΗΜΕΝΟΣ. βεβλαμμένος, ἤτοι συλληπτικῶς. ὑπὸ μὲν γὰρ τοῦ καμάτου βέβλαπτο, ὑπὸ δὲ τοῦ ὕπνου οὐκ ἔτι. ἢ κατὰ ἀντίφρασιν τὴν ἀγρυπνίαν ὕπνον ἔφη, ἢ ἐπὶ τῷ καμάτῳ στικτέον, εἶτα ἀρημένος, ὑπὸ τοῦ Ποσειδῶνος βλαβείς, καὶ παθείς, ἢ κατεχόμενος. ΕΝ ΕΥΡΥΧΩΡΩ.



ΧΩΡΩ. πλατυχώρῳ μεγάλῃ. ΥΠΕΡΕΙΗ. οἱ μὲν τὴν ἐν Σικελίᾳ Καμαρίναν, οἱ δὲ ἀπὸ τοῦ ὑπὲρ τῆς ἡμῶν γινωσκομένην, ἄλλοι δὲ ὅτι ἦν νῆσος πρότερον πλησίον τῆς τῶν Κυκλώπων χώρας. ΥΠΕΡΗΝΟΡΕΟΝΤΩΝ. ὑπερεχόντων τῇ ἠνορέῃ ὅ ἐστι τῇ ἀνδρείᾳ καὶ διὰ τοῦτο ὑπερηφάνων. ΟΙ ΣΦΕΑΣ. οἵτινες αὐτούς. ΣΥΝΕΣΚΟΝΤΟ. ἐκάκουν ἠδίκουν ἔβλαπτον. ΑΝΑΣΤΗΣΑΣ. ἀνακομίσας ἀποικίαν στειλάμενος. ΕΙΣΕ. νῦν ἀντὶ τοῦ ἵδρυσεν. ΧΕΡΙΗ. ἡ τῶν Φαιάκων πόλις. ΑΛΦΗΣΤΑΩΝ. τῶν εὑρετικῶν ἢ ἐπινοητικῶν ἀνθρώπων. ΤΕΙΧΟΣ ΕΛΑΣΕ. περιέτεινε περιέβαλεν. ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ ἐλαυνομένου σιδήρου, ἢ ἀπὸ τοῦ ἐλάσαι ὅ ἐστι πῆξαι καὶ σκάψαι. ΕΔΕΙΜΑΤΟ. κατεσκεύασεν. ΕΔΑΣΣΑΤΟ. διεμέρισε. ΣΤΑΘΜΟΙΙΝ. τῶν παραστάδων. ΕΠΕΚΕΙΝΤΟ. ἐπικεκλιμένοι ἦσαν. ΦΑΕΙΝΑΙ. λαμπραί. ΚΗΡΙ. θανατηφόρος μοῖρα. ΑΙΔΟΣ. εἰς ᾅδου. ΠΟΛΥΔΑΙΔΑΛΟΝ. πολυποίκιλον. Ω ΕΝΙ. ἐν ᾧ. ΘΥΓΑΤΗΡ ΑΛΚΙΝΟΟΙΟ. ἡ Ναυσικάα. ΕΚΑΤΕΡΟΕΝ. ἑκατέρωθεν. ΔΕΜΝΙΑ. στρώματα. ΚΟΥΡΗ. θυγατρί. ΝΑΥΣΙΚΛΕΙΤΟΙΟ. ἐν τοῖς κατὰ ναυτικὴν ἔργοις ἐνδόξου. ΟΜΙΛΙΚΙΗ. ὁμῆλιξ. ΚΕΧΑΡΙΣΤΟ. προσηνὴς ἦν ἐφιλεῖτο. ΜΕΘΗΜΟΝΑ. ἀμελῆ, ῥᾴθυμον. ΑΚΗΔΕΑ. μηδὲ μιᾶς φροντίδος ἠξιωμένα ἢ ἀτημέλητα ἀφρόντιστα. ΣΙΓΑΛΟΕΝΤΑ. ἁπαλὰ ποικίλα, τὰ

τῇ γὰρ σκληρᾷ ἀντιπίπτει καὶ ἀντιτύπτει τὰ ἁπαλὰ ὥσπερ σιγᾷ καὶ ἡσυχάζει. ΕΝΝΥΣΘΑΙ. ἐνδεδύσθαι καὶ ἐνδεδύσθαι ἐννυσθῆ. ΤΑ ΔΕ ΤΟΙΣΙ ΠΑΡΑΣΧΕΙΝ. ὡς ἔθους τοιούτου ὄντος. ΦΑΤΙΣ ΑΝΘΡΩΠΟΥΣ ΑΝΑΒΕΙΝΕΙΝ. διαβόητοι γίνονται. ΣΥΝΕΡΙΘΟΣ. συνεργὸς περὶ τὴν ἀγαθὴν ἔριν. ΕΝΤΥΝΕΑΙ. κοσμήσεις πλύνειας εὐτρεπίσειας. ΟΘΥΤΟΙ ΓΕΝΟΣ. οὐ τοπικόν ἐστι νῦν, ἀλλὰ θέλει λέγειν ἐν δὶς καὶ αὐτὴ ὀνομάζει τοὺς ἀρίστους. τουτέστιν, ὅτι εἰ εὐγενὴς γέγονε καὶ ἤτοι γνήσιος. ΑΠΟΤΡΗΝΟΝ. παρόρμησον. ΕΣΣΕΑΙ. ἔσῃ γνωρίσῃ. ΕΦΟΠΛΙΣΑΙ. παρασκευάσαι. ΗΚΕΝ. ἥτις ἂν. ΑΓΗΣΙ. ἄγοι φέροι βαστάζοι. ΖΩΣΤΡΑ. τὰ πρὸς ζώνην ἐπιτήδεια ἐνδύματα. λέγει δὲ χιτῶνας ἢ ζώνας. ΤΙΝΑΣΣΕΤΑΙ. κινεῖται. ΕΠΙΠΙΛΝΑΤΑΙ. προσπελάζει ἐμπίπτει. ΑΙΘΡΗ. εὐδία. ΠΛΥΝΟΙ. οἱ τόποι ἐν οἷς πλύνουσιν. ΕΔΟΣ. ἔδρασμα κτίσμα. ΠΕΠΤΑΤΑΙ. ἀναπέπταται ἀνέῳκται. ΑΝΕΦΕΛΟΣ. νεφελῶν χωρίς. ἡ γὰρ κορυφὴ ἡ τοῦ ὀλύμπου ἐπουράνιος καλεῖται. ὁ δὲ οὐρανὸς ὑφ᾽ ὁμήρου ἀπὸ τῶν νεφελῶν ἕως τοῦ κατηστερισμένου τόπου συνωνύμως αὐτῷ τῷ κατηστερισμένῳ καλεῖται. ΑΙΓΛΗ. λαμπηδών. ΤΩ ΕΝΙ. ἐν τούτῳ. ΕΠΙΔΕΔΡΟΜΕΝ. ἐπέστιν ἐπικέχυται. ΔΙΕΠΕΦΡΑΔΕ. διεσήμανεν. ΕΥΘΡΟΝΟΣ. θρόνον νῦν τὸ ἁρμάτιον λέγει τὸ ἡνιοχικόν· οὐ γὰρ ὅσιον ἑδραία ἡ θεὸς αὕτη ἡ νῦν εἰρημένη. ΑΓΓΕΙΛΕΙΕ.



πλύνου
με ποιῶν
&c.

ὑδρανός
apud Homerum



ἐπαγγείλῃ εἴποι. ΕΠΕΣΧΑΡΗ. παρὰ τῇ ἐσχάρᾳ. ἐσχάρα δὲ τόπος ἐφ᾽ ᾧ τὸ πῦρ καίεται. ΗΛΑΚΑΤΑ. νῦν τὰ ἔρια. ΣΤΡΩΦΩΣΑ. στρέφουσα ἐργαζομένη. ΑΛΙΠΟΡΦΥΡΑ. θαλασσοβαφῆ. ΘΥΡΑΖΕ. ἔξω. ΣΥΜΒΛΗΤΟ. συνέτυχεν. ΚΛΕΙΤΟΥΣ. ἐνδόξους. ΒΟΥΛΗΝ. νῦν τὸν τόπον ὅπου βουλεύονται. ΠΑΠΑ. προσφώνησις φιλοφρονητικὴ νεωτέρου πρὸς πρεσβύτερον. ΕΦΟΠΛΙΣΕΙΑΣ. παρασκευάσειας. ΑΠΗΝΗΝ. ἅμαξαν. ΟΡΥΟΝΤΟΣ. γεγαμηκότος. ΕΥΤΡΟΧΟΝ. καλοὺς τροχοὺς ἔχουσαν. ΗΙΘΕΟΙ. ἄγαμοι. ΘΑΛΕΘΟΝΤΕΣ. θάλλοντες ἀκμάζοντες. ΧΟΡΟΝ. τὸ συνέδριον τὰ ἀθροίσματα διδασκαλεῖα. ΑΙΔΕΤΟ. ᾐσχύνθη ἐνετράπη. ΘΑΛΛΕΡΟΝ. θάλλειν καὶ ἀκμάζειν ποιοῦν. ΕΞΟΝΟΜΗΝΑΙ. ὀνομαστὶ εἰπεῖν. ΟΥΤΕ ΤΟΙ. οὔτε τινός. ΑΜΕΙΒΕΤΟ. ἀνταπεκρίνετο δὲ ἐξ ἀμοιβῆς προσεφθέγγετο. ΕΦΟΠΛΙΣΣΟΥΣΙ. παρασκευάσουσι. ΕΥΚΥΚΛΟΝ. εὔτροχον, κύκλος γὰρ οἱ τροχοί. ΥΠΕΡΤΕΡΙΗ. τῷ ἐπιτεθειμένῳ πλινθίῳ τῇ ἁμάξῃ. πρὸς τὸ πλείονα βάρη φέρειν ὑψηλοτάτῳ, ὃ καὶ πλίνθρον καλεῖται. ἢ τῷ ὑπὲρ ἄνω τῆς ἁμάξης τετραγώνῳ ξύλῳ, δεχομένῳ τὸ ἐντιθέμενον φορτίον. ΔΜΩΙΣΙΝ. θεραπαινίσιν. ΟΠΛΕΟΝ. ἡτοίμαζον παρεσκεύαζον. ΥΠΑΓΟΝ. ἐξῆγον. ΕΣΘΗΤΑ ΦΑΕΙΝΗΝ. οὐ τότε οὖσαν φαιδράν, ἐρρύπωτο γὰρ. ἀλλὰ τῇ φύσει καθαράν. ΚΙΣΤΗ. ἐνδεσματοθήκη, οὐκ ἔποθεν τὸ ἐγκεῖσθαί τι ἐν αὐτῇ.



Papa

ΧΕΥΕΝ. συνέχεεν ἔβαλεν. ΛΗΚΥΘΩ. ἐλαιοδόχῳ ἀγγείῳ. ΥΓΡΟΝ ΕΛΑΙΟΝ. οὐ τὸ τῇ φύσει ὑγρόν. ἀλλὰ τὸ ὑγροποιόν. ΕΙΟΣ. νῦν ἀντὶ τοῦ ὅπως. ΧΥΤΛΩΣΑΙΤΟ. λουσαμένη ἀλείψαιτο. χύτλος γὰρ τὸ μετὰ ὕδατος ἔλαιον. ΚΑΝΑΧΗ. ψόφος ἦχος. ΤΑΝΥΟΝΤΟ. συνεχῶς ἐφέροντο. ΑΜΟΤΟΝ. ἀπλήρωτον. ΕΠΗΕΤΑΝΟΙ. συνεχεῖς. ΧΙΟΝ. ἐπορεύοντο. ΡΥΠΟΩΝΤΑ. ῥυπαρά. ΥΠΕΚΠΡΟΕΛΥΣΕΝ. ἡ μὲν ὑπὸ τὴν ὑποζεύξιν δηλοῖ, ἡ δὲ πρὸς τὸ εἰς προσθάλασσαν. ΣΕΥΑΝ. ἐδίωξαν. ΔΙΝΗΕΝΤΑ. δίνας καὶ συστροφὰς ἔχοντα. ΑΓΡΩΣΤΙΝ. εἶδος βοτάνης, ὅπερ ἐστὶ πόα χορτώδης. ΣΤΕΙΒΟΝ. ἐπάτουν. ΒΟΘΡΟΙΣΙ. τοῖς ὀρύγμασι. ΠΡΟΦΕΡΟΥΣΑΙ. προβάλλουσαι. ΡΥΠΑ. τὸν ῥύπον. ΛΑΙΓΓΑΣ. τὰ μικρὰ λιθάρια, ἢ τὰς μικρὰς ψήφους. ΠΕΤΑΣΑΝ. ἐξέτειναν. ΧΕΡΣΟΝ. τὴν γῆν. ΑΠΟΠΤΥΕΣΚΕ. ἀπέρριπτεν. ΛΟΕΣΣΑΜΕΝΑΙ. λουσάμεναι. ΧΡΙΣΑΜΕΝΑΙ. ἀλειψάμεναι. ΔΕΙΠΝΟΝ. ἄριστον. ΟΧΘΗΣΙ. τοῖς χείλεσί του ποταμοῦ. ΤΕΡΣΗΜΕΝΑΙ. ξηρανθῆναι. ΤΑΡΦΘΕΝ. ἐκορέσθησαν. ΕΙΣΙ. πορεύεται, ἢ ἔρχεται. ΛΙΠΑ. λιπαρῶς. ΤΗΥΓΕΤΟΝ. ὄρος τῆς λακωνικῆς. ΠΕΡΙΜΗΚΕΤΟΝ. ὑψηλόν. ΕΡΥΜΑΝΘΟΝ. ὄρος τῆς ἀρκαδίας καὶ ποταμός, ἔνθα ὁ ἐρυμάνθιος κάπρος, ἐν τούτοις δὲ λέων οὐ γίνεται. ΩΚΕΙΗΣ: ὠκείαις ταχείαις. ΑΓΡΟΝΟΜΟΙ. οἱ ἐπὶ τῶν ἀγρῶν νεμόμεναι

χύτλος

Erymanthus M.





ἢ ἄγρων νέμουσαι. ΑΡΙΓΝΩΤΗ. μεγάλως καὶ γνωστὴ καὶ φοβερά. ΑΔΜΗΣ. ἀδάμαστος ἄγαμος. ΠΤΥΞΑΣΑ. διπλώσασα ἢ διπλωθῆναι ποιήσασα. ΕΓΡΟΙΤΟ. ἐξανέστη. ΕΥΩΠΙΔΑ. εὐόφθαλμον ὧπες γὰρ οἱ ὀφθαλμοί. ΔΙΝΗ. τῇ τῶν ὑδάτων συστροφῇ. ΑΥΣΑΝ. ἐβόησαν. ΘΕΟΥΔΗΣ. θεοειδής, θεοῖς ὅμοιος, ἢ θεοαδὴς ὁ θεοῖς ἀρέσκων ἢ θεοῦ ἔχων ἄδειαν. ΑΥΤΜΗ. νῦν ἡ φωνή. ΠΕΙΣΕΑ. τοὺς διύγρους τόπους, παρὰ τὸ πῖσαι ὅ ἐστι ποτίσαι. ΑΥΔΗΕΝΤΩΝ. εὐφώνων ἐνάρθρῳ φωνῇ χρωμένων. ΥΠΕΔΥΣΑΤΟ. ὑπεξῆλθεν. ΠΤΟΡΘΟΝ. κλάδον βλαστόν. ΡΥΣΑΙΤΟ. καλύψοι σκεπάσοι. ΜΗΔΕΑ. νῦν τὰ αἰδέσιμα μέρη τὰ αἰδοῖα. ΟΡΕΣΙΤΡΟΦΟΣ. ὀρεσιτρεφόμενος. ΒΗ Δ' ΙΜΕΝ. ὥρμησε δὲ ἀπιέναι. ΧΟΜΕΝΟΣ. βρεχόμενος. ΑΗΜΕΝΟΣ. ὑπὸ ἀνέμου καταπνεόμενος. ΔΑΙΕΤΑΙ. καίεται. ΜΕΤΕΡΧΕΤΑΙ. ἐπέρχεται. ΠΕΙΡΗΣΟΝΤΑΙ. πεῖραν λη‌ψόμενοι. ΕΥΠΛΟΚΑΜΟΙΣΙ. εὐκόσμοις ἀπὸ μέρους τὸ πᾶν, καλοῖς. ΚΕΚΑΚΩΜΕΝΟΣ. κακῶς διακείμενος. ΤΡΕΣΑΝ. φοβηθεῖσαι ἔφυγον. ΠΡΟΥΧΟΥΣΑΣ. προβεβλημένας. ΔΕΟΣ. φόβον. ΕΙΛΕΤΟ. ἀφείλετο. ΑΝΤΑ ΣΧΟΜΕΝΗ. νῦν ἐξεναντίας ἀνασχομένη, καὶ μείνασα. ΛΙΣΣΟΙΤΟ. παρακαλοίη. ΟΥΤΩΣ. οὕτως ὡς ἔχει. ΑΠΟΣΤΑΔΑ. ἐκ διαστήματος. ΔΟΑΣΑΤΟ. ἔδοξε. ΧΟΛΩΣΑΙΤΟ. ὀργισθείη. ΚΕΡΔΑΛΕΑ.

συνετά. ΓΟΥΝΟΥΜΑΙ. ἱκετεύω. ΑΝΑΣΣΑ. βασιλὶς δέσποινα. ΕΥΦΡΟΣΥΝΗΣΙΝ. θυμηδίαις. ΙΑΙΝΕΤΑΙ. χαίρει τέρπει. ΛΕΥΣΣΟΝΤΩΝ. βλεπόντων. ΘΑΛΟΣ. βλάστημα. ΕΙΣΟΙΧΝΕΥΣΑΝ. εἰσερχομένην πορευομένην. ΕΔΝΟΙΣΙ. τοῖς πρὸ γάμου δώροις μνήστροις. ΒΡΙΣΑΣ. βαρήσας. ΦΟΙΝΙΚΟΣ ΝΕΟΝ ΕΡΝΟΣ. τὸν ἀνατεθέντα λέγει φοίνικα τῇ λητοῖ οὗ ἐφαψαμένη ἀπεκύησεν. ΕΡΝΟΣ. τὸ εὐθαλὲς δένδρον. ΑΝΕΡΧΟΜΕΝΟΝ. αὐξανόμενον. ΗΛΘΟΝ ΓΑΡ ΚΑΙ ΚΕΙΣΕ. πιθανῶς ἐμφαίνει τινὰ τῶν ἐπιφανῶν. ἵνα μὴ φορτικὸς ἢ καπηλάτης εἶναι δόξῃ. ΕΣΕΣΘΑΙ. γενήσεσθαι. ΕΤΕΘΗΠΕΑ. ἐξεπλάγην. ΔΟΡΥ. δένδρον. ΑΓΑΜΑΙ. θαυμάζω. ΤΕΘΗΠΑ. καταπέπληγμαι. ΦΟΡΕΙ. ἔφερεν. ΚΡΑΙΠΝΑΙ. ταχεῖαι ἢ ὀξεῖαι. ΘΥΕΛΛΑΙ. αἱ συστροφαὶ τῶν ἀνέμων. ΙΚΟΜΗΝ. ἱκέτευσα ἀφικόμην. ΕΙΛΥΜΑ. ἐνείλυμα κάλυμμα περίβλημα. ΣΠΕΙΡΩΝ. ἱματίων. ΣΟΙ ΔΕ ΘΕΟΙ ΤΟΣΙΑ ΔΟΙΕΝ. συνετῶς ὁ ὀδυσσεὺς ταῦτα συνεύχεται ἃ μόνα διὰ φροντίδος ᾤετο εἶναι. ΟΜΟΦΡΟΣΥΝΗΝ. γνησίαν φιλίαν. Ο ΠΑΣΕΙΑΝ. παράσχωσιν. ΑΡΕΙΟΝ. κρεῖττον βέλτιον. ΟΜΟΦΡΟΝΕΟΝΤΕΣ. τὰ αὐτὰ βουλευόμενοι. ΧΑΡΜΑ. χαρά. ΕΥΜΕΝΕΤΗΣΙ. τοῖς φίλοις τοῖς εὐμενῶς διακειμένοις, καὶ εὐνοοῦσιν. ΜΑΛΙΣΤΑ ΔΕ Τ' ΕΚΛΥΟΝ ΑΥΤΟΙ. φησὶ πρὸς ἀλλήλους εὐνοίας αἰσθάνονται καὶ ἀπολαύουσιν.

ΝΕΜΕΙ.



ΝΕΜΕΙ. ἀπονέμει ἀφορίζει. ΕΣΘΛΟΙΣ ΗΔΕ ΚΑΚΟΙΣΙ. δύναται καὶ οἷς ἀναμίγνυσι τοῖς ἀγαθοῖς τὰ κακά. πρὸς ἀξίαν ἑκάστων νέμει τὰ κακὰ καὶ τὰ ἀγαθά. ΙΚΑΝΕΙΣ. παραγέγονας. ΔΕΥΗΣΕΑΙ. ἐνδεὴς ἔσῃ. ΤΑΛΑΠΗΡΙΟΝ. τὸν πόρρωθεν ἐληλυθότα ἢ τὸν ταλαίπωρον. ΦΑΣΘΕ. ὑπολαμβάνετε. ΔΙΕΡΟΣ ΒΡΟΤΟΣ. ζῶν ἐρρωμένος καὶ ἰκμάδος μετέχων. τὴν μὲν γὰρ ζωὴν ὑγρότης καὶ θερμασία συνέχει, τὸν δὲ θάνατον ψυχρότης καὶ ξηρασία. ὅθεν καὶ ἀλίβαντες λιβάδος μὴ μετέχοντες. ΚΟΜΕΕΙΝ. τημελεῖν. ΠΡΟΣ ΓΑΡ ΔΙΟΣ ΕΙΣΙ. ὑπὸ γὰρ τοῦ διὸς ἐπιπέμπονται καὶ ξένοι καὶ πτωχοί. ΔΟΣΙΣ Δ' ΟΛΙΓΗ ΤΕ ΦΙΛΗ ΤΕ. ὀλίγη μὲν τῷ διδόντι. φίλη δὲ τῷ λαμβάνοντι. ἡ γὰρ ἔνδεια καὶ τὸ ὀλίγον φίλον ἡγεῖται. ΣΚΕΠΑΣ. σκεπεινόν. ΗΝΩΓΟΝ. ἐκέλευον. ΡΟΗΣΙ. ῥεύμασι ῥείθροις. ΑΠΟΠΡΟΘΕΝ. ἔμπροσθεν. ΛΟΕΣΣΟΜΑΙ. λούσομαι. ΑΙΔΕΟΜΑΙ. αἰδοῦμαι αἰσχύνομαι. μετελθὼν ἢ ἀντὶ τοῦ ἀπελθών. ΝΙΨΑΤΟ. ἀπεπλύνετο. ΑΜΠΗΧΕΝ. περιεῖχεν. ΑΛΟΣ ΧΝΟΟΝ. τὸ λεπτότατον τῆς θαλάσσης ἢ τὴν ἀκαθαρσίαν. ΛΟΕΣΣΑΤΟ. ἀπελούσατο ἀπέπλυνεν. ΛΙΠ' ΑΛΕΙΨΕΝ. λιπαρῷ ἢ λιπαντικῷ ἐλαίῳ. ἐλαίῳ ἠλείψατο. ΕΣΣΑΤΟ. ἐνεδύσατο. ΠΑΣΣΟΝΑ. παχύτερον. ΚΑΡΗΤΟΣ. τῆς κεφαλῆς. ΟΥΛΑΣ. συνεστραμμένας. ΗΚΕ. ἀντὶ τοῦ ἐποίησεν. ΠΕΡΙΧΕΥΕΤΑΙ. περιβάλλει. ΙΔΡΗΣ.

ἀλιβάντες

ἐπιστήμων

ὧν ἀριστήμων τεχνίτης. ΔΕΔΑΕΝ. ἐδίδαξεν. ΧΑΡΙΕΝΤΑ. ἐπέραστα, καλά. ΤΕΛΕΙΕΙ. ποιεῖ κατασκευάζει. ΑΕΙΚΕΛΙΟΣ. εὐτελὴς καὶ φαῦλος. ΔΕΑΤΟ. ἐδόκει, ἐφαίνετο. ΑΔΟΙ. ἀρέσκοι. ΑΡΠΑΛΕΩΣ. ἁρπακτικῶς. ΕΙΔΗΣΕΜΕΝ. γνῶναι μαθήσεσθαι. ΑΠΙΝΥΣΣΕΙΝ. ἀσύνετος εἶναι. ΕΠΙΒΗΩΜΕΝ. ἐπιβῶμεν εἰσέλθωμεν. ΠΥΡΓΟΣ. νῦν τὸ τεῖχος. ΕΙΣΙΘΜΗ. εἴσοδος, ἀπὸ τοῦ εἰσιέναι κατὰ μεταπλασμὸν τὸν ἰθμὸν λέγει. ΕΙΡΥΑΤΑΙ. εἱλκυσμέναι εἰσίν. ΕΠΙΣΤΙΟΝ. ἐποίκιον σκηνὴ νεώριον ἢ σκάφος, παρὰ τὸ ἱστίον. λέγει δὲ ὅτι ὑπὸ τοῦ πλήθους τῶν νεῶν νεολκουμένων, στενὴ ἐστὶν ἡ εἴσοδος. ΠΟΣΙΔΗΙΟΝ. τῷ Ποσειδῶνι καθιερωμένον τέμενος. ΡΥΤΟΙΣΙ. τοῖς εἱλκυσμένοις, ἐκ δὲ τούτου μεγάλοις. ΚΑΤΩΡΥΧΕΕΣΣΙ. κατωρυγμένοις. ΟΠΛΑ. τὰ τῶν νεῶν σχοινία. ΑΛΕΓΟΥΣΙ. διὰ φροντίδος ἔχουσι καὶ ἐπιμελείας ἀξιοῦσι. ΠΕΣΜΑΤΑ. τὰ ἀπόγεια σχοινία. ΣΠΕΙΡΑ. νῦν οἱ μεγάλοι κάλοι παρὰ τὸ σπεῖραι δι᾽ ὧν ἕλκονται αἱ νῆες. ΑΠΟΞΥΝΟΥΣΙ. τὸν φλοιὸν περιξέουσι. ΦΑΡΕΤΡΗ. βελοθήκη. ΑΓΑΛΛΟΜΕΝΟΙ. χαίροντες. ΑΛΕΕΙΝΩ. φυλάττομαι. ΑΔΕΥΚΕΑ. σκληρὰν χαλεπήν. ΜΟΜΕΝΗ. λοιδορήσῃ μέμψηται ψέξῃ. ΚΑΚΩΤΕΡΟΣ. φαυλότερος χείρων. ΑΝΤΙΒΟΛΗΣΑΣ. συντυχών. ΕΠΕΤΑΙ. ἀκολουθεῖ. ΚΟΜΙΣΣΑΤΟ. ἐπιμελείας ἠξίωσεν. ΤΗΛΕΔΑΠΩΝ. τῶν ἀπὸ

πεῖραι

τῆς πόῤῥω



τῆς πόῤῥω ἠπείρου ξένων. ΠΟΛΥΑΡΗΤΟΣ. πολύευκτος. ΕΡΕΟΥΣΙΝ. ἐροῦσι, λέξουσι. ΑΜΦΑΔΙΟΝ. τὸν ἐκ τοῦ φανεροῦ. ΤΥΧΗΣ. ἐπιτύχῃς. ΝΑΕΙ. ῥέει. ΤΕΘΑΛΥΑ. θάλλουσα καὶ πλήθουσα φυτοῖς. ΑΛΩΗ. ὁ εἰς φυτείαν ἐπιτήδειος τόπος τῆς δενδροφόρου γαίας. ΕΛΠΗ. ἐλπίζῃ νομίζῃς. ΑΦΙΧΘΑΙ. ἐλθεῖν παραγενέσθαι. ΕΡΕΕΣΘΑΙ. ἐρωτᾶν ἀντὶ τοῦ ἐρώτησον. ΑΡΙΓΝΩΤΑ. εὔδηλα πάνυ φανερά. ΚΕΚΥΘΩΣΙ. κρύψωσι, χωρήσωσιν. ΔΙΕΛΘΕΜΕΝ. διελθεῖν ἀντὶ τοῦ δίελθε. ΕΝ ΠΥΡΟΣ ΑΥΓΗ. ἐν τῷ καταπεφωτισμένῳ ὑπὸ τοῦ πυρὸς τόπῳ. ΗΣΤΑΙ. κάθηται. ΚΕΚΛΙΜΕΝΗ. ἐπαναπαυομένη. ΠΟΤΙΚΕΚΛΙΤΑΙ ΑΥΓΗ. περιέχεται τῇ αὐγῇ ἀντὶ τοῦ πεφώτισται. ΟΙΝΟΡΟΤΑΖΕΙ. εὐωχεῖται. ΕΦΗΜΕΝΟΣ. ἐπικαθήμενος. ΠΑΡΑΜΕΙΨΑΜΕΝΟΣ. παρελθών. ΜΗΤΡΟΣ ΠΟΤΙΓΟΥΝΑΣΙ. ἤτοι ὡς γυνὴ γυναῖκα προκρίνει ἢ φρονιμωτάτη παραδίδοται, καὶ ἄλλως δὲ φιλοικτίρμον τὸ θῆλυ. ΦΙΛΑΦΡΟΝΕΗΣΙ. φιλοφρονεῖν βούλοιτο. ΤΡΟΧΩΝ. ἔτρεχον. ΠΛΙΣΣΟΝΤΟ. διέβαινον, πλῖχος γὰρ τὸ ὑπὸ τὰ αἰδοῖα δέρμα, ὃ δὴ τῶν διαβαινόντων. ΜΑΛΑ. νῦν ἐπιστημόνως. ΕΠΟΙΑΤΟ. ἀκολουθήσειαν. ΝΟΩ Δ᾽ ΕΠΕΒΑΛΛΕΝ ΙΜΑΣΘΛΗΝ. τεχνικῶς ἤλαυνεν. ΔΥΣΕΤ᾽ ΗΕΛΙΟΣ. νῦν πρὸς δυσμὰς ἀπέκλινεν, ἡμέρας ἐν ᾗ ἔτι οὔσης εἰσέρχεται Ὀδυσσεὺς πρὸ καὶ ἀχλὺν αὐτῷ καταχέει. ΡΑΙΟΜΕΝΟΥ. φθειρομένου. ΕΡΡΑΙΕ.

πλῖχος

ἔφθειρεν.

ἔφθεγμ. ΕΛΕΕΙΝΟΝ. ἐλεὴς τυχεῖν. ΕΝΝΟΣΙ-
ΓΑΙΟΣ. ὁ ποσειδῶν ὁ τὴν γῆν κινῶν. ἔνοσις γὰρ
ἡ κίνησις. ΕΝΑΝΤΙΟΝ. ἀπεναντίας ἐκ τοῦ
φανεροῦ. ΑΙΔΕΤΟ. πατροκασίγνητον. τὸν τοῦ πα-
τρὸς ἀδελφὸν, τὸν θεῖον.

Ennosige

τέλος τοῦ ζ.

## ΑΡΧΗ ΤΗΣ Η. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΑΠΕΙΡΑΙΗ. ἄποθεν παροῦσα ἠπει-
ρωτική. ἔστι δὲ ἀντικρὺ τῆς κερκύ-
ρας ἡ ἤπειρος. ΑΡΗΝΗΣ. ἁμά-
ξης. ΘΑΛΑΜΗ ΠΟΛΟΣ. ἤτοι ἡ
περὶ τὸν θάλαμον ἀναστρεφομένη.
ἢ ἡ τοῦ οἴκου προνοοῦσα. ΑΠΕΙΡΗΘΕΝ. πόῤῥωθεν
ἀπὸ τῆς ἠπείρου. ΕΚΟΣΜΕΙ. παρεσκεύαζεν. ΕΞΕΛΟΝ.
ἐξαίρετον ἔδωκαν. ΚΕΡΤΟΜΕΟΙ. χλευάζοι. ΔΥΣΕ-
ΣΘΑΙ. εἰσελθεῖν. ΗΕΡΑ. νῦν τὴν ὁμίχλην. ΕΡΑΝ-
ΝΗΝ. ἐπέραστον καλήν. ΠΑΡΘΕΝΙΚΗ ΝΕΗΝΙΔΙ.
παρθένῳ νεωθένῳ νεωθέρᾳ. ΕΙΚΥΑ. ὅμοια. ΚΑΛΠΙΝ.
ὑδρίαν. ΑΝΕΙΡΕΤΟ. ἐπηρώτησεν. ΤΑΛΑΠΕΙΡΙΟΣ.
ἀρίσταρχος μὲν ἀντὶ τοῦ ταλαίπωρος. τινὲς δὲ
ἀντὶ τοῦ ξένος καὶ πόῤῥωθεν πεπερακώς. ἢ μα-
κρόθεν ἀφιγμένος. ΠΟΤΙΟΣΣΕΟ. ἐνόρα. ἢ προ-
σαγόρευε



σαγόρευε ἢ περιβλέπου. ΟΥ ΓΑΡ ΞΕΙΝΟΥΣ ΟΙ-
ΔΕ ΜΑΛ' ΑΝΘΡΩΠΟΥΣ ΑΝΕΧΟΝΤΑΙ. οὐ ξενί-
ζουσι τοὺς ἀνθρώπους. πῶς οὖν ἐν τοῖς ἑξῆς φι-
λοξενωτάτους λέγει. ἢ τὸν μὲν ναυτικὸν ὄχλον διὰ
ὄντι εἶναι ἀνηδῆ. τοὺς βασιλεῖς φιλοξένους. ἢ ἴσως
ἵνα φυλάξηται τινὸς πυθέσθαι, ἢ πρὸς ἕτερον κατα-
χθῆναι. ΑΓΑΠΑΖΟΜΕΝΟΙ. φιλοφρονούμενοι. ΦΙ-
ΛΕΟΥΣΙ. φιλικῶς ὑποδέχονται ξενίζουσιν. ΠΕΠΟΙ-
ΘΟΤΕΣ. θαῤῥοῦντες. ΩΚΕΙΑΙ. ταχεῖαι. ΝΑΥΣΙΚΛΥ-
ΣΟΙ. οἱ περὶ τὴν θάλασσαν ἔνδοξοι. ΗΓΗΣΑΤΟ.
ἡγεμὼν τῆς ὁδοῦ ἐγένετο. ΔΙΑ ΣΦΕΑΣ. διὰ αὐτοὺς
ἀντὶ τοῦ δι' αὐτῶν. ΔΕΙΝΗ. φοβερὰ δέους ἀξία.
ΛΑΙΤΜΑ. οἱ μὲν ὅρμημα. οἱ δὲ τὸ κῦτος οἱ δὲ τὸ
διάστημα τοῦ πελάγους. δηλοῖ οὖν τὸ μέγα καὶ πλα-
τὺ, λέγει δὲ τὸ κῦμα. ΔΗΕΙΣ. εὑρήσεις. ΑΡΗΡΩ-
ΤΑ. συνεσφαλισμένα. ΠΕΦΡΑΔΕΜΕΝ. ἐπιδεῖξαι.
ΚΙΕ. πορεύου. ΤΑΡΒΕΙ. φοβοῦ. ΚΙΧΗΣΕΑΙ. νῦν ἀντὶ
τοῦ ἱκετεύσεις οὐ τὸ καταλήψεσθαι σημαίνει. ΑΡΗ-
ΤΗ Δ' ΟΝΟΜ' ΕΣΤΙΝ. καθὸ ἀῤῥήκτως ἦν εὐκταίως
ἐγγεννηθεῖσα. ΕΠΩΝΥΜΟΝ. φερώνυμον. ΩΛΕΣΕΝ. ἀπώ-
λεσεν. ΤΟΚΗΩΝ. τῶν προγόνων. ΕΓΕΙΝΑΤΟ. ἐγέν-
νησεν. ΡΗΞΗΝΟΡΑ. ὄνομα κύριον. ΑΚΟΥΡΟΝ. ἄμοι-
ρον ἄῤῥενος παιδὸς ἢ μὴ γεννήσαντα παῖδα
ἄῤῥενα. ΝΥΜΦΙΟΝ. νεωστὶ γεγαμηκότα. ΤΙΕΤΑΙ. τι-
μᾶται. ΛΙΠΟΝΤΑ. καταλείποντα. ΟΣΣΑΙ. ὁπόσαι.

ΔΙΔΕΧΑΤΑΙ

ΔΙΔΕΧΑΤΑΙ. διεξιοῦσι ἀσπάζονται. ΣΤΗΧΗΣΙ. περιέωσι. ΔΕΥΕΤΑΙ. ἐνδεὴς ὑπάρχει. ΟΙΣΙ Τ' ΕΝ ΦΡΟΝΕΗΣΙ. καὶ οἷς ἂν εὐφρονῇ ἡ ἀρήτη τὰ νείκη καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν διαλύει. ΜΑΡΑΘΩΝΑ. τόπον τῆς ἀττικῆς. ΣΧΕΡΙΗ. ἡ τῶν φαιάκων χώρα ἡ νῆσος καὶ ἡ κέρκυρα τὸ πρότερον οὕτως ἐκαλεῖτο. ΑΘΗΝΗΝ. νῦν τὴν πόλιν τὰς ἀθήνας. ΔΥΝΕ. κατέδυ εἰσῆλθεν. ΕΡΕΧΘΗΟΣ. ΠΥΚΙΝΟΝ ΔΟΜΟΝ. τὸ ἑαυτῆς τέμενος, ἐν τούτῳ γὰρ ἐτράφη ἐρεχθεύς. ΕΛΗΛΕΔΑΤΟ. παρατεταμένοι εἰ δὲ ἐρήρεδατο, ἡρμοσμένοι ἦσαν. ΕΣ ΜΥΧΟΝ ΕΞ ΟΥΔΟΥ. ἀπὸ τοῦ οὐδοῦ, ἕως τῆς ἔσω γωνίας. ΜΥΧΟΝ. τὸ ἐνδότατον τῆς οἰκίας. ΘΡΙΓΚΟΣ. ὁ περίβολος τῆς οἰκίας ἢ τὸ ἐπικόσμημα τοῦ τοίχου. ΕΕΡΓΟΝ. ἀπεῖργον ἐκώλυον περιεῖχον. ΣΤΑΘΜΟΙ. αἱ παραστάδες. ΚΟΡΩΝΗ. τὸ ἐπίσπαστρον τῆς θύρας ἤτοι τὸ κρίκιον. ΕΚΑΤΕΡΘΕΝ. ἑκατέρωθεν. ΕΙΔΥΙΣΙΝ. ἐμπείροις. ΠΡΑΠΙΔΕΣΣΙ. φρεσίν. ΕΡΗΡΕΔΑΤΟ. ἐνηρμοσμένοι ἦσαν. ΧΡΥΣΕΙΟΙ Δ' ΕΚΑΤΕΡΘΕΝ ΚΑΙ ΑΡΓΥΡΕΟΙ ΚΥΝΕΣ ΗΣΑΝ. ἤτοι κυρίως ἢ ἥλους λέγει παρ' ὃ καὶ κυνάδας φαμέν, ἢ τοὺς διπλοῦς ἥλους. τινὲς δέ φασιν τοὺς δοθέντας ὑπὸ ἥρας ποσειδῶνι ὑπὲρ τοῦ συλλαβεῖν αὐτῷ πρὸς τὴν τοῦ διὸς ἐπίθεσιν οὕτως περιελθεῖν εἰς ἀλκίνοον. ΕΥΝΗΤΟΙ.

κορώνη

κυνάδες

εὐνενησμένοι.



εὐνενησμένοι. ΒΕΒΛΗΑΤΟ. ἐπέκειντο. ΧΡΥΣΕΙΟΙ Δ' ΑΡΑ ΚΟΥΡΟΙ. ἀνδριάντες τινές. ΕΥΔΜΗΤΩΝ. καλῶς ᾠκοδομημένων. ΕΠΙ ΒΩΜΩΝ. ἐπὶ τῶν βάσεων. ΕΣΤΑΣΑΝ. ἵσαντο. ΕΠΗΕΤΑΝΟΝ. ἀδιαλείπτως. ΔΑΙΝΥΜΕΝΟΥΣ. εὐωχουμένους. ΑΛΕΤΡΕΥΟΥΣΙ. ἀλοῦσιν. ΜΥΛΟΙΣ ΕΠΙ. ἐν τοῖς μύλοις, ἐπὶ τοῖς μύλοις. ΜΗΛΟΠΑ ΚΑΡΠΟΝ. τοὺς πυροὺς μηλοειδεῖς γάρ εἰσι τὴν χροιάν. οἱ δὲ ὅτι τὸ ἔριον ἐπὶ τοῦ μηροῦ ἔστρεφον. μύλη γὰρ τὸ ἄκρον τοῦ μηροῦ. ΥΦΟΩΣΙΝ. ὑφαίνουσιν. ΣΤΡΩΦΩΣΙΝ. στρέφουσιν ἐργάζονται. ΗΜΕΝΑΙ. καθήμεναι. ΟΙΑ ΤΕ ΦΥΛΛΑ ΜΑΚΕΔΝΗΣ ΑΙΓΕΙΡΟΙΟ. οἱ μὲν ὅτι ἡλιοτροπίου τάξιν ἐπεῖχον καθήμεναι θεατροειδῶς, οἱ δὲ ὅτι πεπύκνωται τὸ δένδρον τοῖς φύλλοις. φύλλα δὲ ἤτοι διὰ τὸ πλῆθος, ἢ διὰ τὸ εὐκίνητον τῶν χειρῶν ἐν τῷ στρέφειν τὴν κρόκην ὡς καὶ τὰ φύλλα τῆς αἰγείρου ἀντεστραμμένα ἀλλήλοις, καὶ εὐκίνητα ῥᾳδίως καὶ ὑπὸ τυχούσης αὔρας. ὡς καὶ σοφοκλῆς ἐναργῶς. ὥσπερ γὰρ εὐφύλλοισιν αἰγείρου μακρᾶς, κἂν ἄλλο μηδὲν, ἀλλὰ τὴν κείνης παρακινήσασ' αὔραις ἀνακουφίζει πτερόν. ΜΑΚΕΔΝΗΣ. τῆς μακεδνῆς ἢ ὑψηλῆς, παρὰ τὸ μῆκος. ΚΑΙΡΟΣΕΩΝ. εὐυφῶν. εὖ κεκαιρωμένων, καίρωμα δέ ἐστι τὸ διαπλεκόμενον ἐν τῷ στήμονι, παρὰ τὸ μίτον, ὑπὲρ τοῦ μὴ συγχεῖσθαι τοὺς στήμονας, ὅθεν ἀπὸ μέρους τοῦ μιτώματος, τοὺς ὅλους

Sophoclés

καίρωμα

 εὐυφεῖς

ξυυφεῖς λέγει. ΑΠΟΛΕΙΒΕΤΑΙ ΥΓΡΟΝ ΕΛΑΙΟΝ. ἤτοι οὕτως ἦσαν πυκναὶ ὡς μὴ ἢ ἔλαιον δι' αὐτῶν διελθεῖν. ἢ ἔξωθεν ὡς ἔλαιον ἔστιλβον διὰ τὴν λευκότητα. ἢ ξυφαὶ ἦσαν ὡς δοκεῖν ἔλαιον ἀπορρεῖν. ἢ οὕτως ἀπέστιλβεν τὸν μίτον, ὡς δοκεῖν ἔλαιον ἀποβάλλειν. ΙΔΡΙΕΣ. ἐπιστήμονες, ἔμπειροι. ΩΣ ΔΕ ΓΥΝΑΙΚΕΣ. νῦν τὸ ὡς ἀντὶ τοῦ τοσοῦτον. ΤΕΧΝΗΕΣΣΑΙ. τεχνίδιες. ΟΡΧΑΤΟΣ. ἡ ἐπὶ στίχων, καὶ ἐν τάξει τῶν ἀμπέλων φυτεία, ὄρχατος λέγεται. ἢ κῆπος. ΕΡΚΟΣ. περίφραγμα, τειχίον. ΕΛΗΛΑΤΑΙ. τετείχισαι. ΑΜΦΟΤΕΡΩΘΕΝ. νῦν πανταχόθεν. ΤΗΛΕΘΟΩΝΤΑ. πάνυ θάλλοντα. ΤΕΤΡΑΓΥΟΣ. τεσσάρων γυιῶν. γύη δὲ μέτρον γῆς γεωργικόν. ΟΧΝΑΙ. ἄπιοι. ΑΓΛΑΟΚΑΡΠΟΙ. λαμπρὸν καρπὸν φέρουσαι. ΤΗΛΕΘΟΩΣΑΙ. θάλλουσαι, ἀκμάζουσαι. ΧΕΙΜΑΤΟΣ. χειμῶνος. ΘΕΡΕΥΣ. θέρους. ΕΠΕΤΗΣΙΟΣ. ἑκάστου ἐνιαυτοῦ. ἢ ἐφ' ὅλῳ τῷ ἔτει τοῦ ἐνιαυτοῦ. ΖΕΦΥΡΙΗ. ἡ τοῦ ζεφύρου πνοή. ΠΕΣΣΕΙ. πεπαίνει, πέπειρα ποιεῖ. ΟΧΝΗ. ἄπιος. ΑΛΩΗ. ἀμπελόφυτος γῆ. ΕΡΡΙΖΩΤΑΙ. πεφύτευται. ΘΕΙΛΟΠΕΔΟΝ. ἔνθα θεῖλος γίνεται βοτρύων, καὶ ἡλιοῦνται κοῖλον ψυχοῦνται. ἢ ὁ ψυκτήρ. ΛΕΥΡΩ. λείῳ, ὁμαλῷ, ἢ πλατεῖ. ΤΕΡΣΕΤΑΙ. ἀντὶ τοῦ πεφύτευται. ΤΡΑΠΕΟΥΣΙ. πατοῦσιν. ΠΑΡΟΙΘΕ ΔΕΤ ΟΜΦΑΚΕΣ ΕΙΣΙ. τὸ πλῆθος ἔμπροσθεν δεῖ τούτων ἐν ἑτέρῳ τόπῳ. διὸ πάλιν ἐπιφέρει ἕτεραι δ' ὑποπερκάζουσιν οὐχὶ

ὅλας.



ὅλας. ΑΝΘΟΣ ΑΦΙΕΙΣΑΙ. ἀπὸ ἄνθους εἰς ὄμφακας μεταβάλλουσαι. ΥΠΟΠΕΡΚΑΖΟΥΣΙ. τῇ πρασέσῃ ἀκμάζουσιν, οἷον ἐκ τοῦ ὄμφακος μεταβάλλουσιν εἰς τὸ μέλαν τῆς σταφυλῆς χρῶμα πεπαινόμεναι. ΠΡΑΣΙΑΙ. αἱ λαχανεῖαι, ἢ αἱ τῶν φυτειῶν τετράγωνοι θέσεις ὡς τὰ πλινθία. ΝΕΙΑΤΟΝ. ἔσχατον. ΟΡΧΟΝ. στίχον ἀμπέλου. ΠΕΦΥΑΣΙΝ. εἰσίν, ὑπάρχουσιν. ΓΑΝΟΩΣΑΙ. θάλλουσαι, λάμπουσαι. ΕΠΗΕΤΑΝΟΝ ΓΑΝΟΩΣΑΙ. διηνεκῶς λάμπουσαι. ΕΥΣΚΟΠΩ. καλῶς σκοποῦντι. ΙΗΣΙ. ἦλθε. ΥΔΡΕΥΟΝΤΟ. ὕδωρ ἐλάμβανον. ΤΟΙΑ. τοιαῦτα. Ω ΠΥΜΑΤΩ. ἐπεὶ ὀνειροπομπός, ἢ ὕπνου παρεκτικός. διὸ καὶ εἵλετο δὲ ῥάβδον τῇ τ' ἀνδρῶν ὄμματα θέλγει. ΘΕΣΦΑΤΟΣ. θεῖος, θαυμαστός. ΑΝΕΩ. ἥσυχοι. ΚΟΙΤΟΥ. κοίτης. ΟΛΒΙΑ ΔΟΙΕΝ ΖΩΕΜΕΝΑΙ. ἐν εὐδαιμονίᾳ παράσχοιεν ζῆσαι. ΕΠΙΤΡΕΨΕΙΑΝ. παραδοῖεν. ΑΚΗΝ. ἡσύχως. ΟΤΡΥΝΕΤΕ. ἐπείξατε, παρορμήσατε. ΕΚΕΚΑΣΤΟ. παρηυδοκίμει. ΕΠ' ΕΣΧΑΡΗ. παρὰ τῇ ἐσχάρᾳ. ΙΣΧΑΝΟΩΝΤΑΙ. κατέχονται. ΕΙΣΟΝ. κάθισον. ΟΙΝΟΝ ΕΠΙΚΡΗΣΑΙ. ἐπὶ τῷ ὄντι ἕτερον ἐπικεράσαι. ΙΚΕΤΗΣΙΝ. ἱκέταις. ΟΠΗΔΕΙ. ἀκολουθεῖ. ΤΑΜΙΗ. ταμιοῦχος, φύλαξ. ΠΟΙΚΙΛΟΜΗΤΙΝ. συνετὰ βουλευόμενον. ΑΙΔΟΙΟΙΣΙΝ. αἰδοίοις, ἀξίοις, τιμίοις. ΩΡΣΑΝ. ἀνέστησαν. ΑΠ' ΕΣΧΑΡΟΦΙΝ. ἀπὸ τῆς ἐσχάρας. ΑΓΑΠΗΝΟΡΑ.

ὑπὸ ἀνδρῶν ἠγαπημένον. ἢ φιλάνθρωπον. ἢ τὸν ἀγαπῶντα ἀνδρίαν. ΝΕΙΜΟΝ. μέρισον διάδος. ΝΩΜΗΣΕ. διέδωκεν ἐμέρισεν. ΕΠΑΡΞΑΜΕΝΟΣ. τὴν κατάρχην τῆς πόσεως ποιησάμενος. ΔΑΙΣΑΜΕΝΟΙ. εὐωχηθέντες. ΚΑΤΑΚΕΙΕΤΕ. καθευδήσατε καὶ κοιμήθητε. ΙΟΝΤΕΣ. ἀπελθόντες. ΑΝΙΗΣ. λύπης, ἀνίας. ΜΕΣΗΓΥΣ. μεταξύ. ΑΙΣΑ. μοῖρα εἱμαρμένη. ΚΑΤΑΚΛΩΘΕΣ ΤΕ ΒΑΡΕΙΑΙ. αἱ κατακλώθουσαι, καὶ καταμοιρούσαι ἑκάστῳ τὸ εἱμαρμένον, βαρεῖαι. ΓΕΙΝΟΜΕΝΩ. τικτομένῳ. ΝΗΣΑΝΤΟ. ἐπένησαν, ἐπεμοίρασαν. ΕΝΑΡΓΕΣ. φανερόν. ΕΡΔΩΜΕΝ. θύωμεν. ΔΑΙΝΥΝΤΑΙ. εὐωχοῦνται. ΞΥΜΒΛΗΤΑΙ. συντύχῃ. ΟΔΙΤΗΣ. ὁδοιπόρος. ΕΙΜΕΝ. ἐσμέν. ΩΣΠΕΡ ΚΥΚΛΩΠΕΣ ΤΕ, ΚΑΙ ΑΓΡΙΑ ΦΥΛΑ ΓΙΓΑΝΤΩΝ. ὡς εἰσὶν ἀλλήλων ἐγγὺς κυκλωπές τε καὶ γίγαντες. ἤτοι κατὰ γένος. ἢ κατὰ τόπον ἢ κατὰ ἀδικίαν. οὕτω καὶ ἡμεῖς θεοῖς πλησίον κατὰ δικαιοσύνην. ΕΟΙΚΑ. ὅμοιος εἰμί. ΟΧΕΟΝΤΑΣ. ὑποφέροντας ἢ ἔχοντας καὶ βαστάζοντας. ΙΟΤΗΤΙ. βουλήσει. ΚΗΝΤΕΡΟΝ. ἀναιδέστερον, χαλεπώτερον. ΔΥΣΤΗΝΟΝ. δυστυχῆ. ΑΙΩΝ. ὁ βίος. ΚΑΚΚΕΙΟΝΤΕΣ. κατακοιμηθησόμενοι. ΗΣΘΗΝ. ἐκαθέζοντο. ΔΟΡΠΗΣΑΙ. δειπνῆσαι. ΕΟ. ἑαυτῆς. ΜΝΗΣΑΣΘΑΙ. μνημονεῦσαι. ΛΗΘΑΝΕΙ. ἐπιλαθέσθαι ποιεῖ. ΕΝΙΠΛΗΣΑΣΘΑΙ. πληρῶσαι. ΑΝΩΓΕΙ. κελεύει. ΟΤΡΥΝΕΣΘΕ. ἐπείγεσθε.





ΕΠΙΒΗΣΕΤΑΙ. ἐπιβῆναι ποιήσει. ΑΠΕΚΟΣΜΕΟΝ. ἀφῄρουν. ΕΓΝΩ. ἐπέγνω. ΤΑ ΡΑ. ἃ δή. ΕΝΤΕΑ ΔΑΙΤΟΣ. τὰ ὅπλα τῆς εὐωχίας. δίον τραπέζας, καὶ τὰ τοιαῦτα. ΕΙΡΗΣΟΜΑΙ. ἐρωτήσω. ΦΗΣ. εἶπας. ΔΙΗΝΕΚΕΩΣ. νῦν ταχέως. ἢ τὸ σύμπαν. ΩΓΙΓΙΗ. ἡ καλυψοῦς νῆσος. ΔΟΛΟΕΕΣΑ. δόλους μηχανᾶσθαι δυναμένη. ΕΦΕΣΤΙΟΝ. ἐπὶ τὴν οἰκίαν αὐτῆς ἐπιξενωθησόμενον. ΕΛΑΣΑΣ. συγκλάσας. ΕΚΕΑΣΣΕ. διέσχισε. ΑΠΕΦΘΙΤΟΝ. διεφθάρησαν. ΤΡΟΠΙΝ. τὸ κατώτατον μέρος τῆς νεὼς περὶ ὃ σχίζεται τὸ κῦμα. ἢ τὸ μέσον τῆς νεὼς ξύλον. ΑΓΚΑΣ ΕΛΩΝ. ἐναγκαλισάμενος περιλαβών. ΕΝΔΥΚΕΩΣ. φιλοφρόνως, ἔφασκε δὲ ἀντὶ τοῦ ἔλεγεν. ΕΔΕΥΕΣΚΟΝ. ἔβρεχον. ΑΜΒΡΟΤΑ. θεῖα. ΕΠΙΠΛΟΜΕΝΟΝ. συμπληρούμενον, ἐπιτρεχόμενον. ΕΣΣΕΝ. ἐνέδυσεν. ΑΠΗΜΟΝΑ. ἀβλαβῆ. ΕΠΟΤΡΥΝΟΥΣΑ. ἐπείγουσα. ΑΓΓΕΛΙΗΣ. νῦν κελεύσεως. ΛΙΑΙΟΝ. ἱκανῶς. ΞΥΝΕΣΕΣΘΑΙ ΟΙΖΥΙ. συνεῖναι τῇ ταλαιπωρίᾳ. ΕΦΟΡΜΗΣΑΣ. ἐπεγείρας. ΚΑΤΕΔΗΣΕΝ. ἐνεπόδισεν. ΩΡΙΝΕΝ. ἐτάραξεν. ΑΘΕΣΦΑΤΟΝ. πολλήν. ΑΔΙΝΑ. ἀθρόως οἰκτρά. ΣΚΕΠΑΣ. σκέπη. ΝΗΧΟΜΕΝΟΣ. κολυμβῶν. ΔΙΕΤΜΑΓΟΝ. διέτεμον. ΕΠΕΛΑΣΣΕ. ἐγγίσαι ἐποίησε. ΑΤΕΡΠΕΙ. ἀηδεῖ, χαλεπῇ. ΝΗΧΟΝ. ἐνηχόμην, ἐκολύμβων. ΑΕΙΟΣ. ὁμαλός. ΘΥΜΗΓΕΡΕΩΝ. λειποψυχῶν, ἢ συλλαμβάνων.



Ogygia calypsus insula.

συλλαμβάνων, καὶ συνάπων, καὶ ἀνακτώμενος τὴν ψυχήν. ΔΙΙΠΕΤΕΟΣ. τοῦ ὑπὸ τῶν διὸς ὄμβρων πληρουμένου ποταμοῦ. ΚΑΤΕΔΡΑΘΟΝ. κατεκοιμήθην. ΗΦΥΣΑΜΗΝ. περιεβαλόμην. ΑΠΕΙΡΟΝΑ. πολύν. ΗΦΥΣΑΜΗΝ. κυρίως οὐ περιεβαλόμην ἀλλ' ἐπήντλησα, καὶ ἐπέβαλον ἀθρόα, νῦν δὲ ἐπεχεάμην. ΤΕΤΗΜΕΝΟΣ. λελυπημένος. ΑΝΗΚΕΝ. ἀφῆκεν. ΔΕΙΕΛΟΝ. προσδείλην. ΤΕΗΣ. τῆς σῆς. ΗΜΒΡΟΤΕΝ. ἥμαρτεν, ἀπέτυχεν. ΕΛΠΟΙΟ. ἐλπίσειας. ΡΕΞΕΜΕΝ. πράξαι. ΑΦΡΑΔΕΟΥΣΙ. μωραίνουσιν. ΑΛΙΣ. αὐτάρκως. ΕΝΑΙΣΙΜΟΝ. καθῆκον. ΚΑΤΕΛΕΞΑ. ἕκαστα εἶπον. ΑΠΑΜΕΙΒΕΤΟ. ἀνταπεκρίνετο. ὅ ἐστιν ἐξ ἀμοιβῆς προσεφθέγγετο. ΕΣ ΗΜΕΤΕΡΟΝ. τουτέστιν εἰς τὸν ἡμέτερον οἶκον. ἀττικὸς δὲ ὁ σχηματισμός. ΑΜΥΜΟΝΑ. μῶμον καὶ ψόγον οὐκ ἔχουσαν, ἀγαθήν. ΝΕΙΚΕΣ. μέμφου. ΕΠΙΣΚΥΣΑΙΤΟ. ὀργισθείη. ΔΥΣΖΗΛΟΙ. κακόζηλοι, φθονεροί. ΑΜΕΙΝΩ Δ' ΑΙΣΙΜΑ ΠΑΝΤΑ. τὰ καθήκοντα πάντα καλά ἐστιν. ΠΑΙΔΑ Τ' ΕΜΗΝ ΕΧΕΜΕΝ. ταῦτα λέγει πειρώμενος τοῦ ὀδυσσέως, εἰ ταῖς ἀληθείαις παραιτεῖται θεοῦ γάμον. εἰ γὰρ προπετῶς ὑπόσχηται γαμήσειν, πάντως ἐλεγχθήσεται κἀκεῖνο ψευδόμενος. ΕΧΕΜΕΝ. γαμῆσαι. ΔΟΙΗΝ. παράσχοιμι. ΤΕΚΜΑΙΡΟΜΑΙ. τελέσω. ΤΗΜΟΣ. τηνικαῦτα.





τα. ΔΕΔΜΗΜΕΝΟΣ. δαμασθείς, ὑποταγείς, ἢ δεδαμασμένος. ΛΕΞΕΑΙ. κοιμηθήσῃ. ΕΛΟΩΣΙΝ. ἐλάσωσιν. ΓΑΛΗΝΗΝ. γαληναίως ἡσύχως. ΕΙ ΠΟΥ ΤΙ ΦΙΛΟΝ ΕΣΤΙΝ. ὅπου ἄν σοι προσφιλές ἐστιν. ΕΚΑΤΕΡΩ. πορρωτέρω. ΤΗΛΟΤΑΤΩ. πορρωτάτω. ΓΑΙΗΙΟΝ. τὸν τῆς γῆς υἱόν. ΗΜΑΤΙ ΤΩ. τῇ αὐτῇ ἡμέρᾳ. ΕΠΟΨΟΜΕΝΟΝ. θεασόμενον. ΤΙΤΥΟΝ ΓΑΙΗΙΟΝ ΥΟΝ. τὸν τῆς γῆς υἱόν, κτητικὸς ὁ τρόπος, ἐλώρα δὲ τῇ ὀρχομενοῦ τινὸς μίνυος συνελθὼν ζεύς, διὰ τὴν τῆς ἥρας ζηλοτυπίαν ἔκρυψεν αὐτὴν κατὰ γῆς, ἡ δὲ ἀνῆκε παῖδα ἐξοχώτατον. ὃς ὠνομάσθη τιτυός, ἠράσθη λητοῦς καὶ ἐτοξεύθη ὑπὸ ἀπόλλωνος. ἧκε δ' ὁ ῥαδάμανθυς ἐπὶ θέαν τοῦ τιτυοῦ ἢ διὸς ὤν, ἐσωφρόνισεν αὐτόν. φαίνονται οὖν οἱ φαίακες πλησίον τῶν μακάρων νήσων κατοικοῦντες. ΕΙΔΗΣΕΙΣ. γνώσῃ μαθήσῃ. ΑΡΙΣΤΑ. κάλλιστα. ΑΝΑΡΙΠΤΕΙΝ. κωπηλατεῖν, ἀναρρίπτειν γὰρ τὸ ὕδωρ ὑπὸ τῶν κωπηλατούντων. ΠΗΔΩ. νῦν οὐ πηδαλίῳ. οὐ γὰρ ἔχουσι πηδάλια, ἀλλὰ κώπας πρὸς τὸ πλεῖν τὴν θάλασσαν. πηδὸς γὰρ εἶδος ξύλου. ἢ τῷ πλάτει τῆς κώπης. ΔΕΜΝΙΑ. στρώματα. ΑΙΘΟΥΣΑΙ. στοαί. ΡΗΓΕΑ. βαπτὰ περιστρώματα. ΟΥΛΑΣ. ἁπαλάς. ΔΑΟΣ. φῶς, λαμπάδα. ΤΕΛΕΥΤΗΣΕΙΕΝ. εἰς τέλος ἄξειεν, πληρώσειεν. ΕΓΚΟΝΕΟΥΣΑΙ. σπεύδουσαι, ἐνεργοῦσαι ἐπιμελῶς. ΚΕΩΝ.

Tityi fabula

κοιμηθησόμενος. ΑΣΠΑΣΤΟΝ. ἀσπασίως, ἡδέως.
ΕΛΕΚΤΟ. ἐκοιμᾶτο. ΜΥΧΩ. τῷ ἐσωτάτῳ.

τέλος τοῦ η.

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Θ.

ΗΜΟΣ. ἡνίκα, ὅτε. ΩΡΤΟ. ἀνέστη.
Η ΣΦΙΝ. ἥτις αὐτοῖς. ΔΕΥΤ' ΑΓΕ.
ἀμφότερα παρακελευστικῶς παρ'
ὁμήρῳ κεῖται. ΙΕΝΑΙ. πορευθῆναι.
ΠΥΘΗΣΘΕ. ἀκούσητε. ΕΠΛΗΝ-
ΤΟ. ἐπληρώθησαν. ΑΓΟΡΑΙ. αἱ
ἐκκλησίαι. ΕΔΡΑΙ. τὰ συνέδρια. ΑΓΡΟΜΕΝΩΝ. ἀθροι-
ζομένων. ΘΗΗΣΑΝΤΟ. ἐθαύμασαν. ΚΑΤΕΧΕΥΕ.
κατέχεεν. ΠΑΣΣΟΝΑ. παχύτερον, ἢ πλατύτερον.
ΔΕΙΝΟΣ. δέους καὶ φόβου ἄξιος. ΕΚΤΕΛΕΣΕΙΕΝ
ΑΕΘΛΟΥΣ. πληθυντικῶς εἶπε τὸν τοῦ δίσκου
ἆθλον, κράτης δὲ τοὺς κατὰ ἰθάκην ἤκουσε πό-
νους. ΗΟΙΩΝ. τῶν ἀνατολικῶν. ΕΣΠΕΡΙΩΝ. τῶν
δυτικῶν. ΟΤΡΥΝΕΙ. ἐπείγει. ΛΙΣΣΕΑΙ. παρακα-
λεῖ. ΕΜΠΕΔΟΝ ΕΙΝΑΙ. τὴν πρὸς πάντας ἐχο-
μένην πομπήν. ταύτην καὶ ἐπὶ τούτῳ τυχεῖν βε-
βαίαν. ΕΠΟΤΡΥΝΩΜΕΘΑ. παρασκευάσωμεν. ΔΙΑΝ.
μεγάλην. ΠΡΩΤΟΠΛΟΟΝ. καινήν. ΚΡΙΝΑΣΘΩΝ.
ἐπιλεχθήτωσαν. ΔΗΣΑΜΕΝΟΙ. δήσαντες. ΘΟΗΝ.





ἀντὶ τοῦ θοῶς. ΗΜΕΤΕΡΟΝ ΔΩ. εἰς τὸν ἡμέτερον
οἶκον. ΚΛΗΙΣΙ. καθέδραις. ΑΛΕΓΥΝΕΤΕ. εὐτρεπίζε-
τε. ΚΟΥΡΟΙΣΙ. νέοις. ΦΙΛΕΩΜΕΝ. φιλοφρονησώμε-
θα. ΤΡΙΠΟΙΣΙ. τοῖς τροπωτῆρσι. ΝΟΤΙΩ. ὑγρῷ τῷ
διύγρῳ. ΟΡΠΗ ΘΥΜΟΣ. ὅσα βούλεται αὐτός, ἢ ὅσα ἡ
ἐπιθυμία τῶν ἀκουόντων. ΕΠΟΤΡΥΝΗΣΙ. παρορμᾷ.
ΜΕΤΩΧΕΤΟ. μετῄει. ΠΛΗΝΤΟ. ἐπληρώθησαν, αἴθου-
σαι δὲ αἱ πρὸς ἥλιον τετραμμέναι στοαί. ΔΟΜΟΙ. — αἴθουσαι
οἶκοι. ΑΡΓΙΟΔΟΝΤΑΣ. λευκοὺς καὶ ὀξεῖς ὀδόντας
ἔχοντας. ΥΑΣ. χοίρους. ΕΡΙΗΡΟΝ. μεγαλοφελῆ, ἀγα-
θόν, ἰσχυρόν. ΔΙΔΟΥ Δ' ΑΓΑΘΟΝ ΤΕ ΚΑΚΟΝ ΤΕ.
πῶς οὖν ἐφίλησεν ἤτοι ἐπεὶ οἱ τυφλοὶ μουσικώ-
τεροι, μὴ περὶ πολλὰ ἀσχολούμενοι. ἢ οἰκονομικῶς.
ἵνα μὴ ἐπιγνῷ τὸν ὀδυσσέα. ἢ ἐπεὶ πάντως ἄν-
θρωπον ὄντα δεῖ κατά τι δυστυχεῖν. τινὲς δὲ φα-
σὶν εἰς αὐτὸν ταῦτα αἰνίττεσθαι τὸν ποιητήν.
ΑΜΕΡΣΕΝ. ἐστέρησεν. ΕΡΕΙΣΑΣ. ὑπορθώσας. ΚΑΔ-
Δ' ΕΚ ΠΑΣΣΑΛΟΦΙΝ. κατὰ τοῦ πασσάλου. ΛΙΓΕΙ-
ΑΝ. ἡδεῖαν. ΕΛΕΣΘΑΙ. λαβεῖν. ΥΠΕΡ ΚΕΦΑΛΗΣ.
ὑπὲρ ἄνω τῆς κεφαλῆς καὶ πέφραδε χερσὶν ἑλέ-
σθαι. ἤτοι ἐσήμανεν ἵνα ἀνέλκηται ταῖς χερσὶν. ἢ
τὰς χεῖρας ἐπέθηκεν ἵνα γνῷ ἔνθα κεῖται. ΑΝΗ-
ΚΕΝ. ἀνήγειρεν ἐπὶ τὴν ᾠδὴν ἐμπνεύσασα.
ΑΕΙΔΕΜΕΝΑΙ. ᾄδειν. ΟΙΜΗΣ. ᾠδῆς ἢ διηγήσεως.
ἔνθεν καὶ προοίμιον. ΝΕΙΚΟΣ ΟΔΥΣΣΗΟΣ. φασὶ

τῷ ἀγαμέμνονι χρωμένου περὶ τοῦ κατὰ τὸν πόλε-
μον τέλους, ἀνελεῖν τὸν ἐν δελφοῖς ἀπόλλωνα, τότε
πορθήσειν τὸ ἴλιον, ὅτε ἂν οἱ ἄριστοι τῶν ἑλλήνων στα-
σιάσωσι, καὶ δὴ παρὰ πότον διαλεχθέντων ὀδυσσέ-
ως καὶ ἀχιλλέως. τοῦ μὲν ἀχιλλέως ἀνδρείαν ἐπαι- Historia
νοῦντος, τοῦ δὲ ὀδυσσέως σύνεσιν μετὰ τὴν ἕκτορος
ἀναίρεσιν. ὅτε ὁ μὲν βιάζεσθαι παρῄνει. διὸ καὶ ἀνῃρέθη. ὁ
δὲ δόλῳ μετελθεῖν καὶ ἀγαμέμνονα ὡς τελουμένου
τοῦ λόγου χαρῆναι. ἐσήμανε δὲ τὴν αὐτοῦ διαφορὰν πρὸς
ἀχιλλέα. ΔΗΡΙΣΑΝΤΟ. διὰ λόγων ἐφιλονείκησαν.
ΘΑΛΕΙΗ. τῇ θαλλούσῃ ἢ θάλλειν ποιούσῃ. ΕΚΠΑΓΛΟ-
ΙΣ. ἄγαν ἐριστικοῖς. ΔΗΡΙΟΩΝΤΟ. ἐφιλονείκουν.
ΧΡΕΙΩΝ. χρησμῳδῶν μαντευόμενος. ΠΥΘΟΙ. πυθὼ
πόλις τῆς φωκίδος. ἡ αὐτὴ καὶ δελφοί. ΧΡΗΣΟΜΕ- Pytho
ΝΟΣ. μαντευσόμενος. ΑΙΔΕΤΟ. ᾐδεῖτο. ΚΙΛΙΝΔΕ-
ΤΟ. ἐκυλίετο ἐπὶ γῆς. ΛΗΞΕΙΕ. παύσαιτο. ΚΑΚΚΕΦΑ-
ΛΗΣ. κατὰ τῆς κεφαλῆς. ΟΜΟΡΞΑΜΕΝΟΣ. ἀποψησά-
μενος. ΕΛΕΣΚΕ. ἀφῄρει. ΟΠΡΥΝΕΙΑΝ. ἐπείξεσθαι. ΚΡΑ-
ΤΑ. τὴν κεφαλήν. ΓΟΟΣΑΣΚΕ. ἐθρήνει. ΣΥΝΗΟΡΟΣ.
συνηρμοσμένη. ΑΛΜΑΣΙ. πηδήμασιν. ΘΑΥΜΑΝΕ-
ΟΝΤΕΣ. θεασάμενοι. ΑΝΙΣΤΑΝΤΟ. ἀνέστησαν. ΒΡΟ-
ΤΟΛΟΙΓΩ. ἀνδροφθόρῳ. ΝΥΣΣΗΣ. καμπτῆρος. ΚΟ-
ΝΙΟΝΤΕΣ. κόνιν ἐγείροντες. ΝΕΙΩ. ἠροτριασμένῃ γῇ. νέος
ΟΥΡΟΝ. ὅρμημα διάστημα. ΥΠΕΚΠΡΟΘΕΩΝ. προεξέ-
χων. ΕΛΙΠΟΝΤΟ. κατελείφθησαν. ΑΛΕΓΕΙΝΗΣ.

ἐπιπόνου.



ἐπιπόνου. ΠΕΙΡΗΣΑΝΤΟ. διὰ πείρας ἔλαβον. ΑΠΕ-
ΚΑΙΝΥΤΟ. διέφερεν, ἐνίκα. ΠΡΟΦΕΡΕΣΤΑΤΟΣ.
δυνατώτατος, κρείττων. ΕΡΩΜΕΘΑ. ἐρωτήσωμεν.
ΔΕΔΑΗΚΕ. μεμάθηκε. ΣΥΝΕΡΡΗΚΤΑΙ. συμπέ-
πτωκε, ἠλάττωται, συγκέχυται. ΣΥΓΧΕΑΙ. κακῶσαι.
ΚΑΤΑ ΜΟΙΡΑΝ. κατὰ τὸ πρέπον. ΠΕΦΡΑΔΕ.
διεσήμανεν, εἶπε. ΔΕΥΡ᾽ ΑΓΕ. ἀμφότερα κελευ-
στικά. ΟΦΡΑ ΚΕΝ. ἕως ἄν. ΗΣΙΝ. ἀντὶ τοῦ ὑπάρ-
χει. ΚΗΔΕΑ. κακά. ΝΗΕΣ. ναῦς. ΣΚΕΔΑΣΟΝ.
σκόρπισον. ΑΠΕΣΣΕΑΙ. ἀπέσαι. ΚΑΤΕΙΡΥΣΤΑΙ.
καθείλκυσται. ΕΠΑΡΤΕΕΣ. ἕτοιμοι, ἐξηρτισμένοι.
ΙΔΜΕΝ. οἴδαμεν. ΛΙΣΣΟΜΕΝΟΣ. παρακαλῶν.
ΚΕΡΤΟΜΕΟΝΤΕΣ. χλευάζοντες. ΧΑΤΙΖΩΝ. χρῄ-
ζων, δεόμενος. ΔΑΗΜΟΝΙ. ἐμπείρῳ. ΘΑΜΙ-
ΖΩΝ. πυκνῶς, πλέον καὶ παραγινόμενος. ΠΡΗΚΤΗ-
ΡΕΣ. πρακτῆρες, ἔμπειροι. ΦΟΡΤΟΥ ΤΕ ΜΝΗΜΩΝ.
ἐπιμελόμενος τῶν φορτίων, ἢ μνημονεύων ἕκαστον
πόσου ἦν ἄξιον. ΕΠΙΣΚΟΠΟΣ. ἔφορος ἢ φύλαξ. ΟΔΑΙ- Episcop
ΩΝ. κερδῶν, ὠφελειῶν. ΑΡΠΑΛΕΩΝ. ἅτινα ἁρπάζεται
διὰ ἡδονήν. ΑΘΛΗΤΗΡΙ. ἀγωνιστῇ. ΑΤΑΣΘΑΛΩ.
ὑπερηφάνῳ, ὑβριστῇ. ΑΓΟΡΗΤΗΝ. διάλεκτον, δη-
μηγορίαν. ΕΠΕΣΙ. λόγοις. ΑΚΙΔΝΟΤΕΡΟΣ. παρὰ τὸ
ἀκίζω ἀκιδνὸς γίνεται, ἀφ᾽ οὗ καὶ συγκριτικὸν ἀ-
κιδνότερος. δηλοῖ ἀσθενέστερος ἢ προπετέστερος ἢ ἀμ-
φότερος. ΣΤΕΦΕΙ. κοσμεῖ. ΛΕΥΣΣΟΥΣΙΝ.

λεύσοντες

λεύσοντες ὅ, ἐστὶ βλέποντες. ΑΣΦΑΛΕΩΣ. μὴ σφαλλόμενος ἐν τῷ λέγειν. ΑΓΟΡΕΥΕΙ. διαλέγεται. ΑΓΡΟΜΕΝΟΙΣΙ. συναθροισμένοις. ΑΛΙΓΚΙΟΣ. ὅμοιος. ΠΕΡΙΣΤΡΕΦΕΤΑΙ. παρακολουθεῖ πάρεστιν. ΑΡΙΠΡΕΠΕΣ. ἐπίσημον φανερόν. ΟΥΔΕΚΕΝ ΑΛΛΩΣ. εἰ θεὸς θελήσαι καλὸν ποιῆσαι τοιοῦτον οἷος εἶ σύ. ΤΕΥΞΕΙ. ποιήσειεν. ΑΠΟΦΩΛΙΟΣ. ἀπαίδευτος. ΩΡΙΝΑΣ. ἐτάραξας. ΝΗΙΣ. ἄπειρος. ΕΧΟΜΑΙ. συνέχομαι. ΕΤΛΗΝ. ἐκαρτέρησα. ΜΥΘΕΑΙ. λέγεις. ΠΕΠΟΙΘΑ. ἐπεποίθειν, ἐθάρρουν. ΑΛΓΕΣΙ. κακοῖς. ΠΕΙΡΩΝ. διαπερῶν. ΑΛΛΑ ΚΑΙ ΩΣ. ἀλλὰ καὶ ὅμως. ΘΥΜΟΔΑΚΗΣ. τῆς ψυχῆς ἁπτόμενος. ΕΠΟΤΡΥΝΑΣ. παρώξυνας. ΑΥΤΩ ΦΑΡΕΙ. σὺν τῷ ἱματίῳ ὡς εἶχεν. ΠΑΧΕΤΟΝ. παχύτερον. ΤΟΝ ΡΑ ΠΕΡΙΣΤΡΕΨΑΣ. ὁ δίσκος ἐκ μέσου χοῖνον εἶχε. ΒΟΜΒΗΣΕ ΔΕ ΛΙΘΟΣ. τὸ ἑξῆς ἤχησεν ὁ λίθος πρὸς τῇ γῇ, ὡς τοὺς φαίακας καταπλῆξαι. δύναται δὲ καὶ ἔνευσαν πρὸς τὴν γῆν. ὅπερ ἐν καταπλήξει ποιοῦσι. ΕΠΤΗΞΑΝ. κατένευσαν ἐκπλαγέντες. ΔΟΛΙΧΗΡΕΤΜΟΙ. μακραῖς κώπαις χρώμενοι. ὅ ἐστι ναυτικοί. ΣΗΜΑΤΑ. σημεῖα. τινὲς δὲ βήματα. ΡΙΜΦΑ. ῥαδίως, εὐχερῶς. ΤΕΡΜΑΤΑ. σημεῖα. ΡΙΠΗΣ. ὁρμῆς, βολῆς. ΑΛΑΟΣ. ὁ τυφλός. ΔΙΑΚΡΙΝΕΕΙΝ. διαχωρίσειν. ΑΜΦΑΦΟΩΝ. ψηλαφῶν. ΥΠΕΡΗΣΕΙ. ὑπερβιβάσει, ὑπερβαλεῖ. ΕΝΗΕΑ. πρᾶον προσηνῆ.

ΛΕΥΣΣΕ.

Discus e medio fune habebat nota.



ΛΕΥΣΣΕ. ἐθεᾶτο, ἔβλεπεν. ΚΟΥΦΟΤΕΡΟΝ. ἐπηρμένον, παρρησιαστικώτερον, εὐθυμότερον. ΜΕΤΕΦΩΝΕΕΝ. ἐν αὐτοῖς εἶπε. ΤΟΥΤΟΝ ΝΥΝ ΑΦΙΚΕΣΘΕ. τὸν τόπον, ἢ τὸν λίθον. ΗΣΕΙΝ. πέμψειν, ἀκοντίσειν. ΜΑΣΣΟΝ. μακρότερον. ΕΧΟΛΩΣΑΤΕ. εἰς ὀργὴν ἐκινήσατε. ΟΥΤΙΝΑ. οὐδένα. ΜΕΓΑΙΡΩ. φθονῶ. ΟΥΤΙΔΑΝΟΣ. οὐδενὸς λόγου ἄξιος. ΞΕΙΝΟΣ. ξενοδόχος. ΠΡΟΦΕΡΗΤΑΙ. προβάλλεται. ΑΛΛΟΔΑΠΩ. ἀλλοφύλῳ. ΚΟΛΟΥΕΙ. κωλύει ἐμποδίζει. ΕΟΥ ΑΥΤΟΥ ΠΑΝΤΑ ΚΟΛΟΥΕΙ. ἀφανίζει καὶ ἐλαττοῖ τὰ ἑαυτῷ συμφέροντα. ΑΝΑΙΝΟΜΑΙ. παραιτοῦμαι, ἀρνοῦμαι. ΑΘΕΡΙΖΩ. ἀποδοκιμάζω, ἀποβάλλω. ΑΜΦΑΦΑΑΣΘΑΙ. μεταχειρίζεσθαι. ΤΟΞΑΖΟΙΜΕΘΑ. εὐστόχως τοξεύοιμεν. ΙΔΜΕΝ. οἴδαμεν. ΤΩ ΡΑ. διὰ δή. ΟΙΧΑΛΗΙ. ἡ οἰχαλία πόλις θεσσαλίας. ΑΕΙΚΕΛΙΟΣ. ἀπρεπῶς χαλεπῶς. ΟΙΟΙΣΙ. μόνοις. ΚΟΜΙΔΗ. ἐπιμέλεια. ΕΠΗΕΤΑΝΟΣ. δαψιλὴς αὐτάρκης. ΑΧΑΡΙΣΤΑ. ἀηδῆ. ΦΑΙΝΕΜΕΝ. δεικνύειν. ΟΝΟΙΤΟ. μέμψαιτο. ΟΥ ΓΑΡ ΠΥΓΜΑΧΟΙ. ἐλεγχθεὶς αἰνεῖται ἴσως εἰς τὸ μὴ παροξῦναι τὸν ὀδυσσέα. ΑΜΥΜΟΝΕΣ. ἄμεμπτοι. ΘΕΟΜΕΝ. τρέχομεν. ΕΠΙΣΤΑΙΗ. εἰδείη. ΑΡΤΙΑ. ἀπηρτισμένα. ΞΥΝΙΕΙ. νοεῖ ἀκούει. ΕΞ ΑΜΟΙΒΑ. ἄλλοτε ἄλλο ἀμειβόμενα καὶ ἀλλασσόμενα. ΒΗΤΑΡΜΟΝΕΣ. ὀρχησταὶ ἀπὸ τοῦ βαίνειν ἁρμοδίως. ΠΑΙΣΑΤΕ. πλήξατε ἁπλῶς χορεύσατε.

ΕΝΙΣΠΗ.

Oechalia thessaliae V.

βητάρμονες

Τῶ. διό

ΕΝΙΣΠΗ. εἴπῃς. ΠΕΡΙΓΙΓΝΟΜΕΘΑ. ὑπερέχομεν. ΝΑΥΤΙΛΙΗ. τῇ περὶ τὴν ναυτικὴν τέχνῃ. ΟΡΧΗΣΤΥΙ. ὀρχήσει. ΩΡΤΟ. ὥρμησεν. ΟΙΣΣΩΝ. κονῶν. ΓΛΑΦΥΡΗΝ. κοίλην διὰ τὸ γεγλύφθαι. ΑΙΣΥΜΝΗΤΑΙ. οἱ παρ' ἡμῶν λεγόμενοι βραβευταί, καὶ ἀγωνοθέται, ἤτοι ἐπίσκοποι τοῦ ἀγῶνος, καὶ εἶεν ἂν κατὰ τὸ ἔτυμον αἰσιονεμηταί. οἱ γὰρ αἴσιον ὅ ἐστι τὸ κατὰ μοῖραν καὶ καθῆκον ἀπονέμοντες τοῖς ἀγωνιζομένοις. ΚΡΙΤΟΙ. ἐπίλεκτοι. ΔΗΜΟΙ. δημόσιοι. ΠΡΗΣΣΕΣΚΟΝ. ἔπραττον. ΛΕΙΗΝΑΝ. ὁμαλὸν ἐποίησαν. ΧΟΡΟΝ. τὸν τόπον ἔνθα ἔμελλον χορεύειν. ΕΥΡΥΝΑΝ. ἐπλάτυναν. ΑΓΩΝΑ. τὸν τόπον ἐν ᾧ ἠγωνίζοντο. ΠΡΩΘΗΒΑΙ. οἱ ἄκρον τῆς ἀκμῆς ἔχοντες ὅ ἐστιν ἀκμάζοντες. ΔΑΗΜΟΝΕΣ. ἔμπειροι. ΕΠΕΠΛΗΓΟΝ. ἔπληξαν, ἔκρουσαν. ΟΡΧΗΘΜΟΙΟ. ὀρχήσεως. ΜΑΡΜΑΡΥΓΑΣ. τὰς συντόνους τῶν ποδῶν κινήσεις. ἐν γὰρ ταῖς ὀξείαις κινήσεσι ἀπόστιλψις τῶν ποδῶν γίνεται. ΘΗΕΙΤΟ. ἐθαύμαζεν. ΑΝΕΒΑΛΛΕΤΟ. ἀνεκρούετο, προοιμιάζετο. ΕΥΣΤΕΦΑΝΟΥ. καλὴν στεφάνην ἐχούσης, στεφάνη δὲ κόσμος γυναικεῖος. ΣΦΕ. αὐτούς. ΑΜΦ' ΑΡΕΟΣ ΦΙΛΟΤΗΤΑ. περὶ κοινωνίας ἄρεως τοῦ ἀφροδίτης μακρόθεν παιδεύει αὐτοὺς μὴ ἀσελγαίνειν μηδ' ὡς καὶ θεῶν διὰ ταῦτα ἀσχημονούντων. ΗΛΙΟΣ ΟΣ ΣΦ' ΕΝΟΗΣΕΝ. ἐνταῦθα δισυλλάβως λέγει τὸν θεόν. ΜΙΓΑΖΟΜΕΝΟΥΣ. μιγνυμένους. ΦΙΛΟΤΗΤΙ.



ἀνεβάλλετο· τὸ προοιμίαζε



ΤΗΤΙ. συνουσίᾳ. ΘΥΜΑΛΓΕΑ. τὴν ψυχὴν λυποῦντα. ΧΑΛΚΕΩΝΑ. τὸν τόπον ἐν ᾧ ἐχάλκευον τὸ χαλκεῖον. ΒΥΣΣΟΔΟΜΕΥΩΝ. κατὰ βάθους τῆς διανοίας βουλευόμενος. ΑΚΜΟΘΕΤΩ. τῷ ὀρύγματι ἐν ᾧ ὁ ἄκμων ἐντίθεται. ΔΟΛΟΝ. πανουργίαν. ΚΟΠΤΕ. κατεσκεύαζεν. ΔΕΜΝΙΑ. στρώματα. ΕΡΜΙΣΙ. τοῖς ποσὶ τῆς κλίνης. ἕρμα γάρ ὥσπερ εἰσὶ τῆς κλίνης, παρὰ τὸ ἐνηρεῖσθαι. ΧΕΕ. περιέβαλλεν. ΜΕΛΑΘΡΟΦΙΝ. ἐκ τῆς ὀροφῆς. ΔΕΣΜΑΤΑ. δεσμούς. ΕΞΕΚΕΧΥΝΤΟ. ἐξεκέχυντο. ΑΡΑΧΝΙΑ. τὰ τῶν ἀραχνῶν. ΕΙΣΑΤΟ. προσεποιήσατο. ΔΟΛΟΕΝΤΑ. πανούργως κατεσκευασμένα. ΜΑΚΑΡΩΝ. μακαρίων δαιμόνων. ΑΛΑΟΣΚΟΠΙΗΝ. τυφλὴν τὴν κατασκοπήν. ΧΡΥΣΗΝΙΟΣ. χρυσᾶς ἡνίας ἔχων. ΚΛΥΤΟΤΕΧΝΗΝ. ἔνδοξον περὶ τὴν τέχνην. ΠΕΡΙΚΛΥΤΟΣ. περισσῶς ἔνδοξος. ΙΣΧΑΝΟΩΝ. ἐπιθυμῶν. ΚΥΘΕΡΕΙΗΣ. ἐπεὶ κυθήροις προσηνέχθη, κύθηρα δὲ νῆσος τῆς λακωνικῆς. ΕΡΙΣΘΕΝΕΟΣ. καλὴν δύναμιν ἔχοντος. ΗΘΕΙ. ἐπορεύετο. ΕΥΝΗΘΕΝΤΕΣ. κοιμηθέντες. ΜΕΤΑΔΗΜΙΟΣ. ἐπιδημῶν. ΣΙΝΤΙΑΣ. τοὺς τὴν λῆμνον κατοικοῦντας ἄνδρας. ΑΣΠΑΣΤΟΝ. ἀσπαστῶς, ἡδέως. ΚΑΤΕΔΡΑΘΟΝ. νῦν ἀνεπαύσαντο, κατεκοιμήθησαν. ΦΕΥΚΤΑ. φεύξιμα. ΑΓΧΙΜΟΛΟΝ. ἐκ τοῦ σύνεγγυς, μετ' ὀλίγον. ΗΡΕΝ. ἐλάμβανε. ΓΕΓΩΝΕ. διάκουσον ἐβόησε. ΤΕΧΝΗΕΝΤΕΣ. τεχνικῶς κατεσκευασμένοι.



Cythera vulgo nūc cetril

ΕΧΥΝΤΟ. περιεχύθησαν. ΑΝΑΕΙΡΑΙ. κουφίσαι. ΣΚΟΠΙΗΝ ΕΧΕ. κατάσκοπος ἦν. ΓΕΛΑΣΤΑ. γέλωτος ἄξια. ΟΥΚ ΕΠΙΕΙΚΤΑ. οἷς οὐκ ἄν τις εἴξειεν. ΑΡΤΙΠΟΣ. ἀρτίπους καὶ ὁλοκλήρους τοὺς πόδας ἔχων. ΓΕΙΝΑΣΘΑΙ. γεννῆσαι. ΟΨΕΣΘΕ. θεάσασθε. ΤΩ ΓΕ οὗτοι. ΑΚΑΧΗΜΑΙ. λυποῦμαι. ΗΠΕΔΑΝΟΣ. ἀσθενής. ΤΟΚΗΕΣ. γονεῖς. ΜΙΝΙΝΘΑ ΔΕ. ὀλίγον. ΑΕΙΔΗΛΟΝ. ἄδηλον, ἀφανιστικόν. ΚΕΙΕΜΕΝ. καθεύδειν. ΚΑΙ ΜΑΛΑ ΠΕΡ ΦΙΛΕΟΝΤΕ. τὸ ὅλον, καίπερ καθ' ὑπερβολὴν φιλοῦντες, οὐ δυνήσονται ὁμιλῆσαι ἀλλήλοις διὰ τοὺς δεσμούς. ἢ οὐκέτι ἐθελήσουσι φόβῳ τῶν δεσμῶν πάλιν συνελθεῖν. ΔΟΛΟΣ. μηχάνημα. ΕΓΓΑΛΙΞΑ. ἔδωκα, παρέχον. ΟΥΚ ΕΧΕΘΥΜΟΣ. οὐ λογισμὸν ἔχουσα. ἢ οὐ κρατοῦσα τῶν ἐπιθυμιῶν οὐ σώφρων. ΕΚΑΕΡΓΟΣ. μακροβόλος, τοξότης, ὁ ἕκαθεν εἴργων. ΧΑΛΚΟΒΑΤΕΣ. χαλκῷ βεβηκός, στερεόν. ΕΡΙΟΥΝΙΟΣ. μεγαλωφελής. ΑΙΔΟΙΗ. αἰσχύνη. ΔΩΤΗΡΕΣ ΕΑΩΝ. ἀγαθῶν δοτῆρες. ΑΣΒΕΣΤΟΣ. ἀκατάπαυστος, μεταφορικῶς ἀπὸ ἀψύχων εἰς ἔμψυχα, ἀπὸ γὰρ τοῦ πυρὸς ἐπὶ τὸν γέλωτα μετήνεκται. ΕΝΩΡΤΟ. διεγήγερτο. ΟΥΚ ΑΡΕΤΑ ΚΑΚΑ ΕΡΓΑ. οὐκ ἀρετῶ ῥῆμα ἐστὶ συζυγίας δευτέρας τῶν περισπωμένων, δηλοῖ δὲ οὐκ ἀρετὴν καὶ εὐθηνείαν ἄγει τὰ κακὰ ἔργα, καὶ ἀλλαχοῦ, ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ εὐθηνοῦσι.

οὐκ ἀρετῶ ῥῆμα

Ἐριούνιος ὁ μεγαλωφελής



εὐθηνοῦσι. ΚΙΧΑΝΕΙ. καταλαμβάνει. ΕΙΛΕ. τὴν κατέλαβε. ΤΕΧΝΑΣ. δόλους. ΩΚΥΤΑΤΟΝ. ταχύτατον. ΤΕΧΝΗΣΙ. δόλοις, μηχαναῖς. ΜΟΙΧΑΓΡΙΑ. μοιχόληπτα, τὰ ὑπὲρ τῆς ἀγρεύσεως καὶ συλλήψεως τῶν μοιχῶν ἐκτιννύμενα. ΟΦΕΛΛΕΙ. ὀφείλει χρεωστεῖ. ΔΩΤΩΡ ΕΑΩΝ. δοτὴρ ἀγαθῶν. ΛΕΚΤΡΟΙΣΙ. κοίταις. ΔΙΑΚΤΩΡ. διάγων τὰς ἀγγελίας. ΧΡΥΣΗΝ. καλὴν χρυσοφόρον. ΑΠΕΙΡΟΝΕΣ. μεγάλοι. ΑΜΦΙ ΕΧΟΙΕΝ. περιέχοιεν. ΟΡΟΩΝΤΕΣ. ὁρῶντες βλέποντες. ΚΛΥΤΟΕΡΓΟΝ. ἔνδοξον κατὰ τὸ ἔργον. ΥΠΙΣΧΟΜΑΙ. ὑπισχνοῦμαι. ΤΙΣΕΙΝ. ἐκτίσειν ἀποδοῦναι. ΔΕΙΛΑΙ ΤΟΙ ΔΕΙΛΩΝ ΓΕ. δειλαὶ καὶ δυσχερεῖς αἱ ἐγγύαι, καὶ δειλὸν τὸ ἐγγυᾶσθαι. ἢ αἱ πρὸς τοὺς δειλαίους καὶ ἀσθενεῖς ἐγγύαι, οὐδὲν δύναται τῶν ἀδικημάτων ἐπεξελθεῖν, δι' ἀσθένειαν μὴ δυναμένων. ἢ οὕτως, αἱ ὑπὲρ τῶν κακῶν καὶ δειλῶν ἐγγύαι, καὶ αὗται κακαί εἰσι τὴν πίστιν ὑπὲρ τοῦ τοιούτων μηδενὸς τηρεῖν δυναμένου. παρὰ τοῦτο δὲ καὶ τὸ τοῦ σοφοῦ, ἐγγύα πάρα δ' ἄτη. ΔΕΟΙΜΙ. δεσμεύοιμι, κρατοῖμι, ζητοῖμι. ΠΩΣ ΑΝ ΕΓΩΓΕ ΔΕΟΙΜΙ. εὑρίσκοιμι, καταλαμβάνοιμι, δήσαις τόν γε σύεσιν. ὁ δὲ Ἀρίσταρχος πῶς ἂν εὐθύνοιμι. ὁ δὲ ὅτι ἐπὶ τοῦ δῆσαι καὶ σὺ θρασύς, ὁρᾷς φησὶν ὁ λόγος, ἀρνεῖται δὲ οὐ δύναμαί σε δῆσαι. ὁ γὰρ ἐγγυώμενος ἐπὶ τοῖς αὐτοῖς γίνεται. εἰ γὰρ ὁ Ἄρης ἀποδράσας φησὶν

ἐγγύα πάρα δ' ἄτη

οἴχεται φυγών. πῶς ἄν σε ἀντ' ἐκείνου δήσαιμι
ὄντα μου πολλῷ γυναικότερον. ἤτοι διὰ τὴν αὐτοῦ
ἀσθένειαν. ἢ διὰ τὴν πρὸς ἐκεῖνον αἰδῶ. ΑΜΦΙ-
ΓΥΗΕΙΣ. ἀμφοτέρους τοὺς πόδας ἔχων χωλούς.
ΟΙΧΟΙΤΟ. ἀπέλθοι. ΧΡΕΙΟΣ. ἀττικῶς τὸ χρέος τὸ
ὄφλημα. ΤΙΣΩ. ἐκτίσω. ἀποδώσω. ΑΝΙΕΙ. ἔλυεν.
ΑΝΑΙΞΑΝΤΕΣ. ἀνορμήσαντες. ΦΙΛΟΜΕΙΔΗΣ. φι-
λόγελως ἱλαρά. ΠΑΦΟΝ. πόλις κύπρου. ΘΥΗΕΙΣ.
ὠτενήνοθ θυμιαμάτων πλήρης. ΕΠΕΝΗΝΟΘΕΝ. ἐπὴν ἐπέ-
κειτο. ΕΠΗΡΑΤΑ. ἐπέραστα καλά. ΔΟΛΙΧΗΡΕΤΜΟΙ.
μακρόκωποι. ΕΠΙ ΣΦΙΝ. ἐπ' αὐτούς. ΜΟΥΝΑΞ. καθ' ἕ-
να ἢ μόνος. ΕΛΕΣΚΕ. ἐδέχετο ἐλάμβανεν. ΕΤΡΙ-
ΖΕΝ. ἐξισοῦτο. ΡΙΠΤΑΣΚΕ. προΐετο. ΑΕΡΘΕΙΣ. ἐπαρ-
θείς. ΙΔΝΩΘΕΙΣ. καμφθείς. ΜΕΤΕΛΕΣΚΕ. μετα-
λάμβανε. ΑΝ ΙΘΥΝ. παρὰ τὸ ἄνω καὶ τὸ ἰθύνειν
δίον ἀνορμῶντες, ἵλλοντο γάρ. ΤΑΡΦΕ' ΑΜΕΒΙΟ-
ΜΕΝΩ. πυκνῶς πλέκοντες εἰς ἀλλήλους συναλλασ-
σόμενοι. ΕΠΕΛΗΚΕΟΝ. ἐπικρότουν ἐβεβόωντο τοῖς
ποσίν. ΕΣΤΑΝΤΕΣ. ἰσάριθμοι. ΚΡΕΙΟΝ. ἄρχον βα-
σιλεύον. ΒΗΤΑΡΜΟΝΕΣ. ὀρχησταὶ οἱ διὰ τῶν πο-
δῶν ὀρχούμενοι ἀπὸ τοῦ ἡρμοσμένως βαίνειν. ΑΡΙ-
ΔΕΙΚΕΤΕ. ἄγαν ἔκδηλε, ἐπισημονέστατε, ἐκπρεπέ-
στατε. ΑΠΕΙΛΗΣΑΣ. προτείνου ὑπέχου ἐπαυχήσω.
παρὰ τὸ δέον. ΕΤΟΙΜΑ ΤΕΤΥΚΤΟ. φανερὰ ἦν οὕ-
τως εἶχεν. ΩΣ ΕΠΙΕΙΚΕΣ. ὡς πρέπει. ΚΡΑΙΝΟΥΣΙ.





διαπλέουσιν ὑπάρχουσι. ΕΝΕΙΚΑΤΕ. ἀγάγετε κομί-
σατε. ΦΙΛΗΡΕΤΜΟΙΣΙ. φιλοκώποις, ναυτικοῖς. ΑΟΛ-
ΛΕΑ. ὁμοῦ συναχθέντα ἀθρόα. ΙΗ. ἐπορεύετο. ΔΟΡ-
ΠΟΝ. δεῖπνον. ΑΡΕΣΣΑΣΘΩ. φιλοφρονησάτω.
ΠΡΟΕΣΑΝ. προέπεμψαν. ΑΡΕΣΘΟΜΑΙ. φιλο-
φρονήσομαι. ΚΩΠΗ. ἡ λαβή. ΚΟΥΛΕΟΣ. ἡ ξιφο-
θήκη. ΑΜΦΙΔΕΔΙΝΗΤΑΙ. κύκλῳ περίκειται. ΒΕ-
ΒΑΚΤΑΙ. πεφλυάρηται, ἔνθεν καὶ βάξ ὁ κράτης
παρὰ τὸ βάζειν. ΟΛΒΟΝ. εὐδαιμονίαν πλοῦτον. βάξ
ΔΥΣΕΤΟ. ἔδυ. ΠΟΘΗ. ἐπιζητήσεις. ΔΕΥΡΟ ἀντὶ τοῦ
ἄγε. ΧΗΛΟΝ. κιβώτιον. ΑΡΙΠΡΕΠΕΑ. ἄγαν ἐκ-
πρεπῆ. ΙΗΝΑΤΕ. θερμαίνετε χλιαίνετε. ΟΠΑΣΣΩ.
δώσω παράσχω. ΔΑΙΟΝ. διέκοπτον. ΓΑΣΤΡΗΝ.
τὸ κύρτωμα ἢ τὸν πυθμένα. ΛΟΕΤΡΟΧΟΟΝ. εἰς ὃν
τὰ λουτρὰ χεῖται. ΚΗΛΕΩ. καυστικῷ. ΙΗΛΟΝ. ἐπέ-
βαλον. ΔΕΔΑΕΝ. ἐδίδαξεν διὰ τὸ τοὺς ἑταί-
ρους αὐτοῦ λῦσαι τὸν τοῦ ἀσκοῦ δεσμόν. ΚΑΘ ΟΔΟΝ.
κατὰ τὸν πλοῦν. ΕΥΔΗΣΘΑ. καθεύδῃς. ΕΠΗΡΤΥΕΝ. ἐφήρ-
μοζεν. ΙΗΛΕ. ἐπέβαλεν. ΕΠΟΙΗΣΕΝ. ἐδίδαξεν.
ΑΥΤΟΔΙΟΝ. παραχρῆμα ἐξ αὐτῆς ὁδοῦ. οὐκ ἀλλα-
χοῦ πη χωρισθέντα. ἢ αὐτοδίως πρὶν ἀλλαχοῦ
πορευθῆναι μετὰ τὸ δῆσαι τὴν κιβωτὸν τοῦ ὀ-
δυσσέως. ΑΣΠΑΣΙΩΣ ἐπιθυμητῶς. ΚΟΜΙΖΟΜΕΝΟΣ
ΓΕΘΑΜΙΖΕΝ. οὐ γὰρ ὅλως ἐκοσμεῖτο οὐ γὰρ ἐπιμελείας

ἐξ ἑαυτοῦ. ΟΙΝΟΠΟΤΗΡΑΣ. τοὺς εὐωχουμένους. ΟΦΕΛΛΕΙΣ. ὀφείλεις χρεώστης. ΕΠΕΙΔΗ. ἀφ' οὗ δή. ΑΣΑΜΙΝΘΟΝ. πύελον, ἀπὸ τοῦ μινύθειν τὴν ἄσιν τοῦ σώματος. ΚΟΜΙΔΗ. ἐπιμέλεια. ΣΤΑΘΜΟΝ. παραστάδα. ΤΕΓΕΟΣ. ἤτοι τοῦ μελάθρου. ΖΩΑΓΡΙΑ. τὰ ὑπὲρ τῆς ζωῆς ὀφειλόμενα. ΤΩ ΚΕΝ ΤΟΙ. διὸ ἄν σοι. ΕΥΧΕΤΟΩΜΗΝ. εὐχοίμην. ΕΒΙΟΣΣΑΟ. τὸ ζῆν περιεποίησας ἔσωσας. ΜΟΙΡΑΣ. μερίδας. ΕΝΕΜΟΝ. ἐμέριζον. ΤΕΤΙΗΜΕΝΟΝ. ἀντὶ τοῦ τετιμωρημένον καὶ λελυπημένον. ΘΑΛΕΡΗ. θάλλουσα. ΠΡΟΤΑΜΩΝ. ἀφελών. ΑΛΟΙΦΗ. πιμελὴ λίπος. ΤΗ. δέξαι λαβέ. ΠΡΟΣΠΤΥΞΟΜΑΙ. φιλοφρονήσομαι. ΕΜΜΟΡΟΙ. μέτοχοι. ΟΙΜΑΣ. ᾠδάς. ΕΡΞΑΝ. ἔπραξαν. ΠΟΛΥΜΗΤΙΣ. πολύβουλος συνετός. ΑΙΝΙΖΟΜΑΙ. θαυμάζω καὶ ἐπαινῶ. ΚΑΤΑ ΚΟΣΜΟΝ. κατὰ τάξιν. ΟΙΤΟΝ. μόρον θάνατον. ΕΜΟΓΗΣΑΝ. ἐκακοπάθησαν. ΚΟΣΜΟΝ. κατασκευήν. ΔΟΥΡΑΤΕΟΥ. ξυλίνου ἵππου. ΕΠΕΙΟΣ. ὁ τῶν ἑλλήνων τέκτων. ΕΜΠΛΗΣΑΣ. πληρώσας. ΕΞΑΛΑΠΑΞΑΝ. ἐπόρθησαν παντελῶς. ΚΑΤΑΛΕΞΕΙΣ. ἕκαστα εἴπῃς. ΦΑΙΝΕ. ἐδείκνυεν. ΩΠΑΣΕΝ. παρέσχεν ἔδωκεν. ΕΝΘΕΝ ΕΛΩΝ. ἐντεῦθεν ἀρξάμενος. ΚΕΚΑΛΥΜΜΕΝΟΣ. περικεκαλυμμένος. ΔΙΑΤΜΗΞΑΙ. διατεμεῖν. ΚΟΙΛΟΝ ΔΟΡΥ. τὸν δούριον ἵππον. ΕΡΥΣΑΝΤΕΣ. ἑλκύσαντες. ΕΙΑΤΟ.

Τῆ. δέξαι

Durateus equus

οἶμας ᾠδάς

ἐνθένδ' ὧν. ἐντεῦθεν ἀρξάμενος



ΤΟ. ἐκαθέζετο. ΘΕΛΚΤΗΡΙΟΝ. ἱλαστήριον. ΔΙΕΠΡΑΘΟΝ. διεπόρθησαν. ΙΠΠΟΘΕΝ. ἐκ τοῦ ἵππου. ΕΚΧΥΜΕΝΟΙ. ἀθρόως ἐξελθόντες. ΕΡΥΣΑΤΟ. εἵλκυσεν. ΤΡΙΧΑ. τριχῶς. ΣΦΙΝ. ἀντὶ τοῦ αὐτοῖς. ΑΓΑΛΜΑΤΑ. πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. ΚΕΡΑΙΖΕΜΕΝ. διαφθείρειν. ΠΟΤΙ ΔΩΜΑΤΟΣ ΔΗΙΦΟΒΟΙΟ. ἐκ τούτου οἱ μεταγενέστεροι τὴν ἑλένην μετὰ δηιφόβου γήμασθαι λέγουσιν. ΕΔΕΥΕΝ. ἔβρεχεν. ΕΗΣ. τῆς ἑαυτοῦ. ΧΥΜΕΝΗ. περιχυθεῖσα περιπλακεῖσα. ΚΩΚΥΕΙ. θρηνεῖ. ΛΙΓΑ. ὀξέως ἡδέως. ΕΙΡΕΡΟΝ. αἰχμαλωσίαν, δουλείαν τὴν περὶ τὰ ἔργα, ἢ ἀναπέπλασαι κατ' ἀρχὴν παρὰ τὸ ἔρειν μετὰ ἐλευθερίας εἴρειν καὶ λέγειν τοὺς δούλους. ΕΛΕΕΙΝΟΝ. ἐλεεινῶς οἰκτρῶς. ΣΧΕΘΕΤΩ. ἐπισχέτω παυσάτω. ΔΟΡΠΕΟΜΕΝ. δειπνῶμεν. ΑΝΤΙΚΑΣΙΓΝΗΤΟΥ. ἴσως ἀδελφοῦ. ΕΠΙΤΑΝΕΙ ΠΡΑΠΙΔΕΣΣΙΝ. ἀπλέτοις ταῖς φρεσίν. ὅ ἐστιν φρόνιμος ἐστί. ΝΟΗΜΑΣΙΝ. ἐννοίαις. ΚΕΡΔΑΛΕΟΙΣΙ. πανούργοις. ΕΙΡΟΜΑΙ. ἐρωτήσω. ΦΑΑΣΘΑΙ. εἰπεῖν. ΤΙΤΥΣΚΟΜΕΝΑΙ. καταστοχαζόμεναι. ΙΣΑΣΙΝ. γινώσκουσιν ἐπίστανται. ΝΟΗΜΑΤΑ. ἐννοίας βουλάς. ΕΡΕΙ. ἔπεσιν. ΠΗΜΑΝΘΗΝΑΙ. βλαβῆναι. ΔΕΟΣ. φόβος. ΑΓΑΣΕΣΘΑΙ. ἄγαν ὀργισθῆναι. ΠΟΜΠΟΙ. οἱ παραπέμποντες. ΑΠΗΜΟΝΕΣ. ἀβλαβεῖς. ΡΑΙΣΕΜΕΝ. διαφθεῖραι. ΑΜΦΙΚΑΛΥΨΕΙΝ. περισκεπάσειν. Η ΚΑΤ' ΕΛΕΣΤΕΙΗ.

ἄγαλμα

νῦν τὸ εἶεν ἀντὶ τοῦ ἐάσει, ὑπὲρ δὲ τοῦ κατὰ διή- γησιν ἡδονῆς τῆς προῤῥήσεως ἐπελάθετο. ἀλλὰ ποῦ ὁ ὀδυσσεὺς ταῦτα ἀκούσας τοῦ ποσειδῶνος μηνίει ὀργήν. ἢ ἠθέλησε τὰ ἀληθῆ εἰπεῖν. ΑΠΕΠΛΑΓΧΘΗΣ. ἀπεπλανήθης. ΕΥΝΑΙΕΤΑΩΣΑΣ. καλῶς οἰκουμέ- νας. ΘΕΟΥΔΗΣ. θεοφιλὴς ἢ θεοῖς ἀρέσκων. ΟΔΥΡΕΑΙ. θρηνεῖς, κλαίεις. ΤΕΥΞΑΝ. ἐποίησαν. ΕΣΣΟΜΕΝΟΣ. μεταγενέστερος. ΠΗΟΣ. συγγενὴς κατ᾽ ἐπιγαμίαν ἢ πόῤῥωθεν συγγενής. ΑΠΕΦΘΙΤΟ. διεφθάρη. ΚΥΔΙ- ΣΤΟΙ. λόγου καὶ φροντίδος ἄξιοι τε καὶ συγγενικώ- τατοι. ΤΕΛΕΘΟΥΣΙ. γίνονται. ΕΙ ΓΗ. γινώσκει.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ι. ΟΔΥΣ- ΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΑΡχὴ τῶν τοῦ ὀδυσσέως διηγημά- των. ἐν ᾗ φησὶν πεπολεμηκέ- ναι τοῖς κίκοσι καὶ πρὸς τοὺς λωτοφάγους παραγενέσθαι, καὶ ~~ὅτι ἐτύφλωσε~~ τὸν κύκλωπα πο- λύφημον πορθῆσαι καὶ τὸν τὸν φαγόντα ἐξ ἤδη ἑταίρους ἐκτυφλῶσαι. [//προς]

ΟΥ ΓΑΡ ΕΓΩ ΓΕ ΤΙ ΦΗΜΙ. ταῦτα ἁρμαζόμενος τῷ καιρῷ λέγει, οὐ τοῦ παντὸς δὲ βίου τέλος εἴρηκεν τὴν





ἡδονὴν ἀλλὰ συμποσίου τινός. ΕΥΦΡΟΣΥΝΗ. θυμη- δία. ΑΚΟΥΑΖΟΝΤΑΙ. ἀκροῶνται. ΠΛΗΘΩΣΙ. πεπλη- ρωνται. ΕΠΕΤΡΑΠΕΤΟ. προεθυμήθη. ΜΕΛΩ. ἐν ἐπιμε- λείᾳ εἰμί. ΝΑΙΕΤΑΩ. οἰκῶ. ΕΥΔΕΙΕΛΟΝ. πρὸς δύσιν τῶν ἄλλων κειμένων. ΑΦΥΣΣΩΝ. ἀρυόμενος ἀπαν- τλῶν. ΕΓΧΕΙΗ. ἐγχέῃ. ΕΙΔΕΤΑΙ. φαίνεται δοκεῖ. ΥΣΤΑΤΙΟΝ. ἔσχατον. ΝΗΡΙΖΟΝ. ὄρος ἰθάκης. ΕΙΝΟ- ΣΥΦΥΛΛΟΝ. κινησίφυλλον ἔνωσις γὰρ ἡ κίνησις. ΔΟΥΛΙΧΙΟΝ. μία τῶν ἐχινάδων. ΥΛΗΕΣΣΑ. ὑλώδης σύμφυτος. ΧΘΑΜΑΛΗ. ταπεινὴ κοίλη τὴν θέσιν. πῶς οὖν πανυπερτάτη, ἢ τῇ δόξῃ ἢ πρώτη τῶν ἄλλων ὡς πρὸς δύσιν. ΠΑΝΥΠΕΡΤΑΤΗ. ὑπεράνω κειμένη. ΖΟΦΟΝ. νῦν δύσιν. ΗΩ. νῦν τὴν ἀνατολήν. ΚΟΥΡΟ- ΤΡΟΦΟΣ. νεωτέρων τροφός. ΚΑΤΕΡΗΤΥΕΝ. κατεῖχεν. ΑΙΑΙΗΣ. δὲ αἰαίας νήσου τῆς τυῤῥηνίας ἢ κολχικῆς. αἰαία γὰρ ἡ πόλις τῆς κολχίδος. ΓΛΥΚΙΟΝ. γλυκύτερον ἥδιον. ΑΛΛΟΔΑΠΗ. ἀλλοφύλῳ ξένῃ. ΝΑΙΕΙ. οἰκεῖ. ΛΙΛΑΙΟΜΕΝΗ. ἐπιθυμοῦσα. ΠΟΛΥΚΗΔΕΑ. πο- λλῶν κακῶν πλήρη. ΕΝΙΨΩ. ἐρῶ λέξω. ΕΦΕΗΚΕ. ἐπέ- πεμψε. ΙΟΝΤΙ. ἐπανιόντι. ΙΣΜΑΡΩ. ἴσμαρος πόλις τῆς κικονίας ἥτις νῦν μαραθὼν λέγεται. ΠΟΛΙΝ ΕΠΡΑΘΟΝ. ἐπεὶ οἱ κίκονες τῷ πριάμῳ συνε- μάχησαν. κικόνων ἡγήτορι μέντη. ΔΑΣΣΑΜΕ- ΘΑ. ἐμερισάμεθα. ΚΙΟΙ. ἀπέλθοι. ΑΤΕΜΒΟΜΕ- ΝΟΣ. στερισκόμενος. ΙΣΗΣ. ἰσότητος. ΔΙΕΡΩ

[Dulichiū echinadō una]

[Aeæa. V. colchi.]

[Ismaros Marathō]

ΠΟΔΙ. μεταφορικῶς τῇ νηΐ. οἱ δὲ διερῷ τῷ ὀξεῖ, καὶ ταχεῖ, οἱ δὲ τῷ ζῶντι, ἐπεὶ ξηροὶ οἱ ἀποθανόντες, καὶ γὰρ ἑτέρωθι διερὸς βροτὸς φησίν. οἱ δὲ τῇ κώπῃ, οἱ δὲ τῷ διερῷ ἐκ τῆς θαλάσσης πρὶν ξηρανθῆναι τὴν ἐκ τῆς βάσεως ὑγρασίαν, λέγει δὲ τὸν ἱδρῶτα. ΗΝΩΓΕΑ. ἐκέλευον. ΟΙΧΟΜΕΝΟΥ. ἀπελθόντος. ΓΕΓΩΝΕΥΝ. ἐκάλουν ἐβόων. ΝΑΙΟΝΤΕΣ. οἰκοῦντες. ΩΡΗ. τῷ τοῦ ἔαρος καιρῷ. ΗΕΡΙΟΙ. ὄρθριοι. ΑΙΝΟΜΟΡΟΙΣΙ. κακομόροις. ΑΛΕΞΟΜΕΝΟΙ. ἀμυνόμενοι ἢ ἐκκλίνοντες. ΚΛΙΝΑΝ. ἔκλιναν ἔτρεψαν. ΔΑΜΑΣΑΝΤΕΣ. ἀνελόντες. ΩΛΟΝΤΟ. ἀπώλοντο. ΑΚΑΧΗΜΕΝΟΙ. λυπούμενοι. ΒΟΥΛΙΤΟΝ. τὸν καιρὸν ἐν ᾧ βόες ἀπολύονται τῶν ἔργων. ΤΟΝ ΠΡΟΤΕΡΩ. εἰς τὸ ἔμπροσθεν. ΑΣΜΕΝΟΙ. εὐκταῖοι. ΟΛΕΣΑΝΤΕΣ. ἀπολέσαντες. ΤΡΙΣ ΕΚΑΣΤΟΝ ΑΥΣΑΙ. ἀρχαῖον ἔθος τῶν ἐπὶ ξένης ἀπολλυμένων τὰς ψυχὰς ἀνακαλεῖν τρίτον, τοὺς περιλειφθέντας ἐπὰν πλέωσιν οἴκαδε. ἢ ἵνα καὶ εἴ τι ἀπολίποιτο, ἐν τῷ πεδίῳ προσέλθοι. ΔΗΙΩΘΕΝΤΕΣ. ἀναιρεθέντες. ΕΠΙΚΑΡΣΙΟΙ. πλάγιαι. ΛΑΙΛΑΠΙ. τῷ μετὰ ἀνέμων ὄμβρῳ. ΚΑΤΘΕΜΕΝ. κατεθήκαμεν. ΕΣΣΥΜΕΝΩΣ. προθύμως. ΠΡΟΕΡΥΣΑΜΕΝ. προκαθειλκύσαμεν. ΗΜΑΤΑ. ἡμέρας. ΙΣ ΑΝΕΜΟΙΟ. ἄνεμοι. ΣΥΝΕΧΕΣ. συνεχῶς. ΘΥΜΟΝ ΕΔΟΝΤΕΣ. τὴν ψυχὴν ἐσθίοντες αὐτοὶ

τοῦ κατε-

βουλυτον

μ

Ter uocari mortuos mos antiquus.



τοῦ κατεσθιόμενοι. ΤΕΛΕΣΣΕ. ἐτελείωσεν ἐπλήρωσεν. ΕΡΥΣΑΝΤΕΣ. ἀνελκύσαντες. ΗΜΕΘΑ. ἐκαθήμεθα. ΙΘΥΝΟΝ. ἐπ' εὐθείας ἔφερον. ΑΣΚΗΘΗΣ. ὑγιὴς διὰ τὴν ἐπιμελείας. ΡΟΟΣ. ῥοῦς ῥέεθρον. ΠΕΡΙΓΝΑΜΠΤΟΝΤΑ. περικάμπτοντα. ΜΑΛΕΙΑΝ. ἀκρωτήριον τῆς λακωνικῆς. ΑΠΕΩΣΕΝ. ἀπωθήσατο. ΠΑΡΕΠΛΑΓΞΕΝ. ἀπεπλάνησεν. ΚΥΘΗΡΩΝ. κύθηρα νῆσος τῆς λακωνικῆς. ΟΛΟΟΙΣ. ὀλεθρίοις. ΑΝΘΙΝΟΝ ΕΙΔΑΡ. τὸν λωτὸν ἢ τροφὴν διὰ ἀνθέων. ΒΗΜΕΝ. ἐβαίνομεν διεξήλθομεν. ΑΦΥΣΣΑΜΕΘΑ. ἠντλήσαμεν. ΕΠΑΣΣΑΜΕΘΑ. ἐγευσάμεθα. ΠΟΤΗΤΟΣ. ποτοῦ. ΠΡΟΙΕΙΝ. προέπεμπον. ΠΕΥΘΕΣΘΑΙ. πυθέσθαι μαθεῖν. ΤΡΙΤΑΤΟΝ ΚΗΡΥΚΑ. ἵνα μὴ εὐεπιχείρητοι ὦσι διὰ τὸν κήρυκα. ΟΠΑΣΣΑΣ. παραχών. ΕΙΕΝ. ὑπάρχοιεν. ΕΦΕΠΤΟΜΕΝΟΙ. ἐσθίοντες. ΜΙΓΕΝ. ἐμίχθησαν. ΜΗΔΟΝΤΟ. ἐβουλεύοντο. ΕΡΥΣΣΑΣ. ἑλκύσας. ΟΙΧΟΜΕΝΟΙ. πορευόμενοι. ΥΠΟ ΖΥΓΑ. ὑπὲρ τὰς καθέδρας. ΚΥΚΛΩΠΩΝ Δ' ΕΣ ΓΑΙΑΝ. δίκαιοι αὐτοὶ πλὴν πολυφήμου. ὅθεν τὸ μὲν ὑπερφιάλων, νῦν μεγάλων, τὸ δὲ ἀθεμίστων, μὴ ἐχόντων θείων νόμων. διὰ τὸ θεμιστεύειν ἕκαστον παίδων ἠδ' ἀλόχων. πῶς οὖν ἠδίκουν τοὺς φαίακας καὶ ἐλύπουν διὰ τὸ ἀνόμοιον τῆς πολιτείας. ΑΝΗΡΟΤΑ. ἀναροτρίαστα. ΑΡΟΩΣΙΝ. ἀροτριῶσιν. ΕΡΙΣΤΑΦΙΛΟΝ. ἐκτελείου καρποῦ τῆς σταφυλῆς γινόμενον.

ΒΟΥΛΗΦΟΡΟΙ.

Malea p.

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

θέμιστες

ΒΟΥΛΗΦΟΡΟΙ. εἰς ἃς αἱ βουλαὶ ἀναφέρονται ἵνα
ἐπιτελεσθῶσιν. ΘΕΜΙΣΤΕΣ. κοινά, νόμιμα. ΚΑΡΗ-
ΝΑ. ἀκρωρείας. ΘΕΜΙΣΤΕΥΕΙ. ἄρχει δικάζει. ΛΑ-
ΧΕΙΑ. εὔγειος ἢ εὔσκαφος. λαχαίνεσθαι καὶ σκά-
πτεσθαι δυναμένη. οἰκονομικῶς δὲ εἰς ταύτην νύκ-
τωρ κατηνέχθησαν, ἵνα μὴ ἀπόλωνται πάντες. ΠΑΡ
ΕΧ ΛΙΜΕΝΟΣ. ἔξω τοῦ λιμένος. ΤΕΤΑΝΥΣΤΑΙ.
ἐκτέταται διήκει. ΑΠΕΙΡΕΣΙΟΙ. πολλαί. ΠΑΤΟΣ. ἀνα-
στροφή. ΑΠΕΡΥΚΟΙ. ἀπείργοι κωλύσοι. ΕΙΣΟΙΧΝΕΥ-
ΣΙΝ. εἰσπορεύονται εἰσέρχονται. ΕΦΕΠΟΝΤΕΣ. ἐπι-
ζητοῦντες. ΚΑΤΑΙΣΧΕΤΑΙ. κατέχεται. ΑΝΗΡΟ-
ΤΟΣ. μὴ ἀροτριουμένη. ΑΡΟΤΡΟΙΣΙΝ. ἀροτριάσε-
σιν. ΧΗΡΕΥΕΙ. σπανίζει ἔρημός ἐστι. ΜΗΚΑΔΑΣ.
μηκωμένας ἀπὸ τῆς φωνῆς. μήκη γὰρ λέγεται ἡ τῶν
αἰγῶν φωνή. ἢ ἀπὸ τοῦ ἐπὶ τὰ μήκη κιεῖν.
ΜΙΛΤΟΠΑΡΗΟΙ. μίλτῳ τὰς παρειὰς κεχρισμέ-
ναι τουτέστι τὰς πρώρας. μίλτος δὲ πηλὸς χρυσιώ-
δης. ΕΝΙ. ἔνεισιν. ΚΑΜΟΙΕΝ. κατασκευάσοιεν. ΤΕ-
ΛΕΟΙΕΝ. πράττοιεν ὑπουργοῖεν. ΙΚΝΕΥΜΕΝΑΙ. πα-
ραγινόμεναι. ΕΚΑΜΟΝΤΟ. κατειργάσαντο κατεσ-
κευάσαντο. ΩΡΙΑ. τὰ πρὸς ἕκαστον καιρὸν ἐπιτή-
δεια. ΥΔΡΗΛΟΙ. κάθυγροι. ΜΑΛΑΚΟΙ. ἁπαλοί. ΑΦΘΙ-
ΤΟΙ. ἄφθαρτοι. ΑΡΟΣΙΣ. ἀροτρίασις. ΛΕΙΗ. ὁμαλή.
ΛΗΙΝΟΝ. σιτοφόρον πεδίον. ΑΜΩΕΝ. θερίζοιεν.
ΠΙΑΡ. λιπαρὸν εὔγειον. ΥΠ᾽ ΟΥΔΑΣ. ὑπὸ τὸ ἔδα-
φος.



φος. ΕΥΟΡΜΟΣ. εὐνεώλκητος. ΠΕΙΣΜΑΤΟΣ. ἀπο-
γείου σχοινίου, ᾧ πείθεται ἡ ναῦς. ΑΝΑΨΑΙ. προσδῆ-
σαι. ΕΥΝΑΣ. ἀγκύρας. ΕΠΙΚΕΛΣΑΝΤΑΣ. ἐποκεί-
λαντας τῇ γῇ ἐπιψαύσοντας. ΕΠΟΡΥΝΕΙ. παροξύ-
νει παρορμᾷ. ΑΗΤΑΙ. οἱ ἄνεμοι. ΚΡΑΤΟΣ ΛΙΜΕ-
ΝΟΣ. τῆς ἀρχῆς τοῦ λιμένος. ΠΡΟΥΦΑΙΝΕΤΟ. προε-
φαίνετο. ΑΗΡ. ἀχλὺς ἀορασία. ΒΑΘΕΙΑ. σκοτεινή.
ΠΡΟΥΦΑΙΝΕΝ. ἔφαινεν ἔλαμπεν. ΕΔΡΑΚΕΝ. εἶδεν
ἐθεάσατο. ΠΟΤΙ ΧΕΡΣΟΝ ΔΕ. πρὸς τὴν γῆν. ΚΕΛ-
ΣΑΣΗΣΙΝ. ἐποκειλάσαις τῇ γῇ. ΑΠΟΒΡΙΞΑΝΤΕΣ.
ἐπὶ βορᾷ καὶ τρυφῇ ἀποκοιμηθέντες. ΘΑΥΜΑ-
ΖΟΝΤΕΣ. θεώμενοι. ΕΔΙΝΕΥΜΕΣΘΑ. περιηρχό-
μεθα ἀνεστρεφόμεθα. ΩΡΣΑΝ. διήγειραν. ΟΡΕΣ-
ΚΩΟΥΣ. τὰς ἐν ὄρει διατριβούσας. ΚΑΜΠΥΛΑ.
ἐπικαμπῆ. ΑΙΓΑΝΕΑΣ ΔΟΛΙΧΑΥΛΟΥΣ. ἀκόν-
τια ἐπιμήκεις τοὺς αὐλοὺς ἔχοντας, ὅ ἐστι τὸν
σίδηρον. ΕΙΛΟΜΕΘΑ. ἐλαβόμεθα. ΜΕΝΟΕΙΚΕΑ.
τῷ μένει ἁρμόζουσα. ΕΞΕΛΟΝ. ἐξαίρετον ἔδω-
καν. ΠΡΟ ΠΑΝ ΗΜΑΡ. δι᾽ ὅλης τῆς ἡμέρας. ΠΕ-
ΛΙΟΝ ΚΑΤΑΔΥΝΤΑ. περὶ δύσεως ἡλίου. ΑΣΠΕ-
ΤΑ. πολλά. ΜΕΘΥ. οἶνον. ΕΞΕΦΘΙΤΟ. δεδα-
πάνητο ἀνάλωτο. ΗΚΥΣΑΜΕΝ. ἠντλήσαμεν. ΑΛΛ᾽
ΕΝΕΗΝ. ἀλλ᾽ ἐνῆν. ΑΜΦΙΦΟΡΕΥΣΙΝ. ἀγγείοις διώ-
τοις. ΕΛΕΥΣΟΜΕΝ. ἐθεώμεθα ἑωρῶμεν ἐβλέπομεν.
ΡΗΓΜΙΝΙ. τῷ αἰγιαλῷ. ΘΕΜΕΝΟΣ. ποιησάμενος.

ΦΙΛΟΞΕΝΟΙΟ.

ΦΙΛΟΞΕΝΟΙΟ. Φιλοξένου. ΕΠ' ΕΣΧΑΤΙΗ. ἐπὶ τῷ
ἐσχάτῳ καὶ τελευταίῳ μέρει. ΠΟΛΙΗΝ. λευκήν.
ΚΑΤΗΡΕΦΕΣ. κατεσκευασμένον. ΜΗΛ' ΟΙΕΣ ΤΕ
ΚΑΙ ΑΙΓΕΣ. προτάξας τὸ γένος ἐπήνεγκε τὸ
εἶδος. ΙΑΥΕΣΚΟΝ. διενυκτέρευον ἐκάθευδον.
ΔΕΔΜΗΤΟ. ἐδέδομητο ᾠκοδόμητο. ΚΑΤΩΡΥ-
ΧΕΕΣΣΙ. τοῖς ἐν τῇ γῇ ἐνορυγμένοις, ὅ ἐστι τε-
θεμελιωμένοις. ΤΡΙΚΟΜΟΙΣΙΝ. ἐν ὕψει κομώσαις.
ΕΝΙΑΥΕ. διέτριβεν ἢ ἐκάθευδεν. ΠΩΛΕΙΤΟ. ἀνε-
στρέφετο. ΑΘΕΜΙΣΤΙΑ. ἄδικα. ΡΙΩ. ἀκρωτηρίῳ, ὄ-
ρους ἐξοχῇ. ΕΡΥΣΘΑΙ. φυλάξαι. ΜΑΡΩΝ. εὐάνθους
υἱός, εὐάνθης δὲ διονύσου. ΑΜΦΙΒΕΒΛΗΚΕΙ. κατεῖ-
χεν ἐφύλαττεν. ΠΕΡΙΣΧΟΜΕΘΑ. περιεσώσαμεν
ἐφυλάξαμεν. ΑΖΟΜΕΝΟΙ. σεβόμενοι ἐντρεπό-
μενοι. ΑΛΣΕΙ. ὑψηλῷ καὶ πόαν ἔχοντι τόπῳ.
ΑΦΥΣΑΣ. ἀντλήσας. ΑΚΗΡΕΣΙΟΝ. καλὸν καὶ ἀδιά-
φθαρτον ἢ ἀκέραιον. ΥΔΑΤΟΣ Δ' ΑΝΑ ΕΙΚΟΣΙ.
προῳκονόμησεν ἵνα μὴ ζητῶμεν πῶς ὁ τοσοῦ-
τος ἐκορέσθη. ΑΠΟΣΧΕΣΘΑΙ. ἀποστῆναι. ΕΠΕΛΕΥ-
ΣΕΣΘΑΙ. ἐπελθεῖν. ΕΠΙΕΙΜΕΝΟΝ. περιβεβλημένον.
ΔΜΩΩΝ. οἰκετῶν δούλων. ΕΡΥΘΡΟΝ. πυρρόν. ΗΙΑ.
ἄλφιτα. ΚΩΡΥΚΩ. θυλάκῳ. ΑΝΤΡΟΝ. τὸ σπήλαιον.
ΕΝΟΜΕΥΕΝ. ἐνέμεν. ΝΟΜΟΝ ΚΑΤΑ. εἰς τὴν κα-
τανομήν. ΕΘΗΕΥΜΕΘΑ. ἐθεωροῦμεν ἐθαυμάζομεν.
ΤΑΡΣΟΙ. οἱ καλαθίσκοι, ἐν οἷς τυροκομοῦσιν καὶ
ἐκτυποῦνται

Bacchus
Euanthé
Maronē



ἐκτυποῦνται οἱ τυροί, λέγονται δὲ καὶ τάλαροι, καὶ
ψυγοὶ ἢ ψυκτῆρες. διὰ ὅτι ἐν αὐτοῖς τὸ γάλα ψύ-
χεται, ἔστι δὲ ἀγγεῖα πλεκτά. ταρσοὶ δὲ παρὰ τὸ
τέρσαι ὅ ἐστι ξηρᾶναι. ΒΡΙΘΟΝ. ἐπεπεπλήρωντο. ΣΗ-
ΚΟΙ. αἱ μάνδραι καὶ περίβολοι ἐν οἷς συγκέκλει-
σται τὰ θρέμματα ἢ καταδύσεις τῶν θρεμμά-
των. ΣΤΕΙΝΟΝΤΟ. ἐστενοχωροῦντο. ΔΙΑΚΕΚΡΙΜΕ-
ΝΑΙ. διακεχωρισμέναι ἢ ἐπίλεκτοι. ΕΡΧΑΤΟ.
συνείχοντο συγκεκλεισμένοι ἦσαν. ΠΡΟΓΟΝΟΙ.
προγενέστεραι παλαιότεραι ἢ μεγαλειέστεραι τῇ ἡλι-
κίᾳ. ΜΕΤΑΣΣΑΙ. μέσαι μεσήλικες. ΕΡΣΑΙ. αἱ νεο-
γναὶ καὶ δροσώδεις καὶ ἁπαλαί. ἀπὸ τῆς ἔρσης. ἢ ἐν-
δεεῖς τῇ ἡλικίᾳ. ΝΑΟΝ. νῶν ἀντὶ τοῦ περιέρρεοντο καὶ
καταρρέοντο ἢ ἐπεπλήρωντο, ἢ ᾤκουν. ΟΡΩ. τῷ
διεφθορότι γάλακτι ἢ τῇ ὑποστάθμῃ τοῦ γάλακτος,
ὀρὸς γὰρ λέγεται ἡ τοῦ γάλακτος ὑδατώδης ὑπό-
στασις. ΓΑΥΛΟΙ ΤΕ. ἀγγεῖα ποιμενικὰ σκαφοειδῆ
εἰς ἃ οἱ ποιμένες ἀμέλγοντες δέχονται τὸ γά-
λα. εὐθετοῦσι δὲ καὶ εἰς τυροῦ ἀπόθεσιν. ΣΚΑΦΙ-
ΔΕΣ. ὑποκοριστικῶς αἱ σκάφαι. ΤΕΤΥΓΜΕΝΑ. κα-
τεσκευασμένα. ΤΟΙΣΙΝ. ἐν οἷς. ΑΙΝΥΜΕΝΟΥΣ.
αἴροντας βαστάσαντας. ΕΡΑΤΕΙΝΟΣ. ἀγαπητὸς καὶ
ἐπέραστος. ἢ ἡδὺς καὶ προσηνής. ΚΗΑΝΤΕΣ. καύ-
σαντες ἀνάψαντες. ΑΙΝΥΜΕΝΟΙ. λαμβάνον-
τες. ΝΕΜΩΝ. βόσκων. ΙΝΑ ΟΙ ΠΟΤΙ ΔΟΡΠΙΟΝ
ΕΙΗ.

σηκοί

ὀρός

βρέφος ἔμβρυον

ΕΠΙ. ἀντὶ τοῦ ἵνα αὐτῷ δειπνοῦντι φῶς παρείη. ΕΚΤΟΣΘΕΝ Δ' ΑΝΤΡΟΙΟ ΒΑΛΩΝ. τὴν συρφετώδη ὕλην. ΑΧΘΟΣ. φόρτον. ΑΖΑΛΕΗΣ. ξηρᾶς. ΑΠΕΣΣΥΜΕΘΑ. ἀνεχωρήσαμεν. ΘΥΡΗΦΙ. ἔξω. ΘΥΡΕΟΝ. τὸν μοχλόλιθον. ΤΕΤΡΑΚΥΚΛΟΙ. τετράτροχοι. ΟΧΛΙΣΣΕΙΑΝ. κινήσειαν. ΗΛΙΒΑΤΟΝ. ὑψηλόν. ΤΟΣΣΗΝ. τοσαύτην. ΥΠ' ΕΜΒΡΥΟΝ ΗΚΕΝ. ὑπέθηκεν ἔμβρυον. Ὅμηρος δὲ ὑπεναντίον τῆς συνηθείας. βρέφος μὲν λέγει τὸ κατὰ γαστρός. ἔμβρυον δὲ τὸ νεογνὸν ἢ τὸ τέκνον. ΘΡΕΞΑΣ. πήξας. ΑΜΗΣΑΜΕΝΟΣ. προσενεγκάμενος συναγαγών. ΕΣΤΗΣΕΝ ΑΓΓΕΣΙΝ. εἴασεν ἐν τοῖς ἀγγείοις. ΑΙΝΥΜΕΝΩ. ἐπιθυμοῦντι λαμβάνοντι. ΣΠΕΥΣΕ. ἐκακοπάθησε. ΠΟΝΗΣΑΜΕΝΟΣ. ἐνεργήσας πράξας. ΑΠΟΠΛΑΓΧΘΕΝΤΕΣ. πλανηθέντες. ΙΕΜΕΝΟΙ. ἐπιθυμοῦντες. ΥΓΡΑ ΚΕΛΕΥΘΑ. τὴν διὰ θαλάσσης ὁδόν. ΜΗΤΙΣΑΣΘΑΙ. ἐργάσασθαι. ΔΙΕΠΕΡΣΕΝ. διεπόρθησεν. ΚΙΧΑΝΟΜΕΝ. παραγινόμεθα. ΙΚΟΜΕΘΑ. ἱκετεύομεν. ΠΟΡΟΙΣ. παράσχοις. ΠΑΡΘΕΜΕΝΟΙ. παραβάλλοντες. ΔΩΤΙΝΗΝ. δωρεάν. ΕΠΙΤΙΜΗΤΩΡ. ἐπόπτης βοηθός. ΔΕΙΔΕΜΕΝ. φοβηθῆναι. ΟΠΗΔΕΙ. ἀκολουθεῖ. ΑΛΕΑΣΘΑΙ. ἐκκλῖναι φυλάξασθαι. ΔΙΟΣ ΑΙΓΙΟΧΟΥ ΑΛΕΓΟΥΣΙΝ. ἀσεβὴς ὢν ὁ πολύφημος διαβάλλει καὶ τοὺς λοιπούς. ὅτι καὶ ἐκεῖνοι οὐκ ἦσαν ἄθεοι παρίστησιν ὁ ποιητὴς λέγων. νοῦσον γ' οὔπως ἔστι Διὸς

μεγάλου



μεγάλου ἀλέασθαι. ΠΕΦΙΔΟΙΜΗΝ. φεισαίμην. ΕΣΧΕΣ. κατέσχες. ΠΕΙΡΑΖΩΝ. ἐνεδρεύων. ΑΤΟΡΡΟΝ. πάλιν οὐχ ἁπλῶς. ΕΥΕΡΓΕΑ. τὴν καλῶς κατεσκευασμένην. ΥΜΗΣ. ὑμετέρας. ΠΡΟΣΠΕΛΑΣΑΣ. προσεγγίσας ἀντὶ τοῦ προσρήξας. ΙΑΛΛΕ. ἐπέβαλλεν. ΜΑΡΨΑΣ. ἁρπάσας συλλαβών. ΚΟΨΕ. συνέτριψε. ΣΚΥΛΑΚΑΣ. τοὺς νεογνοὺς κύνας. ΟΥΔ' ΑΠΕΛΕΙΠΕΝ. διὰ τοῦτο οὐδὲ ἐκλειψάνου τινὸς μηνύοντος ἐπέγνω τὴν ὠμότητα αὐτοῦ ὁ ὀδυσσεύς. ΜΥΕΛΟΕΝΤΑ. μυελοῦ πλήρη. ΜΕΛΕΙΣΤΙ. κατὰ μέλος. ΩΠΛΙΣΣΑΤΟ. παρεσκεύασεν. ΑΝΕΣΧΕΘΟΜΕΝ. ἀνετείναμεν. ΑΜΗΧΑΝΙΗ. ἀπορία. ΕΠΛΗΣΑΤΟ. ἐπλήρωσεν ἐκόρεσεν. ΝΗΔΥΝ. τὴν γαστέρα. ΑΝΔΡΟΜΕΑ. ἀνθρώπεια. ΕΔΩΝ. ἐσθίων. ΤΑΝΥΣΣΑΜΕΝΟΣ. ἐκταθείς, ἐμφαντικῶς δὲ ἐδήλωσε τὸ μέγεθος. ΒΟΥΛΕΥΣΑ. ἐβουλευσάμην. ΟΥΤΑΜΕΝΑΙ. τρῶσαι. ΟΘΙ ΦΡΕΝΕΣ ΗΠΑΡ ΕΧΟΥΣΙΝ. ὅπου αἱ φρένες τὸ ἧπαρ συνέχουσιν. ΕΠΙΜΑΣΣΑΜΕΝΟΣ. ἐφαψάμενος. ΑΜΜΕΝ. ἡμεῖς. ΕΤΕΡΟΣ. ἄλλος. ΘΥΜΟΣ. νοῦς λογισμός. ΘΥΡΕΟΝ. λίθον. ΡΟΙΖΩ. ἀσήμῳ φωνῇ συριγμῷ. ΤΙΣΑΙΜΗΝ. τιμωρησαίμην. ΡΟΠΑΛΟΝ. ξύλον. ΣΗΚΩ. τῇ μάνδρᾳ. ΧΛΩΡΟΝ. νεωστὶ ἐκκοπέν. ΕΚΤΑΜΕΝ. ἐξέκοψεν. ΦΟΡΟΙΗ. φέροι βαστάζοι. ΑΥΑΝΘΕΝ. ξηρανθέν. ΕΣΚΟΜΕΣ. ἀπεικάζομεν. ΦΟΡΤΙΔΟΣ. φορτηγοῦ.

ΟΡΓΥΑ.

ΟΡΓΙΑ. ἐκπεταμένωμ τῶν χειρῶμ τὸ διάςημα ὀρ-γυιά ἐςί. ΕΘΟΩΣΑ. ἀπώξυνα ἐκ τοῦ συνωνύμου τὸ ὁμώνυμομ. ὁ τρόπος μετάληψις. ΕΠΥΡΑΚΤΕΟΝ. ἐπύρουν εἰς τὸ δαλὸμ ποιῆσαι. ΚΗΛΕΩ. καυτικῷ. ΗΛΙΘΑ. χύδημ, ἤγουν τὸ ἅλις ἢ ἀθρόως δαψιλῶς. ΠΕΠΑΛΑΧΘΑΙ. κληρωθῆναι. ΕΛΕΓΜΗΝ. ἠριθμημένημ. ΕΣΠΕΡΙΟΣ. δυτικός. ΝΟΜΕΥΩΝ. βόσκωμ. ΟΙΣΣΑ-ΜΕΝΟΣ. ὑπολαβώμ. ΚΙΣΣΙΒΙΟΝ. ἤτοι ποιμενικὸμ ποτήριομ ἐκ κισσίνου ξύλου κατεσκευασμένομ. ἢ ὄνομα κύριομ ποτηρίου. ἢ ἔχον κισσὸμ ἔξωθεμ. ΤΗ. λαβέ, δέξαι. ΛΟΙΒΗΝ. σπονδὴν. ΕΚΕΚΕΥΘΕΙ. ἔκρυ-πτεμ. ΟΥΚ ΕΤ' ΑΝΕΚΤΟΣ. οὐκ ἀνασχετῶς οὐκ ὑπο-μενετικῶς. ΣΧΕΤΛΙΕ. ἄδικε. ΙΚΟΙΤΟ. ἱκετεύοι. ΕΡΕ-ΞΑΣ. ἔπραξας. ΗΣΑΤΟ. ἥσθη ἐτέρφθη ἐχάρη εὐφράν-θη. ΕΡΙΣΤΑΦΥΛΟΝ. μεγαλοστάφυλομ. ΑΠΟΡΡΩΞ. ἀπόρροια ἀπόσπασμα. ΑΦΡΑΔΙΗΣΙΝ. ἀνοίαις. ΕΔΟ-ΜΑΙ. βρώσομαι. ΑΠΟΔΟΧΜΩΣΑΣ. πλαγιώσας. δο-χμὸς γὰρ τὸ πλάγιομ. ΗΡΕΙ. καταλάμβανεμ. ΦΑ-ΡΥΓΓΟΣ. συνεκδοχικῶς τοῦ σώματος. ΕΞΕΣΣΥΤΟ. ἐξεῖη. ΨΩΜΟΙ. σαρκὸς μέλη. ΟΙΝΟΒΑΡΕΙΩΝ. βε-βαρημένος ὑπὸ οἴνου. ΗΛΑΣΑ. ὑπέβαλομ. ΕΙΠΩΣ. ὅπως, ἵνα. ΠΑΝΔΑΜΑΤΩΡ. ποιητικῶς ὁ ὕπνος ὁ πάντας δαμάζωμ καὶ θεοὺς καὶ ἀνθρώπους. ΘΑΡ-ΣΥΝΟΝ. διέγειρον. ΑΝΑΔΙΗ. παραιτέσηται. ΑΥΑΣΘΑΙ. ἀφθήσεσθαι. ΔΙΕΦΑΙΝΕΤΟ. διαφανὴς ἦμ ὅτι πεπυ-

ρωτο.



ρωτο. ΕΝΕΠΝΕΥΣΕ. ἐνέβαλεμ. ΕΝΕΡΕΙΣΣΑΝ. ἐπι-βάρησαν ἐνέπηξαν. ΔΙΝΕΟΝ. ἔστρεφομ. ΔΟΡΥ. ναυ-πηγήσιμομ ξύλομ. ΥΠΟΣΕΙΟΥΣΙ. τὸ πλῆξες τρύπα-νομ. ΑΨΑΜΕΝΟΙ. ἅψαντες δήσαντες. ΠΥΡΙΕΙΚΕΑ. πε-πυρωμένομ. ΔΙΝΕΟΜΕΝ. ἐστρέφομεν. ΕΥΣΕΝ. ἐφλόγι-σεν. ΣΦΑΡΑΓΕΥΝΤΟ. διετείνοντο περιετείνοντο ἢ κατε-τείνοντο, ἢ ἐταράσσοντο. ΓΛΗΝΗΣ. κόρης. ΙΑΧΟΝΤΑ. ἠχοῦντα. ΦΑΡΜΑΣΣΕΝ. φαρμακεύων στομῶμ στο-μοτριῶμ. σιδήρου τε κράτος ἐςί, τὸ βάψαι ψυχρῷ τὸ πεπυρωμένομ σίδηρομ, ἰσχυρὸμ γὰρ αὐτὸμ ποιεῖ. ΣΙΖΕ. καὶ τοῦτο ὠνοματοπεποίηται ἀπὸ τοῦ κατὰ τὸ λί-πος γινομένου σισιλισμοῦ. ὅ ἐςὶ συνεχείας. ΕΞΕΡΥΣΕΝ. ἐξείλκυσεμ. ΠΕΦΥΡΜΕΝΟΝ. ἡμαγμένον. ΑΛΥΩΝ. ἀδημονῶν δυσφορῶν. ΗΠΥΕΝ. ἐβόα. ἐκάλει. ΑΜΦΙΣ ΩΚΕΟΝ. περιῴκουν. ΔΥΗ. λύπη. ΔΙ' ΑΚΡΙΑΣ. τοὺς μεταξὺ τῶν ἀκρωτηρίωμ τόπους ἢ τὰς τῶν ὀρῶμ ἀκρωρείας. ΗΝΕΜΟΕΣΣΑΣ. ὑψηλὰς ὑπὸ ἀνέ-μωμ καταπνεομένας. ΕΦΟΙΤΩΝ. περιήεσαμ. ΕΙΡΟΝ-ΤΟ. ἠρώτωμ. ΟΤΤΙ Ε. ὅτι περὶ αὐτόμ. ΚΗΔΕΙ. λυπεῖ βλάπτει. ΑΡΗΜΕΝΟΣ. βεβλαμμένος. ΤΙΘΗΣΘΑ. διατίθεσαι ποιεῖς. ΕΛΑΥΝΕΙ. ἀπελαύνει. ΣΤΕΙΧΟΝ-ΤΑ. πορευόμενομ. ΒΟΥΛΕΥΟΝ. ἐβουλευόμεθα. ΣΥΝΕ-ΕΡΓΟΝ. συνέδεομ. ΤΗΣ ΕΠΙ. ἐφ' ἧς. ΘΥΡΑΖΕ. ἔξω. ΙΟΔΝΕΦΕΣ. μέλαν. ΗΣΑΤΟ. ἥσθη εὐφράνθη. ΛΥΓΟΙ-ΣΙ. ἱμαντώδεσι φυτοῖς. ΕΙΡΟΣ. ἔριομ. ΑΙΝΥΜΕ-

 ΝΟΣ.

ΝΟΣ. λαμβάνων. ΦΕΡΕΣΚΕ. ἔφερεν, ἐβάσαζεν. ΙΤΗΝ. ἐπορεύοντο. ΦΕΡΟΝ. ἐβάσαζον. ΑΡΝΕΙΟΣ. κριός. ΛΑΣΙΗΝ. δασεῖαν. ΕΛΥΣΘΕΙΣ. συστραφεὶς εἱλκυσθείς. ΑΩΤΟΥ. τοῦ ἄνθους. λέγει δὲ τοῦ ἐρίου. ΘΕΣΠΕΣΙΟΙΟ. λαμπροῦ ἢ πολλοῦ. ΣΤΡΕΦΘΕΙΣ. περιστρεφθείς, περιστρέψας τὰς χεῖρας. ΕΧΟΜΗΝ. ἀντεχόμην, κατεῖχον. ΕΜΕΜΗΚΟΝ. ἀντὶ τοῦ ἐβληχῶντο. ΟΥΘΑΤΑ. οἱ μαστοί. ΣΦΑΡΑΓΕΥΝΤΟ. πεπλήρωντο. ΤΕΙΡΟΜΕΝΟΣ. καταπονούμενος. ΕΠΕΜΑΙΕΤΟ. ἐφήπτετο, ἐπελαμβάνετο. ΕΙΡΟΠΟΚΩΝ. ἐρίοις κομώντων. ΥΣΤΑΤΟΣ. ἔσχατος τελευταῖος. ΕΣΤΕΙΧΕ. ἐπορεύετο. ΛΑΧΜΩ. τῇ δασύτητι τῶν μαλλῶν, γράφεται καὶ λάχνῳ παρωνύμως τῇ λάχνῃ. ΠΥΚΙΝΑ. συνετὰ φρόνιμα. ΕΣΣΥΟ. ὥρμησας ἐξῆλθες. ΣΤΕΙΝΟΜΕΝΟΣ. βαρυνόμενος. ΝΕΜΕΑΙ. βόσκεις ἐσθίεις. ΚΑΙ ΕΜΟΙ. ἀντὶ τοῦ καὶ ὑπ' ἐμοί. ΠΟΙΗΣ. πόας. ΕΠΙΜΑΣΣΑΜΕΝΟΣ. ἐφαψάμενος. ΕΞΕΛΑΩΣΕΝ. ἐτύφλωσεν. ΛΥΓΡΟΙΣ. χαλεποῖς. ΔΑΜΑΣΣΑΜΕΝΟΣ. δαμάσας ἀντὶ τοῦ ἀλλοιώσας. ΟΜΟΦΡΟΝΕΟΙΣ. τὰ αὐτά μοι βουλοιο. ΦΩΝΗΕΙΣ. λαλῆσαι δυνάμενος. ΠΟΤΙΦΩΝΗΕΙΣ. ὁμόφωνος. ΗΛΑΣΚΑΖΕΙ. ἐκκλίνει περιφεύγει. ΘΕΙΝΟΜΕΝΟΥ. τυπτομένου. ΤΩΚΕ. διὸ ἄν. ΡΑΙΟΙΤΟ. διαφθείροιτο. ΗΒΑΙΟΝ. ὀλίγον. ΑΠΟΦΗΣΕΙΕ. παύσεται ἡ λέξις. ΤΑΝΑΥΠΟΔΑ. τεταμένοις

μένοις



μένοις τοῖς ποσὶ βαδίζοντα, ἢ ἰσχνόποδα, ἢ τανόποδα. τανὸν γὰρ τὸ μῆκος. ἢ τοὐναντίον νεύοντα, τοὺς πόδας διὰ τὸν ἑλιγμὸν τῆς πορείας οὐκ εἰλοῦντα ὡς οἱ βόες. ΠΕΡΙΤΡΟΠΕΟΝΤΕΣ. περιτρέποντες, συγκλείοντες. ΑΣΠΑΣΙΟΙ. ἐπιθυμητοί. ΣΤΕΝΑΧΟΝΤΟ. ἐστέναζον. ΓΟΟΩΝΤΕΣ. θρηνοῦντες. ΚΡΑΤΕΡΗΦΙ ΒΙΗΦΙ. τῇ ἰσχυρᾷ δυνάμει τὸ πάθος. ΑΖΕΟ. ἐνετρέπου. ΤΙΣΑΤΟ. ἐτιμωρήσατο. ΧΟΛΩΣΑΤΟ. ὠργίσθη. ΚΗΡΟΘΙ. ἐκ ψυχῆς. ΚΥΑΝΟΠΡΩΡΟΥ. μελανοπρώρου. ΕΔΕΥΣΕΝ. ἐδέησεν, ἢ ἐνέλιπεν. ΟΙΗΙΟΝ. πηδάλιον. παρὰ τὸ οἰακίζειν ὅ ἐστι κατευθύνειν. ΗΠΕΙΡΟΝΔΕ. εἰς τὴν γῆν. ΠΑΛΙΡΡΟΘΙΟΝ. τὸ εἰς τοὐπίσω φερόμενον κῦμα. ΕΚΛΥΣΘΗ. ἐκλυδωνίσθη. ΠΛΗΜΜΥΡΙΣ. πλημμύρα ἢ τῆς ἁλὸς ἐπανάστασις, ἢ κλύδωνος φορά, ἢ ἀνάψυσις. ΘΕΜΩΣΕ ΔΕ ΧΕΡΣΟΝ ΙΚΕΣΘΑΙ. ἐγγίσαι ἐποίησεν τῇ γῇ. ΩΣΑ ΠΑΡΕΞ. ἀπέωσα εἰς τὸ ἐκτός. ΠΡΟΠΕΣΟΝΤΕΣ. σφοδρῶς ἐπιπεσόντες καὶ ἐγκείμενοι. ΕΡΕΣΣΟΝ. ἐκωπηλάτουν. ΧΕΡΣΟΝ. γῆν. ΑΛΛΟΤΕ ΤΟΣΣΟΝ. πῶς ὅσον ἀπέχω προείρηκε τι, ἀλλ' ὅτε τόσον ἀπῆν ὅσον τε γέγωνε βοήσας. ἤτοι μεγαλόφωνος ὁ Ὀδυσσεύς, ἢ δὶς ἐπὶ τὸ αὐτὸ μέρος ἀπεχόμενοι πάλιν, οὕτω γὰρ ἡ ναῦς ἠνέχθη. ΠΡΗΣΣΟΝΤΕΣ. διαπερῶντες. ΑΠΗΜΕΝ. ἀφεὶς ἡμῖν. ΒΕΛΟΣ. βλῆμα νῦν δὲ τὸν βληθέντα λίθον λέγει.

ΣΥΝΚΕΝ ΑΡΑΞ. συνέτριψεν. ΙΗΣΙΝ. ἀκοντίζει. ΟΚΡΥΟΕΝΤΙ. τραχεῖ. ΝΗΙΑ ΔΟΥΡΑ. τὰς ναῦς. ΕΙΡΗΤΑΙ. ἐρωτήσῃ. ΑΕΙΚΕΛΙΗΝ. δεινήν. ΚΕΚΟΤΗΟΤΙ. ὠργισμένῳ. ΑΛΑΩΤΥΝ. τύφλωσιν, στέρησιν ὀφθαλμῶν. ΦΑΣΘΑΙ. λέγειν, ἀντὶ τοῦ λέγε. ΤΟ ΔΕ ΕΞΑΛΑΩΣΑΙ. ἀντὶ τοῦ ἐκτυφλῶσαι. ΘΕΣΦΑΤΑ. μαντεύματα. ΠΑΛΑΙΦΑΤΑ. πάλαι πεφατισμένα, ἤτοι εἰρημένα. ΕΥΡΥΜΙΔΗΣ. εὐρύμου παῖς τηλέμαχος. ΑΜΑΡΤΗΣΕΣΘΑΙ. ἀποτυχεῖν. στερηθῆναι. ΟΠΩΠΗΣ. ὄψεως. ΕΔΕΓΜΗΝ. προσεδεχόμην. ΕΠΙΕΙΜΕΝΟΝ. περιβεβλημένον. ΑΚΙΚΥΣ. ἀσθενής. ΑΛΑΩΣΑΣ. ἐτύφλωσας. ΟΤΡΥΝΩ. παρασκευάσω προτρέψω. ΑΙΩΝΟΣ. βίου. ΕΥΝΙΝ. ἐστερημένον. ΩΣ ΟΥΚ ΟΦΘΑΛΜΟΝ ΓΕ. διὰ τὴν τύφλωσιν ἀλλ' οὐ διὰ τὰς φωνὰς ταύτας ὠργίσθη ὁ ποσειδῶν. τοῦτον γὰρ ὁ νοῦς. οὐδὲ ὁ ποσειδῶν ἰάσεται κακὸν ὄντα. ΚΥΑΝΟΧΑΙΤΑ. μελανόθριξ. ΕΠΙΔΙΝΗΣΑΣ. περιστρέψας. ΙΝ ΑΠΕΛΕΘΡΟΝ. δύναμιν πολλήν. ΕΔΕΥΗΣΕΝ Δ' ΟΙΗΙΟΝ. ἐπὶ τοῦ προτέρου ἀθετεῖται. πῶς γὰρ ἂν ἔμπαλιν ἡ ναῦς ἠνέχθη. ΠΡΟΣΩ. εἰς τοὔμπαλιν, πόρρω. ΑΘΡΟΑΙ. ὁμοῦ πᾶσαι. ΕΙΑΤΟ. ἐκαθέζοντο. ΟΔΥΡΟΜΕΝΟΙ. ἀποκλαιόμενοι. ΕΚΕΛΣΑΜΕΝ. ὡρμίσαμεν ἐνεωλκήσαμεν. ΔΑΙΟΜΕΝΩΝ. μεριζομένων διαιρουμένων. ΕΞΟΧΑ. ἐξόχως, ἐξαίρετον. ΟΥΚ ΕΜΠΑΖΕΤΟ. οὐ προσεποιεῖτο οὐκ ἐπεστρέφετο.



ἐπεστρέφετο. ΑΣΜΕΝΟΙ. χαίροντες. ΑΣΠΕΤΑ. πολλά. ΠΡΟΤΕΡΩ. εἰς τοὔμπροσθεν.

τέλος τοῦ ι.

## ΕΙΣ ΤΗΝ Κ.

ΑΙΟΛΙΗΝ Δ' ΕΣ ΝΗΣΟΝ. οὐ τὰς αἰόλου νήσους νῦν λεγομένας. ἀλλά τινα ἄλλην ἐκτετοπισμένην νῆσον λέγει. οἱ δὲ λέγοντες περὶ σικελίαν καὶ ἰταλίαν πεπλανῆσθαι τὸν ὀδυσσέα, λωτοφάγους μὲν λέγουσι τοὺς νῦν ἀκραγαντίνους. οἱ δὲ τοὺς καμαριναίους. κύκλωπας δὲ τοὺς λεοντίνους. τὰς δὲ αἰόλου νήσους τήν τε κατὰ τὸν πορθμὸν στρογγύλην καὶ τὰς λοιπὰς ἓξ διδύμην, ἱέραν, ἱκεσίαν, λιπάραν, ἐρικώδη, φοινικώδη. τινὲς δὲ ἀλληγοροῦντες, αἴολον μὲν λέγουσι τὸν ἐνιαυτόν. δώδεκα δὲ παῖδας τοὺς μῆνας. τινὲς δὲ ὅτι προετήρησεν ἀστρολογίας ἔμπειρος ὤν. ἡλίου ὄντος ἐν ταύρῳ ζέφυρον πνεῦσαι. οἱ γὰρ ἄνεμοι πνέουσιν ἐνίοτε καὶ καθ' ἑαυτοὺς ὡς καὶ πολλοὶ ἐν γῇ ἡμεῖς δίχα βασιλικοῦ προστασσόμενοι προστάγματος. τινὲς δὲ ταύτας τὰς νήσους ἐν τῷ τυρρηνικῷ πελάγει κεῖσθαι λέγουσιν.

Aeolia

Strongyle
Didyme
Hiera
Hicesia
Lipara
Ericodes
Phoenicodes

[Aeoli duo] ΑΙΟΛΟΣ ΙΠΠΟΤΑΔΗΣ. αἴολοι δύο, εὗτος μὲν ὁ ἱππότου οὗ μέμνηται. ἕτερος δὲ ἕλληνος, ὃς ἦν διός. οὗ
[Hesiod.] καὶ ἡσίοδος μέμνηται. ΠΛΩΤΗ. ἔνιοι μὲν τὸ πλεομένην, ἤγουν τὴν ἐν πλεομένοις τόποις κειμένην νῆσον. ὁ δὲ ἀρίσταρχος πλωτὴ φορητή. δῆλον περιφερομένην
[Aristar.] ὥστε ποτὲ μὲν ἐν τοῖς δεξιοῖς μέρεσι, ποτὲ δὲ ἐν τοῖς ἀριστεροῖς ἔσεσθαι. ὅμοιον δ᾽ ὅτι καὶ περὶ τῆς δήλου
[Pindar] ἱστορεῖ πίνδαρος λέγων οὕτως. ἦν γὰρ τὸ πάροιθε φορητὰ κυμάτεσσι δᾶλος παντοδαπῶν ἀνέμων ῥιπαῖς.
[Delos mobilis] ἐν δὲ ἄλλοις προσπλεομένη ὑπὸ ἀνθρώπων ἢ περιφερομένη ὑπὸ τῆς θαλάσσης. ἄμεινον δὲ τὸ πρότερον εἰ γὰρ ἐπέπλει τῇ θαλάσσῃ οὐκ ἂν οὐ δὲ ἐκ δευτέρου εὗρεν αὐτὴν ὀδυσσεὺς ἢ περιφερομένην. ΤΕΙΧΟΣ ΧΑΛΚΕΟΝ. ἰσχυρὸν καὶ ἀπρόσβατον γὰρ ἐστὶ διὰ τὴν περὶ αὐτὸ λειότητα. ΛΙΣΣΗ. λεία, ὁμαλή, ἢ ἀπρόσβατος. ΑΝΑΔΕΔΡΟΜΕ. εἰς ὕψος ἀνέδραμεν. ΗΒΩΟΝΤΕΣ. ἀκμάζοντες. ΚΕΔΝΗ. σώφρων, συνετή. ΚΝΙΣΗΕΝ. ἤτοι εὔοσμον, ἢ κνίσης μετέχον διὰ τὸ πλῆθος τῶν θυομένων. ΠΕΡΙΣΤΕΝΑΧΙΖΕΤΑΙ. περιηχεῖται. ΕΥΔΟΥΣΙ. καθεύδουσι. ΦΙΛΕΙ. φιλικῶς ὑπεδέχετο. ΕΞΕΡΕΕΙΝΕΝ. ἀκριβῶς ἠρώτα. ΗΤΕΟΝ. ᾔτουν, παρεκάλουν. ΑΝΗΝΑΤΟ. ἠρνεῖτο. ΕΝΝΕΩΡΟΙΟ. ἐνναετοῦς. ΒΥΚΤΑΩΝ. ἀθρόως πνεόντων, ἐκφυσώντων, πληρούντων τὰ ἱστία. ΚΕΛΕΥΘΑ. πνεύματα. ΤΑΜΙΗΝ. διοικητήν, φύλακα, ἢ προστάτην. ΚΑΤΕΔΕΙ. κατεδέσμευεν.

ΜΕΡΜΙΘΙ



ΜΕΡΜΙΘΙ ΦΑΕΙΝΗ. προῳκονόμησεν ἵνα τῶν δεσμῶν ἀπατήσωσιν οἱ ἑταῖροι, καὶ εἰ οὐ δὲ ἐκ τῆς κουφότητος ἦν γνωρίσαι, προσεδέδετο γάρ. ΜΕΡΜΙΘΙ. σχοινίῳ. ΕΚΤΕΛΕΣΣΕΙΝ. πληρώσειν. ΠΥΡΠΟΛΕΟΝΤΕΣ. πυρσεύοντας, πῦρ καίοντας, ἢ περὶ τὸ πῦρ ἀναστρεφομένους. ΕΛΕΥΣΟΜΕΝ. ἐβλέπομεν. ΠΟΔΑΝΗΟΣ. τὸν μεταγωγὸν τοῦ κέρατος, κάλων, ἢ τὸ πηδάλιον. [Pes nauis] ΕΝΩΜΩΝ. ἐκίνουν, μετέφερον. ΟΥΔΕ ΤΩ. οὐδενί. ΑΓΕΣΘΑΙ. κομίζειν. ΟΤΕΩΝ. ὧντινων. ΝΕΙΣΟΜΕΘΑ. ἀπελευσόμεθα. ΚΕΝΕΑΣ. κενὰς ματαίας. ΟΡΟΥΣΑΝ. ἀντὶ τοῦ ἐξῆλθον. ΕΓΡΟΜΕΝΟΣ. ἀναστάς. ΜΕΡΜΗΡΙΞΑ. ἐβουλευσάμην. ΛΗΙΔΟΣ. λείας. ΟΜΗΙΝ. ὁμοίων. ΑΠΟΦΘΙΜΗΝ. ἀποφθαρείην ἀναιρεθείην. ΖΩΟΙΣΙ. ζῶσι. ΜΕΤΕΙΗΝ. συνυπάρχοιμι. ΠΑΣΣΑΜΕΘΑ. ἐγευσάμεθα. ΒΗΝ. ἔβην, ἐπορεύθην. ΚΙΧΑΝΟΝ. κατέλαβον. ΕΧΡΑΕ. μανικῶς ἐπέθετο. ΕΖΟΜΕΘΑ. ἐκαθέσθημεν. ΕΝΔΥΚΕΩΣ. φιλοφρόνως. ΜΕΤΕΦΩΝΕΟΝ. ἐν αὐτοῖς ἔλεγον. ΑΑΣΑΝ. ἔβλαψαν. ΑΚΕΣΑΣΘΑΙ. ἰάσασθαι. ΕΛΕΓΧΙΣΤΕ. ἐπονείδιστε. ΑΠΕΧΘΗΤΑΙ. μισεῖται. ΕΙΡΕΣΙΗΣ. κωπηλασίας. ΜΑΤΙΗ. ματαιότητι, φρενοβλαβείᾳ. ΠΟΜΠΗ. παράπεμψις. ΛΑΜΟΥ ΑΙΠΥ ΠΤΟΛΙΕΘΡΟΝ. ἀπὸ τοῦ βασιλεύσαντος λαιστρυγόνος λάμου τοῦ ποσειδῶνος παιδός, ἢ ὄνομα λαιστρυγόνος. ΤΗΛΕΠΥΛΟΝ. μεγάλην, τῶν γὰρ τοιούτων πολὺ διεστῶσιν αἱ πύλαι.

 τινὲς

τινὲς δὲ τὸ κύριον τηλέπυλον ἐξεδέξαντο. οἱ δὲ τηλέπυλον φασὶ μακρόπυλον, οὐ τῷ διαστήματι, ἀλλὰ τῷ πλάτει τῆς πύλης, ἢ τῷ μήκει. ΛΑΙΣΤΡΙΓΟΝΙΗΝ. τὴν τῶν λαιστρυγόνων. λαιστρυγόνες δὲ οἱ τὴν λάμον οἰκοῦντες. ΗΠΥΕΙ. φωνεῖ. ΕΞΕΛΑΩΝ. ἐξελαύνων. ΕΙΣΕΛΑΩΝ. εἰσελαύνων. ΕΞΗΡΑΤΟ. ἀπηνέγκατο. ΑΡΓΥΡΑ. λευκά ἢ λαμπρά. ΠΟΙΜΕΝΑ. καταχρηστικῶς εἴρηκε ποιμένα ἀντὶ τὸν βουκόλον. ΟΘΙ ΠΟΙΜΕΝΑ ΠΟΙΜΗΝ. ὅπου οἱ νομεῖς ἀλλήλους προσφθέγγονται διὰ τὸ σύνεγγυς εἶναι τὰς νομάς. ἢ μᾶλλον τοῦ διαστήματος τὸ ἀπεναντίον τῶν πυλῶν μέτρον ἀπέχειν. ἀντὶ οὕτως τὴν φωνὴν ἐξακούεσθαι τοῦ τε εἰσελαύνοντος καὶ τοῦ ἐξελαύνοντος. ΕΓΓΥΣ ΓΑΡ ΝΥΚΤΟΣ ΤΕ ΚΑΙ ΗΜΑΤΟΣ ΕΙΣΙ ΚΕΛΕΥΘΟΙ. αἱ νυκτεριναί, καὶ ἡμεριναὶ νομαὶ ἐγγύς εἰσι τῆς πόλεως. φασὶ δὲ τοὺς λαιστρυγόνας κατεσχηκέναι τὴν τῶν λεοντίνων περὶ σικελίαν χώραν ἐν ᾗ γίνεσθαι πολλοὺς μύωπας καὶ τὸν οἶστρον. ὥστε τὰ μὲν λάσια τῇ ἡμέρᾳ νέμεσθαι. τὰ δὲ ψιλὰ τῇ νυκτί. καὶ οὕτως τὸν δυνάμενον ἀγρυπνεῖν δύο μισθοὺς ἀποφέρεσθαι. κράτης δέ φησι κατὰ τὴν τοῦ δράκοντος αὐτοὺς κατηστερίσθαι κεφαλὴν περὶ ἧς ἄρατος λέγει. κείνη που κεφαλὴ τῇ νείσεται. ἧχί περ ἄκραι μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλοισιν. ὥστε πλείω μὲν

εἶναι

*Lamos* · *Læstrygones ubi* · *Crates* · *Aratus*



εἶναι τὴν ἡμέραν, ὀλίγην δὲ τὴν νύκτα, ὡς ἀνάπαλιν παρὰ τοῖς κιμμερίοις. εἴ τις οὖν ἐδύνατο διαγρυπνεῖν, διττοὺς ἐκομίζετο μισθούς. ΤΕΤΥΧΗΚΕΝ. ἔστιν. ὑπάρχει. ΔΙΑΜΠΕΡΕΣ. ἀντὶ τοῦ ἐπιμήκεις. ΑΚΤΑΙ ΔΕ ΠΡΟΒΛΗΤΕΣ. αἱ προσβεβλημέναι ἐν τῇ θαλάσσῃ πέτραι, καὶ προέχουσαι ἀπὸ τῶν αἰγιαλῶν, καὶ στενὸν ποιοῦσαι τὸν εἴσπλουν. ΗΛΙΒΑΤΟΥ. ὑψηλῆς. ΑΡΑΙΗ. λεπτὴ καὶ στενή. ΣΚΟΠΙΗΝ. ὑψηλὸν τόπον. ΠΡΟΥΧΟΥΣΙ. προέχουσιν ὅ ἐστι προβέβληνται. ΠΑΙΠΑΛΟΕΣΣΑΝ. τραχεῖαν ἔνθεν κἀν τῇ συνηθείᾳ παιπάλιμον λέγομεν ἄνδρα τὸν τραχὺν, καὶ μὴ ἁπλοῦν. ΑΙΣΣΟΝΤΑ. ἀνιόντα. ΠΡΟΙΕΙΝ. προέπεμπον. ΛΕΙΗΝ. λείαν ὁμαλήν. ΚΑΤΑΓΙΝΕΟΝ. κατέφερον. ΞΥΜΒΛΗΝΤΟ. ἤρχοντο. ΚΑΛΛΙΡΡΕΘΡΟΝ. καλὰ ῥεύματα ἔχουσαν. ΑΡΤΑΚΙΗΝ. ὄνομα κρήνης. εἶπον δὲ τὸ ὄνομα παρ' αὐτῆς μεμαθηκότες. λέγει γὰρ οἶδα καὶ αὐτή, ἡ μὲν ὅσ' ἐν πόντῳ πάθετ' ἄλγεα. ἢ κατὰ τὸ σιωπώμενον παρὰ τῶν φυγόντων παρὰ τῆς κόρης ἐπύθοντο. ΕΠΕΦΡΑΔΕΝ. ἐσήμανεν. ἔδειξεν. ΚΑΤΑ Δ' ΕΣΤΥΓΟΝ. κατεπλάγησαν. ΦΟΙΤΩΝ. παρεγίνοντο. ΑΝΔΡΑΧΘΕΣΙ. τοῖς δυναμένοις ἄνδρα καταβαρύνειν. ἢ μέγα βάρος παρέχουσι τοῖς βαστάζουσι. ΚΟΝΑΒΟΣ. ἦχος. ΙΧΘΥΣ Δ' ΩΣ ΠΕΙΡΟΝΤΕΣ. ἀντὶ τοῦ σπαιρόμενοι καὶ περῶντες ὥσπερ ἰχθύες. ἢ διαπεί-

ροντες

Aeæa insula, nunc circaeum

Perse

Hesiod

ῥοῦντες ὡς ἰχθύας, γράφεται καὶ σπαίροντες, πείροντες δὲ καὶ ἀντὶ τοῦ διείροντες. ΦΕΡΟΝΤΟ. προσεφέροντο. ΑΝΕΡΡΙΨΑΝ. ἐκωπηλάτησαν. ΑΓΝΥΜΕΝΑΩΝ. συντριβομένων. ΕΠΗΡΕΦΕΑΣ. ἤτοι ἄνωθεν ἐπηρεφεῖς, ἢ ἐπικεκλιμένας πέτρας. ΑΟΛΛΕΕΣ. ὁμοῦ πᾶσαι. ΑΙΑΙΗΝ. ταύτην ἔνιοί φασι τὸ νῦν κίρκαιον πρὸς τῇ ἰταλίᾳ. ΑΥΔΗΕΣΣΑ. ἤτοι περιβόητος, ἢ εἰς διάλεξιν καὶ προσαγόρευσιν ἀνθρώποις ἐρχομένη, ἢ καθὸ ἐπιχώριος ἐστίν. ΟΛΟΟΦΡΟΝΟΣ. τοῦ συνετὰ καὶ ὁλόκληρα φρονοῦντος. ΕΚΓΕΓΑΤΗΝ. ὑπάρχουσιν. ΠΕΡΣΗΣ. πέρση ὠκεανοῦ μὲν ἐστὶ θυγάτηρ, ἡλίου δὲ γυνή, καὶ πέρσης τῆς ὠκεανοῦ αἰήτης καὶ κίρκη, ἡσίοδος δὲ καὶ τὴν ἑκάτην περσηίδα λέγει. ΑΙΗΤΗΣ. κόλχων βασιλεύς, πατὴρ μηδείας, κίρκης ἀδελφός. ΦΑΕΣΙΜΒΡΟΤΟΙ. τὸ φῶς τοῖς ἀνθρώποις φαίνοντος. ΑΚΤΗΣ. παραθαλασσίου τόπου. ΝΑΥΛΟΧΟΝ. τὸν εἰς φυλακὴν τῶν νεῶν ἐπιτήδειον τόπον, ἢ τὰς ναῦς κρύπτοντα, ἢ ὑποδεχόμενον. ΑΝΗΙΟΝ. ἀνῆλθον. ΔΙΑ ΔΡΥΜΑ. διὰ τῶν δρυμωδῶν, καὶ συνδένδρων τόπων. ΑΙΘΟΠΑ ΚΑΠΝΟΝ. τὸν ἐκ τοῦ αἴθεσθαι. ΕΕΙΣΑΤΟ. ἐφάνη. ΠΕΡΙΩΠΗΝ. τόπον ὑψηλόν, ἀφ' οὗ ἐστὶ περισκέψασθαι, καὶ ἀποσκοπῆσαι. ΠΡΟΕΜΕΝ. προπέμψαμεν. ΟΛΟΦΥΡΑΤΟ. ἠλέησεν. ΥΨΙΚΕΡΩΝ. ὑψηλὰ κέρατα ἔχοντα. ΔΗ ΓΑΡ ΜΙΝ ΕΧΕΝ ΜΕ-





ΝΟΣ ΗΕΛΙΟΙΟ. τὴν ἔλαφον φασὶν ὑπὸ τοῦ ἡλίου ἐκκεκαῦσθαι, καὶ ὡς ἐν πυρὶ γεγονέναι, διὸ καὶ ἐπὶ τὸν ποταμὸν κατιέναι, τοῦ πιεῖν ἕνεκα. ΑΜΦΙΕΛΙΣΣΗΣ. ἑκατέρωθεν ἐλαυνομένης. ΚΑΤΗΙΕΝ. κατήρχετο. ΚΑΤΑ ΑΚΝΗΣΤΙΝ. ἐπεξηγήσατο μέσα νῶτα τὴν ῥάχιν, ἢ τὰ μέσα τῶν τετραπόδων παρὰ τὸ μὴ δύνασθαι κνήσασθαι. ΛΥΓΟΥΣ. γλυκὺ ῥάβδων. ΜΑΚΩΝ. ὠνοματοπεποίηκε τὴν λέξιν ἴδιον ποιῶν φωνὴν καὶ ἄσημον ἀποτελέσας. ΕΜΒΑΙΝΟΝ. ἐπιβαῖνον ὡς λάξ. ΕΡΥΣΑΜΗΝ. ἑλκύσα. ΣΠΑΣΑΜΗΝ. ἀπέσπασα. ΡΩΠΑΣ ΤΕ ΛΥΓΟΥΣ ΤΕ. ἱμαντώδη φυτά, ἐπιμήκεις καὶ εὐκάμπτους ῥάβδους ἔχοντα. ΠΕΙΣΜΑ. σχοινίον. ΕΥΣΤΡΕΦΕΣ. καλῶς ἐστραμμένον. ΟΡΓΥΑΝ. τὸ τῶν χειρῶν ἔκτασιν. ΠΕΛΩΡΟΥ. τέρατος, θηρίου. ΚΑΤΑ ΛΟΦΑΔΕΙΑ. κατὰ λόφου καὶ αὐχένος, κατὰ ῥαχίλου. ΕΡΕΙΔΟΜΕΝΟΣ. ἐπερειδόμενος. ΟΥΠΩ ΕΙΧΕΝ. οὐκ ἐνεδέχετο ἔχειν. ΠΑΡΑΣΤΑΔΟΝ. παρεστώς, πλησίον. ΕΙΣ ΑΙΔΑΟ. εἰς ᾅδου. ΚΑΤΑΔΥΣΟΜΕΘΑ. κατελευσόμεθα, κατέλθωμεν. ΑΧΝΥΜΕΝΟΙ ΠΕΡ. καίπερ λυπούμενοι. ΜΟΡΣΙΜΟΝ ΗΜΑΡ. τὴν εἱμαρμένην ἡμέραν. ΒΡΩΜΗΣ. βρώσεως. ΤΡΥΧΩΜΕΘΑ. καταπονούμεθα. ΕΧ ΔΕ ΚΑΛΥΨΑΜΕΝΟΙ. ἐκκαλύψαντες, ἀποσκεπάσαντες. ΤΕΥΧΟΝΤΟ. κατεσκεύαζον. ΒΡΙΚΥΔΕΑ. τὴν ποιοῦσαν γαυρίαν, ἢ μεγάλως ἔνδοξα.

ΑΣΠΕΤΑ. πολλά. ΟΥ ΓΑΡ Τ' ΙΔΜΕΝ ΟΠΗ. οὐ γινώσκομεν ὅπου δύσις, ἢ ὅπου ἀνατολή. ταῦτα δὲ λέγει οὐκ ἀπορῶν, ἀλλὰ δεινοπαθῶν τοῖς παροῦσιν. ΑΝΕΙΤΑΙ. ἀνατέλλει ἀνέρχεται ἀναφέρεται. ΑΠΕΙΡΙΤΟΣ. πολλῆς. ΕΣΤΕΦΑΝΩΤΑΙ. κύκλῳ περίκειται. ΧΘΑΜΑΛΗ. ταπεινή. ΕΔΡΑΚΟΝ. ἐθεασάμην. ΜΝΗΣΑΜΕΝΟΙΣ. ὑπομνησθεῖσιν. ΟΠΑΣΣΑ. ἔδωκα. ΠΑΛΛΟΜΕΝ. ἐσείομεν. ΕΘΟΡΕΝ. ἐξεπήδησεν. ΚΥΝΕΗ. περικεφαλαία. ΟΡΕΣΤΕΡΟΙ. ἄγριοι. ΕΝ ΒΗΣΣΗΣΙΝ. ἐν ταῖς προβάσεσι καὶ ὀρειναῖς κοιλάσι. ΚΑΤΕΘΕΛΞΕΝ. πρᾴους καὶ ἡμέρους ἐποίησεν. ΠΕΡΙΣΑΙΝΟΝΤΕΣ. κολακεύοντες. ΔΑΙΤΗΘΕΝ. ἀπὸ εὐωχίας. ΣΑΙΝΩΣΙ. κολακεύωσι. ΜΕΙΛΙΓΜΑΤΑ. πρὸς ἡδονὴν δωρήματα. ἢ κρέα τινά. ἢ τὴν ἀπομαγδαλίαν, ἣν προσδεχόμενοι οἱ κύνες ἐγκεχώρασι. ΚΡΑΤΕΡΩΝΥΧΕΣ. ἰσχυρόνυχες. ΑΙΝΑ. δεινά, χαλεπά. ΠΕΛΩΡΑ. τέρατα, θηρία. ΚΗΔΙΣΤΟΣ. συγγενικώτατος, φροντίδος ἄξιος. ΚΕΔΝΟΤΑΤΟΣ. τιμιώτατος. κηδεμονικώτατος. ΑΟΙΔΙΑΕΙ. ᾄδει. ΔΑΠΕΔΟΝ. τὸ ἔδαφος. ΑΜΦΙΜΕΜΥΚΕΝ. ἐπηχεῖται, περιηχεῖται. ΩΙΞΕΝ. ἀνέῳξεν. ΑΙΔΡΕΙΗΣΙ. ἀπειρίαις, ἀνοίαις. ΟΙΣΣΑΜΕΝΟΣ ΔΟΛΟΝ. ἀπὸ τοῦ μόνην οὖσαν φιλοφρόνως αὐτοὺς καλεῖν, καὶ ἀπὸ τῆς ἡμερότητος τῶν θηρίων. ΜΕΛΙΧΛΩΡΟΝ. νέον. ΠΡΑΜΝΕΙΩ. ἔνιοι μὲν τῷ ἐκ πραμνείας ἀμπέλου γινομένῳ

οἴνῳ.

*Prammiū uinum*



οἴνῳ. λέγεται δὲ καὶ πραμνεία ἄμπελος ὡς ἡ θασία. ἔνιοι δὲ πράμνειον παρὰ τὸ πραΰνοντι τὸ μένος. ἤδιον τὴν ψυχὴν εἰς πρᾳότητα ἄγοντι. οἱ δὲ ὅτι τῶν οἴνων ἔνιοι μὲν καυστικοί, ἔνιοι δὲ ἡδεῖς. τινὲς δὲ πραμνεῖοι καὶ παραμόνιμοι εἰς παλαίωσιν. καὶ μὴ μεταβάλλοντες. ΕΚΥΚΑ. ἐποίει. ἐτάραττεν. ἔμισγεν. ἀνέλυσεν. ΛΑΘΟΙΑΤΟ. ἐπιλάθωνται. ΠΕΠΛΗΓΥΙΑ. κρούσασα πλήξασα. ΣΥΦΕΟΙΣΙ. ταῖς τῶν χοίρων μάνδραις. ΕΕΡΓΝΥ. συνέκλειεν. ΑΥΤΑΡ ΝΟΥΣ ΗΝ. οὐχ ὁ σύμπας, ἀλλὰ καὶ κατὰ τὸ φιλάνθρωπον μόνον. διὸ καὶ σαίνουσιν ὥσπερ δελφῖνες. φιλάνορα δὲ οὐκ ἔλιπον βιοτὰν κατὰ τὸν πίνδαρον. ΕΜΠΕΔΟΣ. βέβαιος. ΕΕΡΧΑΤΟ. συγκεκλεισμένοι ἦσαν. ΑΚΥΛΟΝ. τὸν τοῦ πρίνου καρπόν. ΒΑΛΑΝΟΝ. δρυὸς καρπόν. ΚΑΡΠΟΝ ΤΕ ΚΡΑΝΕΙΗΣ. ὁ τῆς κρανείας καρπὸς πίταξυς λέγεται. ΧΑΜΑΙΕΥΝΑΔΕΣ. ἐπὶ βορβόρου ὀρύατουσαι. ἢ κοιμώμεναι. ΑΔΕΥΚΕΑ. ἀνισόρροπον. ΚΗΡΑ. τὴν ψυχήν. ΩΙΕΤΟ. προσεδέχετο. διενοεῖτο. ΒΕΒΟΛΗΜΕΝΟΣ. τετρωμένος. ΑΓΑΣΣΑΜΕΘΑ. ἐμεμψάμεθα. ΑΓΑΖΟΜΕΘΑ. ὀργιζόμεθα. ΗΙΟΜΕΝ. ἐπορεύθημεν. ΑΙΣΤΩΘΗΣΑΝ. ἠφανίσθησαν. ΕΣΚΟΠΙΑΖΟΝ. κατεσκόπευον. ΑΓΕ. ἄπαγε. ΛΙΠ'. κατάλιπεν. ΑΞΕΙΣ. κομίσεις. ΑΛΥΞΑΙΜΕΝ. ἐκφύγοιμεν. ΕΛΕΥΣΕΑΙ. ἐλεύσῃ. ΕΣΘΩΝ. ἐσθίων. ΚΡΑΤΕΡΗ. ἰσχυρά. ΙΕΡΑΣ ΑΝΑΒΗΣΑΣ.

*Pindar*

ὑπήνη

ΞΑΣ. τὰς ἀσιβάτους. ΕΙΜΙ. πορεύομαι. ΧΡΥΣΟΡ-
ΡΑΠΙΣ. χρυσῆν ῥάβδον ἔχων. ΑΝΤΕΒΟΛΗΣΕΝ.
συνέτυχεν. ΝΕΗΝΙΗ. νεωτέρῳ. ΠΡΩΤΟΝ ΥΠΗΝΗ-
ΤΗ. ἄρτι γενειῶντι. ὑπήνη δέ ἐστι τὸ ἐπάνω χεί-
λος. ἀφ' οὗ πρῶτον γεννᾶται χνοῦς. ὅ ἐστιν ἡ πρώτη
τοῦ γενείου ἔμφυσις. ΗΒΗ. ἀκμή, ἡλικία. ΔΙΑΚΡΙΑΣ.
ἄκρας ἔχοντας τόπους. τουτέστι τραχεῖς καὶ ὑλώδεις.
ΑΙΔΡΙΣ. ἄπειρος. ΕΡΧΑΤΑΙ. συγκέκλεινται. ΣΥΕΣ.
χοῖροι. ΠΥΚΙΝΟΥΣ. πυκνούς. συνεχεῖς. ΚΕΥΘΜΩΝΑΣ.
τοὺς τόπους ὅπου κρύπτονται καὶ συγκεκλεισμένοι
εἰσίν. ΕΚΛΥΣΟΜΑΙ. ἐλευθερώσομαι λυτρώσομαι.
ΣΑΩΣΩ. σώσω. ΑΛΑΛΚΗΣΕΙ. βοηθήσει. ΟΛΟΦΩΙΑ.
ὀλέθρια. ΔΗΝΕΑ. βουλεύματα. ΤΕΥΞΕΙ. κατασκευά-
σει. ΚΥΚΕΩ. κυκεῶνα κατὰ ἀποκοπήν. κυκεὼν δὲ
λέγεται τὸ ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων
καὶ ὕδατος καὶ τυροῦ ἀναμεμιγμένον πόμα.
ΘΕΛΞΑΙ. κακῶσαι τὸν νοῦν, ἀλλοιῶσαι. ΕΛΑΣΕΙ.
σύψει κρούσῃ. ΥΠΟΔΔΕΙΣΑΣΑ. φοβηθεῖσα. ΑΠΑΝΗ-
ΝΑΣΘΑΙ. ἀπαρνήσασθαι. ἀντὶ τοῦ ἀπαρνήσῃ. ΚΟΜΙ-
ΣΗ. κομιδῆς καὶ ἐπιμελείας ἀξιώσῃ. ΚΑΛΕΣΘΑΙ.
κελεῦσαι. ἀντὶ τοῦ κέλευσον. ΑΠΟΓΥΜΝΩΘΕΝΤΑ.
τὸ ξίφος ἀποθέμενον. ΑΝΗΝΟΡΑ. ἄνανδρον. ΘΕΙ.
ποιήσοι. ΕΡΥΣΑΣ. ἑλκύσας. ΦΥΣΙΝ. τὸ εἶδος.
ΜΩΛΥ. βοτάνης εἶδος παρὰ τὸ μωλύειν ὅ ἐστιν
ἀφανίζειν τὰ φάρμακα. φασὶ δὲ αὐτὸ ἑλκόμενον
ἀπὸ ῥίζης,

Cyceon

Moly



ἀπὸ ῥίζης, τοῦ τέλει θάνατον ἐπιφέρειν τῷ ἀπο-
σπῶντι. ΧΑΛΕΠΟΝ. μοχθηρόν. δυσχερές. ΠΟΡΦΥ-
ΡΕ. διενοεῖτο. ΕΘΡΙΞΕ. ἠλλοίωσεν. ΣΥΦΕΟΝΔΕ.
εἰς τὴν τῶν χοίρων μάνδραν. ΛΕΞΩ. κοιμηθῶ.
ἢ ἀριθμηθῶ. ΕΠΗΙΞΑ. ἐφώρμησα. ΜΕΓΑ ΙΑΧΟΥ-
ΣΑ. διὰ τὸ φοβεῖσθαι τρωθῆναι οὐκ ἀποθανεῖν.
ΕΘΕΛΧΘΗΣ. ἠλλοιώθης. ΑΝΕΤΛΗ. ὑπέμεινεν.
ΑΜΕΙΨΕΤΑΙ. παρέλθῃ. ΑΚΗΛΗΤΟΣ. ἄθρικτος.
ἀνάκωτος, ἀνεξαπάτητος. ΦΑΣΚΕΝ. ἔλεγεν. ΘΕΟ.
ἀπὸ θεοῦ ἔμβαλε. ΚΟΥΛΕΟΝ. τὴν ξιφοθήκην. ΠΕ-
ΠΟΙΘΟΜΕΝ. πιστεύσομεν. θαρρήσομεν. ΚΕΛΗ. κε-
λεύεις. ΙΕΝΑΙ. εἰσιέναι. ΓΥΜΝΩΘΕΝΤΑ. τὸ ξίφος
ἀποθέμενον. ΘΕΙΗΣ. ποιήσεις. ΠΕΝΟΝΤΟ. ἐνήρ-
γουν. ΔΡΗΣΤΕΙΡΑΙ. ὑπηρέτιδες. διάκονοι. ΑΝΗ-
ΝΟΡΑ. ἄνουν. ΓΙΓΝΟΝΤΑΙ Δ'ΑΡΑΤΑΙ ΓΕ. ὑφί-
στανται νύμφας τινὰς ἐξ ὕδατος. τινὲς δὲ
ὑπερβατόν. ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει ἐκ τε κρη-
νέων. οἱ δὲ ἀλληγοροῦσι. κίρκην μὲν λέγοντες τὸν
ἐνιαυτόν, τέσσαρας δὲ θεραπαινίδας τὰς ὥρας.
ΕΚΤΕ ΚΡΗΝΕΩΝ. ἀπὸ τῶν ἀλσέων. ἔνθα αἱ ναΐδους
νύμφαι. ἢ αἱ δρυάδους. ΕΒΑΛΛΕΝ. ἐπετίθει. ΕΤΙ-
ΤΑΙΝΕ. ἔτεινεν. εἷλκεν. ΚΑΝΕΙΑ. κανίσκια. ΝΕΜΕ.
διεδίδου. ΙΑΙΝΕΤΟ. ἐθερμαίνετο. ΗΝΟΠΙ. διαυγεῖ.
ἐν ᾧ ἔστιν ἰδεῖν αὐτόν. ΛΙΤΑ. ἁπλᾶ περιβόλαια.
ΑΣΑΜΙΝΘΟΝ. τὴν πύελον. ΛΟΝΤΗΡ. παρὰ τὸ ἄσιν
μινύειν.

Naidus
Dryadus
Nymphae

μινήθεμ. ΕΣΑΣΑ. καθίσασα. ἐμβιβάσασα. ΛΟΕ-
ἔλουε. ΘΥΜΗΡΕΣ. καταθύμιον, ἡδύ. ΘΥΜΟΦΘΟΡΟΝ.
τὴν ψυχὴν διαφθείροντα. ΑΛΛΟΦΡΟΝΕΩΝ. ἄλλα
φρονῶν, ἄλλα διανοούμενος. ΟΣΣΕΤΟ. προεώρα.
ΙΑΛΛΟΝΤΑ. ἐπιβάλλοντα. ΚΑΤ' ΑΡ ΕΖΕΑΙ. κα-
θέζου. ΔΕΙΔΙΜΕΝ. φοβεῖσθαι. ΕΝΝΕΩΡΟΙΣΙΝ. ἐννεα-
ετῶν οὖσι. ΣΥΦΕΙΟΥ. τοῦ συφεῶνος. ΕΦΥΣΣΕ. ἐποίη-
σε φυῆναι. ΟΥΛΟΜΕΝΟΝ. ὀλέθριον. ΕΓΝΩΣΑΝ. ἐγνώ-
ρισαν. ΕΦΥΝΤ'. προσφυῶς ἐπελαμβάνοντο. ΙΜΕ-
ΡΟΕΙΣ. ἐράσμιος, ἡδύς. ΥΠΕΔΥ. ὑπεισῆλθεν. ΕΡΥΣΑ-
ΤΕ. ἑλκύσατε. ΣΠΗΕΣΣΙ. σπηλαίοις. ΠΕΛΑΣΣΕΤΕ.
νῦν ἀντὶ τοῦ ἀποθέσθε. ΙΕΝΑΙ. νῦν ἀντὶ τοῦ ὑπο-
στρέφειν. ΑΝΑΥΔΩ. ἀφώνῳ. ΠΟΤΗΤΟΣ. πτηνοῦ. ΠΑΣΣΑ-
ΣΘΑΙ. γεύσασθαι. ΕΝΑΙΣΙΜΟΣ. δίκαιος. ΠΡΟΦΡΑΣΑ.
πρόθυμος. ΣΕΙΑΛΟΙΣΙΝ. εὐξαφέσιν. ΟΙΚΤΡ' ΟΛΟ-
ΦΥΡΟΜΕΝΟΥΣ. οἰκτρῶς ὀδυρομένους. ΑΓΡΑΥΛΟΙ.
ἐν ἀγροῖς αὐλιζόμενοι. ΠΟΡΙΕΣ. νέαι βόες, μόσχοι.
ΑΓΕΛΑΙΑΣ. νομαίας, ἀζεύκτους. ΚΟΠΡΟΝ. τὴν στά-
σιν τῶν βοῶν. ΣΠΑΙΡΟΥΣ'. σκαρίζουσι. ΒΟΤΑΝΗΣ.
τῆς νομῆς. ΚΟΡΕΣΩΝΤΑΙ. κορεσθῶσι. ΣΚΑΙΡΟΥΣΙ.
σκιρτῶσι. ΙΣΧΟΥΣΙ. κατέχουσι. ΜΥΚΩΜΕΝΑΙ.
βοῶσαι. μυκηθμὸς γὰρ ἡ φωνὴ τῶν βοῶν. ΣΗΚΟΙ.
ἐπαύλεις. ΑΔΙΝΟΝ. οἰκτρῶς. ΑΜΦΙΘΕΟΥΣΙ. περι-
τρέχουσιν. ΕΧΥΝΤΟ. ἐπέδραμον. ΔΟΚΗΣΕΝ. ὑπέ-
λαβεν. ΤΕΤΡΑΦΕΝ. ἐτράφησαν. ΕΜΕΝ. εἶναι. ΙΝΑ.

σηκοί





ὅπου. ΓΕΝΟΝΤΟ. ἐγεννήθησαν. ΑΦΙΚΟΙΜΕΘΑ. παρα-
γενοίμεθα. ΕΡΗΕΤΑΝΟΝ. δαψιλές. ΠΕΛΑΣΣΟ-
ΜΕΝ. ἀποθώμεθα. ΕΡΥΚΑΝΕ. κατεῖχεν, ἐκώλυεν. Α-
ΔΕΙΔΟΙ. ἄθλιοι. ΙΜΕΙΡΕΤΕ. ἐπιθυμεῖτε. ΚΑΤΑΒΗΜΕ-
ΝΑΙ. καταβῆναι ὑπεισελθεῖν. ΦΥΛΑΣΣΟΙΜΕΝ. τηροῖ-
μεν. ΘΡΑΣΥΣ. τολμηρός. ΣΠΑΣΑΜΕΝΟΣ. ἐπισπα-
σάμενος. ΩΣ ΕΜΕΝ. οὕτως εἶναι. ΜΕΣΑΥΛΟΝ. τὴν
ἔπαυλιν. ΟΥΔΑΣ ΔΕ ΠΕΛΑΣΑΙ. εἰς τὸ ἔδαφος
ῥίψαι. ΠΗΩ. συγγενοῦ, κτιμένου δὲ ἐγεγαμήκει τὴν
ὀδυσσέως ἀδελφήν. ΑΝΗΙΟΝ. ἀνήρχοντο. ΕΚΠΑ-
ΓΛΟΝ. ἔξοχον, μεγάλην. ΕΝΙΠΗΝ. ὕβριν κακολο-
γίαν. ΕΝΔΥΚΕΩΣ. ἐπιμελῶς. ΦΡΑΣΑΝΤΟ. ἐπέγνω-
σαν. ΕΝΑΝΤΑ. ἀπεναντίας. ΠΕΡΙ ΔΕ ΣΤΟΝΑΧΙ-
ΖΕΤΟ. περιήχει. ΘΑΛΕΡΟΝ. ἀκμαῖον, νέον. ΟΡΝΥΤΕ.
διεγείρεσθε. ΕΡΥΣΘΑΙ. φυλάττειν. ΗΓΕΜΟΝΕΥ'. ἡγοῦ.
ΕΝΙΠΗΝ. ἐπίπληξιν. ΔΑΙΝΥΜΕΝΟΥΣ. εὐωχουμέ-
νους. ΙΧΘΥΟΕΝΤΙ. ἰχθῦς ἔχοντι. ΑΝΑΡΣΙΟΙ. πολέ-
μιοι. ΕΔΗΛΗΣΑΝΤΟ. ἔβλαψαν. ΑΣΚΕΛΕΕΣ. ἄγαν
κατεσκληκότες, σκληροί, σκελετευόμενοι ἢ νενε-
κρωμένοι, ἢ ἄγαν κεκμηκότες. ΑΘΥΜΟΙ. κεκακωμέ-
νοι τὴν ψυχὴν, οἷον ἄψυχοι. ΑΛΗΣ. πλάνης. ΠΕΠΑ-
ΣΘΕ. κέκτησθε. ΠΕΡΙ Δ' ΕΤΡΑΠΟΝ ΩΡΑΙ. περιῆλθον
πάλιν οἱ καιροὶ ἐπὶ τὸ ὥραν. ΕΚΚΑΛΕΣΑΝ-
ΤΕΣ. ἔξω καλέσαντες. ΜΙΜΝΗΣΚΕΟ. ὑπομνήσθητι.
ΣΑΩΘΗΝΑΙ. σωθῆναι. ΗΝ ΠΕΡ ΥΠΕΣΤΗΣ. ἥν περ ὑπε-

χεῖας. ΓΟΥΝΩΝ ΕΛΙΤΑΝΕΥΣΑ. τῶν γονάτων ἁψάμενος παρεκάλεσα. ΕΣΣΥΤΑΙ. ἐφορμᾷ. ΨΥΧΗ ΧΡΗΣΟΜΕΝΟΣ. διὰ τί δὲ οὐκ αὐτὴ μαντεύεται; ὅτι οὐκ ἂν ἐπίστευσεν ὀδυσσεὺς ἐρώσης αὐτῆς. ἢ καὶ μικροῦ στερῆναι, καὶ τὸν πορθμὸν ὡς γειτνιῶσα μηνύει. περὶ ὧν οὐδ' ὁ τειρεσίας εἶπεν εἰδὼς ἐρῶσαν τὴν κίρκην. περὶ δὲ τῶν λοιπῶν ἐπιτρέπει τῷ μάντει. ΧΡΗΣΟΜΕΝΟΥΣ. μαντευσομένους. ΤΩ ΚΑΙ ΤΕΘΝΕΙΩΤΙ. διότι ἐθεάσατο δύο δράκοντας ἐν τῷ κιθαιρῶνι μιγνυμένους, καὶ πατάξας τὴν δράκαιναν ἀνεῖλεν, καὶ οὕτως ἐγένετο γυνή. καὶ πάλιν τὸν ἄρσενα, καὶ ἀπέλαβε τὴν ἰδίαν φύσιν. ζεὺς δὲ καὶ ἥρα, ἐπεὶ ἑκατέρων μετέσχεν, κριτὴν αὐτὸν εἵλοντο, τίς μᾶλλον ἥδεται ἐν συνουσίᾳ ὁ ἀνὴρ ἢ ἡ γυνή. ὁ δὲ εἶπεν ὅτι μὲν μοῖραν δεκαμοίρων τέρπεται ἀνήρ. τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα. διὸ ἡ μὲν ἥρα ὀργισθεῖσα, ἐπήρωσεν αὐτόν. ὁ δὲ ζεὺς τὴν μαντικὴν ἔδωκεν. ΠΕΠΝΥΣΘΑΙ. συνετῷ καὶ ἔμφρονι εἶναι. ΑΙΣΣΟΥΣΙ. κινοῦνται. ΜΕΛΕΣΘΩ. ἐν φροντίδι ἔστω. ΦΕΡΗΣΙΝ. ἀποφέρει. ΑΚΤΗ. ἡ προκειμένη καὶ ἐξέχουσα εἰς θάλασσαν ἄκρα. ΛΑΧΕΙΑ. ἐλαχίστη. ΑΛΣΕΑ. ἱερὰ καὶ σύνδενδρα χωρία. ΠΟΘΗ. ἐπιζήτησις. ΔΙΕΣΣΥΤΟ. ὥρμα. ΩΛΕΣΙΚΑΡΠΟΙ. ἐπειδὴ τὸ ἄνθος ἀποβάλλουσιν, ἢ ἐπεὶ οἱ πίνοντες ἄνθος ἰτέας, ἄγονοι διαμένουσι. ΚΕΛΣΑΙ.

νεωλκῆσαι.

Tiresiæ f.



νεωλκῆσαι. ὁρμίσαι. δόμον εὐρώεντα. ἤτοι πλατὺν κατὰ τὸ εὖρος. ἢ σκοτεινόν. ΩΛΕΣΙΚΑΡΠΟΙ. ἀποβάλλουσι τὸ ἄνθος, οἰκείως δὲ ἀγόνοις φυτοῖς ἐχρήσατο, ἐκεῖνα δὲ νεκροῖς τὰ ἄκαρπα· φησὶ δὲ θεόφραστος ἐν φυτικοῖς τὸν χυλὸν τῆς ἰτέας πινόμενον ἀφανίζειν τὴν γονὴν τῶν ἀνθρώπων. ΒΑΘΥΔΙΝΗΝ. βαθείας ἔχοντα συστροφάς. ΕΝΘΑ ΜΕΝ ΕΙΣ ΑΧΕΡΟΝΤΑ. ἔστι τὸ σχῆμα καλούμενον προδιεζευγμένον καὶ καθ' ὑπέρβατον. ὑπὸ ἐνίων δὲ ἀλκμανικόν. τὸ δὲ ἑξῆς. ἔνθα μὲν εἰς ἀχέροντα πυριφλεγέθων τε καὶ κωκυτὸς ῥέουσιν. ΠΥΡΙΦΛΕΓΕΘΩΝ. ποταμὸς ἐν ᾅδου. ΑΠΟΡΡΩΞ. ἀπόρροια. ΚΩΚΥΤΟΣ. ποταμὸς ἐν ᾅδου. ΞΥΝΕΣΙΣ. συνάφεσις, καὶ εἰς ταυτὸ συμβολὴ τῶν ποταμῶν. ΕΡΙΓΔΟΥΠΩΝ. μεγαλοήχων. ΧΡΙΜΦΘΕΙΣ. προσπελασθείς. ΠΕΛΑΣ. ἐγγύς, πλησίον. ΒΟΘΡΟΝ. ὄρυγμα. ΟΡΥΞΑΙ. ἀντὶ τοῦ ὄρυξον. ΠΥΓΟΥΣΙΟΝ. πυγωνιαῖον, πυγὼν δέ ἐστι, τὸ ἀπὸ τοῦ ἀγκῶνος μέχρι τῶν δακτύλων κεκαμμένων διάστημα, ἀνύεται δὲ διὰ τούτου τὸ μὴ εὐθέως, μηδὲ ἐπὶ ἐξουσίας εἶναι τοὺς τετελευτηκότας. ἀλλ' ὥσπερ ἔχεσθαι καὶ ἐγκεκλεῖσθαι καθάπερ καὶ οἱ δάκτυλοι. ΕΝΘΑ ΚΑΙ ΕΝΘΑ. εἰς πλάτος, καὶ εἰς μῆκος. ΧΟΗΝ. τὴν τοῖς νεκροῖς ἐπιχεομένην χύσιν. ΧΕΙΣΘΑΙ. ἐπιχέαι. ΜΕΛΙΚΡΗΤΩ. τῷ μετὰ γάλακτος μέλιτι. ΠΑΛΥΝΕΙΝ. φυρᾶν, διαβρέχειν. ΓΟΥΝΟΥΣΘΑΙ. παρακαλεῖν. ΑΜΕΝΗΝΑ. ἀσθενῆ, μένος οὐκ

A.i. ἔχοντα

Theophra

πυγών cubitus

Melicratu

Cur ἰτέα arbor dicat(ur) ab homero ὠλεσίκαρπος

ἔχοντα ἐκ στόματος δύναμιν, ἀπὸ τοῦ μόνην ἔχειν ἐκεῖ τὴν ψυχήν. ΣΤΕΙΡΑΝ ΒΟΗΝ. εἰς τὸ ὅμοιον. ἄγονα γὰρ καὶ στεῖρα τὰ τῶν νεκρῶν. ΕΜΠΛΗΣΕΜΕΝ. πληρώσειν. ΟΙΝ. πρόβατον. ΕΡΕΒΟΣ. σκότος. ΙΕΜΕΝΟΣ. προθυμούμενος. ΠΑΜΜΕΛΑΙΝΑ. καὶ τοῦτο εἰς τὸ ὅμοιον. ΛΙΣΣΗ. ἱκετανώσεις. ΡΕΖΕΙΝ. θύειν. ΝΟΣΦΙ ΤΡΑΠΕΣΘΑΙ. ὡς πρὸς τοὺς ποταμούς. ΕΠΟΤΡΥΝΑΙ. ἐπεῖξαι. ΑΝΩΞΑΙ. κελεῦσαι. ΚΑΤΑΚΗΑΙ. κατακαῦσαι. ΑΣΣΟΝ. πλησίον. ΑΡΓΥΦΕΟΝ. λευκόν. ΟΤΡΥΝΟΝ. προέτρεπον, διήγειρον. ΙΞΥΙ. ὀσφύϊ. ΚΑΛΥΠΤΡΗΝ. κεφαλόδεσμον. ΑΩΤΕΙΤΕ. ἀπαυθίζετε τὸν ὕπνον. ΑΡΗΡΩΣ. ἡρμοσμένος. ΨΥΧΕΟΣ ΙΜΕΙΡΩΝ. ἀναψύξαι διὰ τὸ πνῖγος, καὶ τὴν μέθην ἐπιθυμῶν ἐπ' ἄκρας. ΨΥΧΕΟΣ. ψύχους τῆς αὔρας. ΙΜΕΙΡΩΝ. ἐπιθυμῶν. ΚΑΤΕΔΕΞΑΤΟ. ἐκαθεύδησεν, κατεκοιμήθη. ΑΝΤΙΚΡΥ. κατευθύ. ΑΥΧΗΝ. ὁ τράχηλος. ΚΙΝΥΜΕΝΩΝ. κινουμένων. ΑΣΤΡΑΓΑΛΟΝ. ἀσφόνδυλος. ΑΨΟΡΡΟΝ. ὀπισθόρμητον. ΤΕΓΕΟΣ. οἴκου. ΤΕΚΜΗΡΑΤΟ. διεσημήνατο. ΓΟΩΝ. ἐθρήνουν. ΠΡΗΞΙΣ. ἡ πρᾶξις. ΜΥΡΟΜΕΝΟΙΣΙΝ. ὀδυρομένοις. ΟΙΧΟΜΕΝΗ. ἀπελθοῦσα. ΠΑΡΕΞΕΛΘΟΥΣΑ. λάθρα ποιήσασα.

Τέλος τοῦ κ.

## ΕΙΣ ΤΗΝ Λ. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΕΝ Δ' ΙΣΤΟΝ ΤΙΘΕΜΕΘΑ. οὐχ ἁπλῶς ἐνεθήκαμεν τῇ νηΐ, ἀλλὰ μετὰ τὸ εἶσαι τὸν ἱστόν, καὶ ἁπλῶσαι τὰ ἱστία, δίον εὐτρεπισάμεθα. ΕΒΗΣΑΜΕΝ. εἰσεβιβάσαμεν. ΒΑΙΝΟΜΕΝ. ἐνεβαίνομεν. ΙΚΜΕΝΟΝ. ἰκματώδη, ὑγρόν. ΠΛΗΣΙΣΤΙΟΝ. πληροῦντα τὸ ἄρμενον. ΕΤΑΙΡΟΝ. νῦν τὸν σύνδρομον. ΠΟΝΗΣΑΜΕΝΟΙ. ἐνεργήσαντες, εὐτρεπίσαντες. ΑΝΕΜΟΣ. ὡς ἂν ἀξιωσάσης τῆς κίρκης, τὸν ἄνεμον τίθησιν. ΙΘΥΝΕΝ. ἐπ' εὐθείας ἦγεν. ΠΟΝΤΟΠΟΡΟΥΣΗΣ. τὴν θάλασσαν διερχομένης, πλεούσης. ΚΙΜΜΕΡΙΩΝ. ἔθνος περιοικοῦν τὸν ὠκεανόν. οἱ κιμμέριοι, ἔνιοι δὲ γράφουσι χειμερίων, οἱ δὲ, κερβερίων, ὡς κράτης. ἡρόδοτος δὲ ὑπὸ κιμμερίων φησὶ σκύθας ἐξελαθῆναι. ἄλλοι δὲ κιμμερίους φασὶν ὑποτίθεσθαι τοὺς κατὰ τὴν δύσιν οἰκοῦντας, καὶ προσκειμένους τοῖς κατὰ τὸν ᾅδην τόποις, ἢ νεκροῖς. ἀπὸ τοῦ ἐν τοῖς ἡρωϊκοῖς κεῖσθαι. ΠΑΝΗΜΕΡΙΗΣ. δι' ὅλης ἡμέρας. ΑΓΥΙΑΙ. ἄμφοδα. ΣΤΕΙΧΗΣΙ. πορεύηται. ΗΕΛΙΟΣ ΦΑΕΘΩΝ ΕΠΙΔΕΡΚΕΤΑΙ. πῶς δ' ὧν ζῶσιν,

Cimmery

Crates

Herodoty

τοῦ ἐπιδέρκεται ..., φαέθων δὲ ὤν. ΕΠΙΔΕΡΚΕΤΑΙ. ἐφορᾷ, βλέπει. ΟΥΡΑΝΟΘΕΝ ΠΡΟΤΡΑΠΗΤΑΙ. διὰ τούτου τοῦ προσ... δοκεῖ εἰδέναι ὁ ποιητής, ὅτι ὁ ἥλιος τὴν ἑκούσιον πορείαν ποιούμενος ἀπὸ δύσεως εἰς ἀνατολάς, ὅμως ὑπὸ τοῦ παντὸς ἀνέχεται εἰς τὸ ἐναντίον καὶ αὐτός. ΠΡΟΤΡΑΠΗΤΑΙ. μεταβάλλεται, ἀποκλίνει. ΝΥΞ. ψοφώδης ἀήρ. ΤΕΤΑΤΑΙ. ἥπλωται. ΔΕΙΛΟΙΣΙ. δειλαίοις, ἀθλίοις. ΙΕΡΗΙΑ. οὐκ ὀρθῶς, ἐπὶ γὰρ νεκρῶν τομία καὶ ἔντομα, ἐπὶ δὲ θεῶν, ἱερά. ἢ ὅτι τὰ θρέμματα ἱερὰ ἐκάλουν. ΕΣΧΟΝ. ἀντὶ τοῦ κατέχον. ΧΕΟΜΕΝ. ἀπεχεόμην. ΠΑΛΥΝΟΝ. ἔφυρον, διέβρεχον, ἢ ἐπέπασσον. ΓΟΥΝΟΥΜΗΝ ΝΕΚΥΩΝ. πῶς εἰ μὴ αἰσθάνονται πρὸ τοῦ πιεῖν εἰς τὴν τιμὴν τῶν δεσποτῶν; ἢ δεικτικὸς γονυπετῶν ἐπαγγελλόμενος. ΕΥΧΩΛΗΣΙΝ. εὐχαῖς. ΛΙΤΗΣΙ. λιτανείαις, ἱκεσίαις. ΑΠΕΔΕΙΡΟΤΟΜΗΣΑ. ἀπεκεφάλισα. γρ. ΕΞ ΕΡΕΒΟΥΣ. ἀπὸ τοῦ σκότους. ΝΥΜΦΑΙ Τ' ΗΙΘΕΟΙ ΤΕ. ἀθετοῦνται στίχοι οἱ ἕξ, ὅτι οὔπω προσέρχονται, καὶ ὅτι ἀδύνατον φέρειν τὰς ψυχὰς τὰς τῶν σωμάτων πληγάς. ἀλλὰ πρὸς ἀνακεφαλαίωσιν πεποίηται τῶν μετὰ ταῦτα ἐλθόντων. ΗΙΘΕΟΙ. ἄγαμοι. ΠΟΛΥΤΛΗΤΟΙ. πολλὰ ὑπομείναντες. ΑΤΑΛΑΙ. νέαι, ἁπαλαί, αἱ μηδὲν τλῆναι δυνάμεναι. ΝΕΟΠΕΝΘΕΑ. ἐν τῇ νεότητι στένουσαι. ΒΕΒΡΟΤΩΜΕΝΑ. δοκοῦντα βεβροτῶσθαι, ὅ ἐστιν ᾑμά-

χθαι.

Τομία ἔντομα ἱερία



χθαι. ΕΥΡΥΟΔΕΙΗΣ. μεγάλης, πλατείας. ΔΗ ΤΟΤ' ΕΠΕΙΘ ΕΤΑΡΟΙΣΙ. αὐτὸς γὰρ ὡς ἡ Κίρκη ἔφη αὐτῷ ἐπὶ τοῦ βόθρου μένει. ἐνταῦθα δὲ χωρίζει τοὺς ἑταίρους, ἵνα μὴ κατακούσωσι τῶν μαντειῶν. ΕΙΩΝ. συνεχώρουν. ΠΡΩΤΗ ΔΕ ΨΥΧΗ ΕΛΠΗΝΟΡΟΣ. ἐπεὶ ἄταφος, τῶν δὲ τοιούτων καὶ πρὸ τοῦ πιεῖν φθέγγονται αἱ ψυχαί. ΕΛΠΗΝΟΡ ΠΩΣ ΗΛΘΕΣ. οὐδένα ὁρᾷ τῶν παρὰ τῷ Κύκλωπι ἢ ἐν Λαιστρυγονίᾳ ἀπολομένων. οὗτοι γὰρ εἰ καὶ ἀθέσμως, ἀλλ' οὖν ἐτάφησαν. ΕΦΘΗΣ. ἔφθανες, προέλαβες. ΟΙΜΩΞΑΣ. στενάξας. ΑΣΕΝ. ἔβλαψεν. ΚΑΤΑΛΕΓΜΕΝΟΣ. καθευδήσας. ΤΩΝ ΟΠΙΘΕΝ. τῶν καταλελειμμένων οἴκοι, τῶν οὐ παρόντων. ΓΟΥΝΑΖΟΜΑΙ ΟΥ ΠΑΡΕΟΝΤΩΝ. λείπει ἡ πρός. ἵν' ᾖ πρὸς τῶν οὐ παρόντων. γουνάζομαι ἱκετεύω. ὡς πρὸς τῶν θεῶν καὶ πρὸς Διός. ΠΡΟΣ Τ' ΑΛΟΧΟΥ. οὐ προσέθηκε τὴν μητέρα, ἑώρα γὰρ τὴν ψυχὴν αὐτῆς. ΜΟΥΝΟΝ. μόνον ἀντὶ τοῦ μονογενῆ. ΕΝΘΕΝ ΔΕ ΚΙΩΝ. χάριν τοῦ λαβεῖν ἐφόδια, καὶ μαθεῖν περὶ τοῦ πλοῦ. ΑΘΕΣΦΑΤΟΣ. πολύς. ΣΧΗΣΕΙΣ. ὁρμήσεις. ΝΟΣΦΙΣΘΕΙΣ. χωρισθείς. ΚΑΚΚΗΑΙ. κατακαῦσαι, ἀντὶ τοῦ κατάκαυσον. ΕΡΕΤΜΟΝ. τὴν κώπην. ΣΤΥΓΕΡΟΙΣΙ. μισητοῖς, φρικτοῖς. ΙΣΧΩΝ. κατέχων. ΕΙΔΩΛΟΝ. εἰ μὲν ἀπὸ τοῦ εἴδειν διὰ μόνου τοῦ ι γραπτέον, εἰ δὲ ἀπὸ τοῦ εἶδος προσλήψεται τὸ ε. ΑΓΟΡΕΥΟΝ



εἴδωλον in orthographia

διαλεγόμενον. ΚΑΤΑΤΕΘΝΗΥΙΗΣ. τελευτώσης.
ΜΗΝΙΜΑ. μῆνις ὀργή. ΔΥΣΤΗΝΟΙΟ. δυστυχοῦς.
ΕΡΕΣΣΟΝ. ἐκωπηλάτουν. ΑΥΤΟΛΥΚΟΥ ΘΥΓΑΤΗΡ
ΜΕΓΑΛΗΤΟΡΟΣ ΑΝΤΙΚΛΕΙΑ. ὁ λόγος ἦν ἀντί-
κλειαν διὰ τὸ διὰ τὸν πόθον τοῦ παιδὸς, βρό-
χῳ ἑαυτὴν ἐξαγαγεῖν τοῦ βίου. ΖΩΗΝ. ζῶσαν.
ΠΡΟΤΕΡΗΝ. πρώτην. ΠΥΚΙΝΟΝ ΠΕΡ ΑΧΕΥΩΝ.
καίπερ πολὺ λυπούμενος. ΑΤΕΡΠΕΑ. ἀτερπῆ.
ΑΠΟΧΑΖΕΟ. ἀναχώρει. ΚΕΛΑΙΝΟΝ. μέλαν. ΕΜΕ.
ΔΕ ΓΝΩ. οὐκ ἔτι τίς εἰμι. ἀλλ᾽ ὅτι σφάγια κομίζων
μετὰ τὸ πιεῖν ἐκ τῆς μαντείας γνωρίζει αὐτὸν,
ὅσῳ δὲ ἄρα τις ἐκδέχεται τυφλώττειν τὸν τειρε-
σίαν, τοσούτῳ καλὸν τὸ ἔγνω. ἵνα καὶ τὸ ἐλλεῖ-
πον τῶν ὄψεων τῇ τῆς συνέσεως γνώσει πληροῦ-
ται. ΑΠΙΣΧΕ. ἀπόσχισον ἀπόπαυσον. ΔΙΖΗΑΙ. ἐπι-
ζητεῖς. ΘΗΣΕΙ. ποιήσει. ΛΗΣΕΙΝ. λαθεῖν. ΕΞΕΛΑΩ-
ΣΑΣ. ἐξετύφλωσας. ΙΚΟΙΣΘΕ. παραγένοισθε. ΑΙΚΕ-
ΘΕΛΗΣ. ἐὰν δύνῃ. ΠΕΛΑΣΕΙΣ. προσορμήσεις. ΟΤΙ
ΟΙ. ὅτι αὐτῷ. ΙΟΕΙΔΕΑ. μελανοειδῆ. ΘΡΙΝΑΚΙΗ. τῇ
σικελίᾳ, ἐπεὶ τρία ἔχει ἀκρωτήρια, πέλωρον, πάχυ-
νον, λιλύβαιον. ΙΦΙΑ. ἰσχυρά, μέγαν πλοῦτον τριοῦν-
τα. ΑΣΙΝΕΑΣ. ἀσινεῖς, ἀβλαβεῖς. ΕΑΑΣ. καταλεί-
ψῃς. ΜΕΔΗΑΙ. φροντίζεις. ΣΙΝΗΑΙ. βλάψῃς. ΤΕΚ-
ΜΑΙΡΟΜΑΙ. τελειωθῆναι λέγω, προσημαίνω. ΑΛΥ-
ΞΗΣ. ἐκφύγῃς. ΟΨΕ ΚΑΚΩΣ ΝΕΙΑΙ. ἐπὶ γὰρ τῶν
τῶν βοῶν



τῶν βοῶν πλημμέλημασι ἑπτὰ ἔτη ὅλα παρὰ καλυ-
ψοῖ διατρίβει, καὶ πάλιν ναυαγήσας πρὸς τοὺς
φαίακας προσβάλλεται. ΝΕΙΑΙ. ἀπελεύσῃ. ΔΗΕΙΣ.
εὑρήσεις. ΚΑΤΕΔΟΥΣΙ. κατεσθίουσι, καταναλίσκου-
σι. ΜΝΩΜΕΝΟΙ ΑΝΤΙΘΕΗΝ ΑΛΟΧΟΝ. καὶ ἕδνα
διδόντες, τῇ γὰρ ἀληθείᾳ ἤδη ὄντος ἐν ἰθάκῃ τοῦ
ὀδυσσέως καὶ ἔνδον ἐπ᾽ αὐτοῦ προσφέρουσιν αὐτῇ
οἱ μνηστῆρες τὰ ἕδνα, ὥστε ἄξιον μνημονεύειν τῆς δίκης
ποτὲ ὅσην εὑρήσεις. ΑΠΟΤΙΣΕΑΙ. τιμωρίαν, καὶ κό-
λασιν εἰσπράξεις. ΚΤΕΙΝΗΣ. ἀνέλῃς φονεύσεις.
ΗΕ ΔΟΛΩ Η ΑΜΦΑΔΟΝ. ἀντὶ τοῦ καὶ ὅπως ἂν
καὶ δόλῳ, καὶ φανερῶς, ὅμοιον τῷ ἄρτεμις
ἰκέλη, ἢ χρυσῇ ἀφροδίτῃ, καὶ γὰρ ἐνταῦθα τὸ ἢ
καὶ ἀπίθανον γοῦν τὸ ἐνδοιάζειν τὸν μάντιν, ὅ
φαίνεται δὲ τὰ μὲν πρῶτα δόλῳ, ἑξῆς δὲ φανερῶς
ἐπιτιθέμενος. ΕΥΗΡΕΣ. καλῶς ἐρεσσόμενον. ΤΟΥΣ.
πρὸς τούτους. ΑΦΙΚΗΑΙ. παραγένῃ. ΟΙ ΟΥΚ ΙΣΑ-
ΣΙ ΘΑΛΑΣΣΑΝ. ἵνα κἀκεῖνοι γνῶσι τὴν τοῦ πο-
σειδῶνος δύναμιν. ΦΟΙΝΙΚΟΠΑΡΗΟΥΣ. ἐρυθρῷ
βάμματι κεχρισμένας τὰ πλάγια. ΣΗΜΑ. σύμ-
βολον, σημεῖον. ΑΡΙΦΡΑΔΕΣ. ἄγαν φανερόν. ΞΥΜ-
ΒΛΗΜΕΝΟΣ. συντυχών. ΟΔΙΤΗΣ. ὁδοιπόρος. ΦΗΗ.
εἴποι, ὑπολάβοι. ΑΘΗΡΗΛΟΙΓΟΝ. τῶν ἀθέρων λοιγευ-
τικὸν ὄργανον, ἀθέρες γὰρ λέγονται κυρίως, τῶν
ἀσταχύων τὰ ἄκρα, λέγει δὲ τὸ πτύον, ὡς δ᾽ ὅτ᾽
τῶν

τί ἐ

ἀθέρες

ἐπὶ πλατέος πτύοφιν μεγάλην καταλωὰν θρώσκου-
σι κυάμοι μελανόχροες, ἢ ἐρέβινθοι. ὁ μὲν τοι σο-
Sopho
φοκλῆς ἀπεδέξατο τὴν ἀθήρης κίνηθρον λέγων οὕτως·
ὤμοις ἀθηρόβρωτον ὄργανον φέρων. ΙΕΡΑ ΚΑΛΑ ΠΟ-
ΣΕΙΔΑΩΝΙ ΑΝΑΚΤΙ. ἐν τοῖς οἰκείοις κλήροις οἱ τι-
μώμενοι, εἴτ' οὖν ἄνθρωποι, εἴτε καὶ θεοί, οὐκ ἂν οὐδέ-
τινος γένοιντο φιλοτιμίας μείζονος. εἰ μὲν τοι ἐν
τόποις τισὶ τοῖς πόῤῥω, καθ' οὓς οὐ πολιτεύονται,
λάβοιεν γέρα, ἐνταῦθα δὲ πλείων ἡ χάρις ἤγε ἤδη,
διὰ τὴν παρὰ τοῦ ὀδυσσέως εὐσέβειαν καὶ θεραπείαν, ἐκ
ἠπειρώτης ἂν τιμηθείη ποσειδῶν. ΑΠΟΣΤΕΙΧΕΙΝ.
ἀπιέναι. ΕΡΔΕΙΝ. πράττειν, θύειν, ἀντὶ τοῦ θύσον. ΘΑ-
ΝΑΤΟΣ ΔΕ ΤΟΙ ΕΞΑΛΟΣ ΑΥΤΩ. οἱ νεώτεροι τὰ
περὶ τηλέγονον ἀνέπλασαν τὸν κίρκης καὶ ὀδυσσέως,
ὃς δοκεῖ κατὰ ζήτησιν τοῦ πατρὸς εἰς ἰθάκην ἐλθὼν,
Vlyss. M.
ὑπ' ἀγνοίας τὸν πατέρα διαχειρίσασθαι τρυγόνος κέν-
τρῳ. αἰσχύλος δὲ ἐν ψυχαγωγοῖς ἰδίως λέγει. ἐρω-
διὸς γὰρ ὑψόθεν ποτώμενος, ὄνθῳ ὡς ἔπληξεν, ἢ νη-
Aeschy
δύος χαλάσμασιν. ἐκ τοῦδε ἄκανθα ποντίου βοσκήμα-
τος σήψει παλαιὸν δέρμα καὶ τριχορρυές. ΕΞΑΛΟΣ.
διπλῆ ἀνάγνωσις. καὶ ἔξαλος προπαροξυτόνως, ἀντὶ τοῦ
ἔξω καὶ πόῤῥω τῆς θαλάσσης. καὶ δὴ ἐξ ἁλὸς διηγκμένος, διὰ
τὸ φασὶ τρυγόνος κέντρον. ᾧ ὁ τηλέγονος ἀντὶ αἰχμῆς
ἐχρήσατο. ΑΒΛΗΧΡΟΣ. ὁ ἀσθενής. ΟΛΒΙΟΙ. εὐδαίμο-
νες. ΛΙΠΑΡΩ. εὐδαίμονι. ΑΡΗΜΕΝΟΝ. βεβλαμ-

μένον



μένον. ΕΙΡΩ. λέγω. ΑΝΑΓΝΟΙΗ. γνωρίσειεν. ΡΗΪ-
ΔΙΟΝ. ῥᾴδιον, εὐχερές. ΘΗΣΩ. ἐμβάλω. ΕΝΙΨΕΙ.
ἐνείπῃ. ΜΕΣΣΩ. λείπει ἐν. ΜΕΣΣΩ ΓΑΡ ΜΕΓΑ-
ΛΟΙ. ἀσετουνται. τὸ δὲ ἑξῆς, μέσον ὠκεανός. γελοῖον δὲ
καὶ πεζὸν ἐόντα. ΩΚΕΑΝΟΣ ΜΕΝ ΠΡΩΤΑ. καὶ οὐκ
ἐπήγαγε δεύτερα δὲ καὶ τρίτα. ἀπὸ δὲ κοινοῦ τὸ σιω-
πώμενον ἐκδέξασθαι, ἢ οὕτως. διὸ ἵνα μὴ ἄλλον πο-
ταμὸν ἢ ῥεῦμα λέγομεν αὐτὸν πρῶτον ὠκεανόν.
ΔΟΛΙΧΗ. μακρά. ΕΠΕΒΑΛΩΣΑΝ. ἐπεμοίρασαν. ΕΝΙ-
ΨΕΙ. ἐρεῖ λέξει. ΑΛΩΜΕΝΟΣ. πλανώμενος. ΕΥΠΩ-
ΛΟΝ. ἱππικόν. ΤΑΝΗΛΕΓΕΟΣ. μακροκοιμήτου.
ΑΓΑΝΟΙΣΙΝ. ἀγαθοῖς. ΟΙΖΥΡΑΙ ΔΕ ΟΙ ΑΙΕΙ
ΦΘΙΝΟΥΣΙΝ. οὐχ ὑπὸ μνηστήρων ὀχλουμένη. οὐδέ-
ποτε γὰρ οἱ μνηστῆρες οὔγε μετὰ τέσσαρα ἔτη
ἐπίασιν, ἀλλά σε ζητοῦσιν. ΟΙΖΥΡΑΙ. ταλαίπωροι.
ΦΘΙΝΟΥΣΙ. φθείρονται. ΤΕΜΕΝΗ. χωρία. ΔΑΙΝΥ-
ΤΑΙ. εὐωχεῖται. ΑΛΕΓΥΝΕΙΝ. κατεσθίειν. ΧΕΙΜΑ.
ἐν τῷ χειμῶνι. ΕΥΔΕΙ. καθεύδει. ΕΝ ΚΟΝΕΙ. ἐν
τῇ γῇ. ΚΑΚΑ. λυπηρά. ΗΣΤΑΙ. ἐνδέδυται. ΦΥΛΛΩΝ
ΚΕΚΛΙΜΕΝΩΝ. κεκλαδευμένων πεπτωκότων.
ΧΘΑΜΑΛΑΙ. οὐχ αἱ πρὸς τῇ γῇ, ἀλλ' αἱ ἐν τῇ
γῇ, ἢ ταπειναί. ΡΗΓΕΑ. βαπτὰ περιστρώματα. ΣΙΓΑ-
ΛΟΕΝΤΑ. ποικίλα. ΓΟΥΝΟΝ. γόνιμον τόπον. ΑΕ-
ΞΕΙ. αὔξει. ΒΕΒΛΗΑΤΑΙ. βέβληνται, κεῖνται. ΓΟΟ-
ΩΝ. θρηνῶν. ΟΥΤΩ ΓΑΡ ΚΑΙ ΕΓΩΝ ΟΛΟΜΗΝ.
χοωνός

οὐχ ὡς

οὐχ ὡς οἱ νεώτεροι, ὅτι ἑαυτὴν ἀνήρτησεν, ναυπλίου
ψευδῶς μηνύσαντος θάνατον ὀδυσσέως. ΟΥΤΩ
ΓΑΡ ΚΑΙ ΕΓΩΝ ΟΛΟΜΗΝ. ἀπωλόμην ἀπέθανον.
ΣΗΤΕ ΑΓΑΝΟΦΡΟΣΥΝΗ. εὐφήμως τὴν ἀγχόνην
ἐσιώπησεν, ὡς αἰτίαν ἐχόντων τῶν ἑαυτοὺς ἐξα-
γαγόντων τοῦ βίου. ΑΓΑΝΟΦΡΟΣΥΝΗ. πραότητι,
φρενῶν προσηνείᾳ. ΕΛΕΕΙΝ. περιπτύξασθαι. ΕΦΩΡΜΗ-
ΘΗΝ. προεθυμήθην. ΓΕΝΕΣΚΕΤΟ. προσεγίνετο. ΚΗ-
ΡΟΘΙ. ἐν κηρὶ ἐν τῇ ψυχῇ. ΚΡΥΕΡΟΙΟ. ψύχους καὶ
ῥίγους ποιητικοῦ. ΕΙΝ ΑΙΔΑΩ. ἐν ᾅδου. ΤΕΤΑΡ-
ΠΩΜΕΘΑ. κορεσθῶμεν. ΕΙΔΩΛΟΝ. τὴν εἰς τὸ εἶ-
δος μόνον εἰκόνα, οὐ μέν τοι καὶ εἰς ἄλλην
διάθεσιν. ΑΓΑΝΗ. λαμπρά. ΚΑΜΜΟΡΕ. δυστυχέστα-
τε. ΑΠΑΦΙΣΚΕΙ. ἀπατᾷ. ΔΙΚΗ. νόμος. ΙΝΕΣ. τὰ
νεῦρα. ΕΧΟΥΣΙ. συνέχουσι. ΔΑΜΝΑ. φθείρει. ΛΙΠΕΙ.
καταλιμπάνει. ΠΕΠΟΤΗΤΑΙ. ἵπταται. ΛΙΛΑΙΕΟ. προ-
θυμοῦ, ἐπείγου. ΤΕΗ. τῇ σῇ. ΕΡΕΟΙΜΙ. ἐρωτήσω. ΙΣΘ.
ἠΐσασο, ἴσασθαι. ΠΡΟΜΝΗΣΤΙΝΑΙ. ἤτοι ἐπὶ μίαν
ἑξῆς, ἢ ἐπάλληλοι, ἢ ἐπὶ στίχον, καὶ ἔστι κατὰ τὸ
ἔτυμον προμενέτιναι, ἀπὸ τοῦ προσμένειν τὴν ἑτέ-
ραν. ΕΞΑΓΟΡΕΥΕΝ. φανερῶς ἔλεγεν. ΕΡΕΕΙΝΟΝ. ἠρώ-
των. ΤΥΡΩ. σαλμωνέως θυγάτηρ. ΕΥΠΑΤΕΡΕΙΑΝ.
ἐν ἤθει εἶπεν, δυσσεβὴς γὰρ ἦν ὁ σαλμωνεὺς ἀντιβρον-
τῶν τῷ διΐ, καὶ ἀνταστράπτων, διὸ καὶ κεραυνοῖς
διέπεσεν. εἰρωνείᾳ οὖν κέχρηται. ΕΥΠΑΤΕΡΕΙΑΝ. κα-

λὸμ



λὸν πατέρα ἔχουσαν. ΕΚΓΟΝΟΣ. θυγάτηρ. ΣΑΛ-
ΜΩΝΗΟΣ. σαλμωνέως. ΕΝΙΠΗΟΣ. ἐνιπεὺς ἤλιδος
ποταμὸς καὶ θεσσαλίας, πῶς οὖν ἐν ἰλιάδι ὁ
ἄξιος ἢ τοῦ γὰρ ἀξίου τὸ ὕδωρ. τοῦ δὲ ἐνιπέως
τὸ σῶμα, ὅθεν καὶ ἐρασά. ΠΩΛΕΣΘΕΤΟ. ἀνεστρέφε-
το, ἐν προχοῇς ποταμοῦ παρελέξατο δινήεντος,
ἐπαφροδίτως ὁμοῦ καὶ φιλονείκως ἐν αὐτῷ μέ-
σῳ τῶν ποταμῶν, οὗ δὴ ἡ τυρὼ ἤρα τοῦ ποσει-
δῶνος κοινωνῆσαι θελήσαι, ὥσπερ ἐπαγγελῶντα, προ-
χοῆσι δὲ τοῖς εἰς θάλασσαν τῶν ποταμῶν στό-
μασιν. ΠΟΡΦΥΡΕΟΝ. μέλαν. ΟΥΡΕΙ. τῷ ὄρει. ΛΥΣΕ
ΔΕ ΠΑΡΘΕΝΙΟΝ ΖΩΝΗΝ. ἀντὶ τοῦ διεπεπαρ-
θένευσεν. ΦΙΛΟΤΗΣΙΑ ΕΡΓΑ. ἐρωτικά, τουτέστι τὴν
μῖξιν. ΠΕΡΙΠΑΛΟΜΕΝΟΥ. περιερχομένου. ΑΠΟΦΩ-
ΛΙΟΙ. ἀδόκιμοι ἄγονοι, ἄπαιδες, ἄκαρποι. ΚΟΜΕΕΙΝ.
ἐπιμελείας ἀξιοῦν. ΑΤΙΤΑΛΛΕΜΕΝΑΙ. ἐκ νηπίων
ἀνατρέφειν. ΙΣΧΕΟ. ἡσύχαζε. ΟΝΟΜΗΝΗΣ. ἐξείπῃς.
ΥΠΟΚΥΣΣΑΜΕΝΗ. ἔγκυος γινομένη. ΘΕΡΑΠΟΝ-
ΤΕ ΔΙΟΣ. βασιλεῖς, καὶ γὰρ οἱ πολεμικοὶ θερά-
ποντες ἄρεος. ΕΥΡΥΧΩΡΩ. πλατυχώρῳ, μεγάλῃ.
ΙΑΩΛΚΩ. ἰωλκὸς πόλις θεσσαλίας. ΠΟΛΥΡΡΗΝΟΣ.
πολλὰ ποίμνια ἔχων. ΙΠΠΙΟΧΑΡΜΗΝ. ἤτοι χαί-
ροντα ἵπποις, ἢ ἐφ' ἵππων μαχόμενον. ΕΥΧΕΤΟ.
ἔλεγεν, ἐκαυχᾶτο. ΙΑΥΣΑΙ. καθευδῆσαι. ΟΙ ΠΡΩ-
ΤΟΙ ΘΗΒΗΣ. μετὰ γὰρ τούτους κάδμος. ΠΥΡΓΩ-

ΣΑΝ ΤΕ.

ΞΑΝ ΤΕ. καὶ ἐτείχισαν. ΕΠΕΙ ΟΥ ΜΙΝ ΑΠΥΡΓΩΤΟΝ. διὰ τοὺς φλέγυας, μετὰ δὲ τὴν τελευτὴν αὐτῶν εὐρύμαχος ἥρμοσε τὰς θήβας ὥς φησι φερεκύδης ἐν τῇ δεκάτῃ. ΘΥΜΟΛΕΟΝΤΑ. λεοντόψυχον. ΝΑΙΕΜΕΝ, οἰκεῖν. ΤΗΝ ΔΕ ΜΕΤ ΑΛΚΜΗΝΗΝ ΙΔΟΝ ΑΜΦΙΤΡΥΩΝΟΣ ΑΚΟΙΤΙΝ. τηλεβόαι στρατεύσαντες, κτείνουσι τὸν ἠλεκτρύωνος παῖδα περὶ θρεμμάτων ἀγωνιζόμενον. καὶ ἀμφιτρύων ἀποκτείνας ἀκουσίως ἠλεκτρύωνα φεύγει εἰς θήβας. ἀλκμήνη δὲ ἠλεκτρύωνος οὐκ ἐβούλετο γαμηθῆναι, πρὶν τίσαιτο τοὺς τηλεβόας, ὑπὲρ τῶν αὐτῆς ἀδελφῶν. ὑπισχνεῖται δὲ τοῦτο ἀμφιτρύων, καὶ αὐτὴν εἰς θήβας μεταγαγών, πορεύεται ἐπὶ τηλεβόας. ἐν ταύτῃ ζεὺς τῇ νυκτὶ ἀφικνεῖται ἐπὶ τὴν ἀμφιτρύωνος οἰκίαν. ἔχων καρχήσιον ἐοικὸς ἀμφιτρύωνι. ἡ δὲ ἀλκμήνη δοκοῦσα τὸν ἑαυτῆς πασὸν εἶναι. πυνθάνεται περὶ τῶν τηλεβοῶν, εἰ κατέκτεινεν αὐτούς, ὁ δὲ ζεὺς λέγων αὐτῇ πάντα ὅσα ἐγένετο, δίδωσι καὶ τὸ καρχήσιον, φάμενος ἀριστεῖον εἰληφέναι παρὰ τῶν στρατιωτῶν. ἡ δὲ ἀσμένως ἀποτίθησιν, ἐπὶ ταύτῃ συνουσίας ζεὺς ἀπέρχεται, καὶ τῇ αὐτῇ παραγενόμενος νυκτὶ ἀμφιτρύων μίσγεται. καὶ γεννᾷ ἀλκμήνη ἐκ μὲν διός, ἡρακλέα. ἐκ δὲ ἀμφιτρύωνος ἰφικλέα. ἡ ἱστορία παρὰ φερεκύδῃ. ΚΡΕΙΟΝΤΟΣ. κρέοντος, ὄνομα δὲ κυρίως ὁ κρέων.

Pherecydes

Historia de generatione herculis

Pherecydes

ΜΕΝΟΣ



ΜΕΝΟΣ ΑΙΕΝ ΑΤΕΙΡΗΣ. ὀργῆς ἀφορήτου μεστός. ΕΡΙΚΑΣΤΗΝ. παρὰ τοῖς τραγικοῖς ἰοκάστην, καὶ μεγάρην κρείοντος ὑπερθύμοιο θυγατέρα. ἣν ἔσχεν ἀμφιτρύωνος υἱὸς κρέοντος τοῦ θηβῶν βασιλέως. γημαμένη ἡρακλεῖ, παῖδας ἔσχε θηριόμαχον καὶ κροντιάδην. βαδίζοντος δὲ αὐτοῦ εἰς ᾅδου, ἐπὶ τὸν τοῦ κυνὸς ἆθλον, λύκος ὁ τῶν θηβῶν βασιλεύς, πεισθεὶς ἥρᾳ, καταστρέψαι τοὺς ἡρακλέους παῖδας, ἵνα θύσῃ, οὐ γὰρ αὐτὸν ἐπανήξειν ᾤετο. παραγενόμενος δὲ ἡρακλῆς, ἀναιρεῖ αὐτὸν καὶ τοὺς ἐκείνου παῖδας. μανεὶς δὲ διὰ τὴν ἥραν κτείνει τοὺς ἰδίους. ἔμελλε δὲ καὶ τὸν ἀδελφὸν ἰφικλέα, εἰ μὴ ἔφθασεν ἀθηνᾶ κωλύσασα. ἡ δὲ ἱστορία παρὰ ἀσκληπιάδῃ. ΜΗΤΕΡΑ ΤΟΙΔΙΠΟΔΑΟ ΙΔΟΝ ΚΑΛΗΝ ΕΡΙΚΑΣΤΗΝ. λάϊος ὁ οἰδίποδος πατήρ, παρὰ φοίβου μαντείαν λαβών, ὅτι τικτόμενος παῖς ἀπ' αὐτοῦ ἀναιρεῖ αὐτόν, ἐπικάστην γήμας, γεννᾷ οἰδίποδα, καὶ τοῦτον ἐκτίθησι σικυῶνι. οἱ δὲ ἱπποφορβοὶ ἀναλαβόντες ἔθρεψαν αὐτόν. ἡλικίας δὲ γενόμενος ὁ οἰδίπους. ἦλθεν εἰς θήβας ἐπιζητῶν τοὺς γονέας. ἀποκτείνας δὲ ἀκουσίως τὸν πατέρα, λαμβάνει πρὸς γάμον. οὐκ εἰδὼς τὴν μητέρα ἐπιλυσάμενος δὲ τὸ τῆς σφιγγὸς αἴνιγμα, τὸ λέγον· τί δίπους, τί τρίπους, τί τετράπους, καὶ λέγομεν ὅτι τὸ δίπους ἐστὶν ὁ ἄνθρωπος, τὸ τρίπους γέροντα βαστάζοντα βακτηρίαν, καὶ τὸ τετράπους, τὸ νήπιον τὸ συρόμενον.

Epicasta Iocasta

Herculis furor

Asclepiades

Oedipi historia

συρόμενον, γίνεται δὲ ἐκ τούτων ἐτεοκλῆς καὶ πολυνείκης, καὶ θυγατέρες ἀντιγόνη καὶ ἰσμήνη. ὕστερον δὲ ἡ ἰοκάστη ἐπιγνοῦσα ὅτι τῷ παιδὶ παρεμίγη, ἑαυτὴν ἀνήρτησεν, ὁ δὲ οἰδίπους ἐκπεσὼν ὑπὸ κρέοντος, ἦλθεν εἰς τὴν ἀττικὴν, καὶ ᾤκησεν ἱππέα κολωνὸν καλούμενον, καὶ ἱκέτευεν ἐν τῷ ἱερῷ τῶν θεῶν δήμητρος, καὶ πολιούχου ἀθηνᾶς καὶ διὸς, ἀγόμενος ὑπὸ κρέοντος ἔχειν ἀπιστεῖν θησέα, τελευτῶν δὲ ὁ οἰδίπους διὰ γῆρας παρεκάλεσε τὸν θησέα μηδενὶ τῶν θηβαίων δεῖξαι τὸν τάφον, ἐθελησάντων γὰρ αὐτὸν καὶ νεκρὸν αἰκίσασθαι. ἡ ἱστορία παρὰ ἀνδροτίωνι. ΕΞΕΝΑΡΙΞΑΣ. ἀνελὼν, φονεύσας. ΝΟΙΟ. τοῦ νοῦ. ΑΝΑΠΥΣΤΑ. ἀνὰ στόμα πᾶσι λέγειν, καὶ πυνθάνεσθαι, ἢ φανερά. ΠΟΛΥΚΡΑΤΩ. πολλὰς ἀρὰς καὶ βλάβας θεῶν ὑπομείνας, ἢ οὐ γὰρ ἐρασμίῳ ὅπως ἂν ἡ τῶν ὑποκειμένων ἀκόλουθον. ΘΕΩΝ ΟΛΟΑΣ ΔΙΑ ΒΟΥΛΑΣ. τὸ ἑξῆς ἄλγεα πάσχε θεῶν ὀλοὰς διὰ βουλὰς καδμείων ἤνασσεν, οὐχὶ θεῶν ὀλοὰς διὰ βουλὰς ἤνασσεν. ΠΥΛΑΡΤΩ. τοῦ τὰς πύλας ἰσχυρῶς ἐπαρτῶντος καὶ συγκλείοντος. ΑΨΑΜΕΝΗ. ἐκδήσασα, ἀνάψασα. ΑΙΠΗΝ. ὑψηλὸν, τὴν γῆν ἀφεστηκότα. Ω ΑΧΕΙ ΣΧΟΜΕΝΗ. νικηθεῖσα ὑπὸ τῆς ἰδίας λύπης. ΣΧΟΜΕΝΗ. κατασχεθεῖσα. ΑΜΦΙΟΝΟΣ ΙΑΣΙΔΑΩ. ἕτερος οὗτος ὁ ἀμφίων ἀργεῖος ὁ διός. ΝΕΣΤΟΡΑ ΤΕ

ΧΡΟΜΙΟΝ

ἱππέα κολωνόν

Androtion

Amphion argiuus iouis f.



ΧΡΟΜΙΟΝ ΤΕ. πῶς οὖν ἐν ἰλιάδι ιβ γὰρ νηλῆος ἀμύμονος υἷες ἦμεν. ἐξ ἄλλων καὶ ἄλλων. ἐκ χλωρίδος δὲ τρεῖς. ἡ νῦν κατ᾽ ἐξοχὴν τῶν τριῶν ἐμνήσθη. χρομίου μὲν ὡς πρεσβυτάτου, περικλυμένου δὲ, ὡς ἀνδρειοτάτου. νέστορος δὲ ὡς συνετωτάτου. ΚΑΙ ΧΛΩΡΙΝ ΙΔΟΝ ΠΕΡΙΚΑΛΛΕΑ. ΤΗΝ ΠΟΤΕ ΝΗΛΕΥΣ ΓΗΜΕΝ ΕΟΝ ΔΙΑ ΚΑΛΛΟΣ. ΕΠΕΙ ΠΟΡΕ ΜΥΡΙΑ ΕΔΝΑ. ΟΠΛΟΤΑΤΗΝ ΚΟΥΡΗΝ ΑΜΦΙΟΝΟΣ. νηλεὺς ὁ ποσειδῶνος καὶ τυροῦς παῖς, ἐξελαθεὶς ὑπὸ πελίου τοῦ ἀδελφοῦ τῆς ἰωλκοῦ, ἀφίκετο εἰς μεσσήνην τῆς πελοποννήσου. καὶ λαβὼν παρὰ ἐγχωρίων τὴν πύλον κτίζει. καὶ γαμεῖ χλῶριν τὴν ἀμφίονος τοῦ ἰάσου καὶ φερσεφόνης τῆς μίου θυγατέρα. βασιλεύει τε οὐ μόνον τῶν πυλίων, ἀλλὰ καὶ τῶν ἐν ὀρχομενῷ. καὶ γίνεται εὐδαιμόνων. ἡ ἱστορία παρὰ φερεκύδη. ΠΕΡΙΚΛΥΜΕΝΟΝ Τ᾽ ΑΓΕΡΩΧΟΝ. ἡσίοδος τὸν περικλύμενον δοκεῖ δῶρον εἰληφέναι παρὰ ποσειδῶνος, ὥστε ἀμείβειν ἑαυτὸν εἰς οἵου ζώου ἢ δένδρου ἐθέλοι εἰκόνα. ΑΓΕΡΩΧΟΝ. νῦν τὸν ἄγαν ῥᾳδίως μεταφερόμενον καὶ μεταχεόμενον εἰς ὃ ἂν βούλοιτο. ΜΝΩΟΝΤΟ. ἐμνηστεύοντο. ΜΕΛΑΘΡΟΥ. νῦν οἴκου. ΟΠΛΟΤΑΤΗΝ. νεωτάτην. ΟΡΧΟΜΕΝΟΣ. πόλις βοιωτίας. ΠΕΡΙΚΤΙΟΝΕΣ. οἱ περίοικοι. ΕΥΡΥΜΕΤΩΠΟΥΣ. πλατυμετώπους. ΦΥΛΑΚΗΣ.

Nelei fi.

Amphió iasi f.

Pherecydes

Hesiodus




De Periclymeno

Deioneus

πόλεως Θεσσαλίας. ΕΛΑΣΣΕΙΕΝ. ἀπελάσειεν. ΕΚ ΦΥΛΑΚΗΣ ΕΛΑΣΕΙΕΝ, Τυρὼ ἦλθε παρὰ Δηιονέα τὸν θεῖον. ὁ δὲ, καταγαγὼν αὐτὴν εἰς Θεσσαλίαν δίδωσι Κρηθεῖ τῷ ἀδελφῷ. ἤδη ἐκ Ποσειδῶνος ἐσχηκυῖαν Νηλέα καὶ Πελίαν. ὁ τοίνυν Νηλεὺς Ἴφικλον τὸν Φυλάκου τοῦ Δηιονέως, ἀπῄτει τὰ τῆς μητρός. καὶ ὃς οὐκ ἀπεδίδου. Μελάμπους δὲ ὁ Ἀμυθάονος ὑπὸ δρακόντων τὰ ὦτα καθαρθεὶς ὡς καὶ τῶν ἀλόγων ὑπακούειν ζώων, τὰς Ἰφίκλου βοῦς ἀπελαύνων ὑπὲρ τοῦ γῆμαι Πηρὼ τὴν Νηλέως, Βίαντα τὸν ἀδελφὸν αὐτοῦ, συλληφθεὶς καὶ εἰς εἱρκτὴν ἐμβληθεὶς, κατακούσας τε διαλεγομένων σκωλήκων ὀλίγον ἔτι ἀπέχειν τῆς δοκοῦ, ἐκέλευσεν ἐκκομισθῆναι, τοῦ δὲ οἰκήματος κατενεχθέντος μαθὼν ὁ Ἴφικλος ὑπισχνεῖται τῷ Μελάμποδι τὰς βοῦς, εἴγε τῆς ἀτεκνίας αὐτὸν διὰ τῆς τέχνης παύσειεν. ὁ δὲ Μελάμπους παρ' αἰγυπιοῦ μαθὼν τὴν αἰτίαν, καὶ ἀναζητήσας ἐκείνην τὴν μάχαιραν ἀχέρδου φλοιῷ κεκαλυμμένην, ἣν ἐπήνεγκε Φύλακος τῷ Ἰφίκλῳ ἐπὶ τῶν ἀγρῶν ἐκτέμνοντι τὰ τετράποδα, θύσας τε θεοῖς τοῖς μηνύουσιν ὑπὲρ τῆς τῶν τετραπόδων εὐνουχίας, τὸν Ἴφικλον ἀπεφήνατο πατέρα Πρωτεσιλάου καὶ Ποδάρκους. τοῖσι δὲ ἐπὶ Ἰφθίμην Πηρὼ τέκε θαῦμα βροτοῖσι τὴν πάντες μνώοντο περικτίται, οὐδέ τι Νηλεὺς τῷ ἐδίδου ὃ μὴ ἕλικας βοῦς εὐρυμετώπους ἐκ Φυλάκης ἐλάσειε βίης Ἰφικλείης. Νηλεὺς

Historia melampodis & biantis



λεὺς ὁ Ποσειδῶνος ἔχων θυγατέρα Πηρὼ τοὔνομα κάλλει εὐπρεπεστάτην. οὐδενὶ ταύτην ἐξεδίδου πρὸς γάμον. εἰ μὴ πρότερον ἐκ Φυλάκης τὰς τῆς μητρὸς Τυροῦς ἐλάσειεν, τὰς βοῦς παρ' Ἰφίκλου. πάντων δὲ ἀπορουμένων, Βίας ὁ Ταλαοῦ μόνος ὑπίσχετο δράσειν τοῦτο. καὶ πείθει τὸν ἀδελφὸν Μελάμποδα ῥέξαι τὸ ἔργον. ὁ δὲ καίπερ εἰδὼς ἅτε δὴ μάντις ὅτι ἁλώσεται ἐνιαυτὸν εἰς τὴν ὀφρὺν ἀφικνεῖται ἐπὶ τὰς βοῦς. οἱ φύλακες ἐνταῦθα καὶ οἱ βουκόλοι κλέπτοντα αὐτὸν λαμβάνουσι καὶ παραδιδόασιν Ἰφίκλῳ. καὶ δεθεὶς ἐφυλάσσετο παρεζευγμένων αὐτῷ θεραπόντων δύο, ἀνδρὸς καὶ γυναικός. καὶ ὁ μὲν ἀνὴρ αὐτοῦ ἐπιεικῶς ἐθεράπευεν, ἡ δὲ γυνὴ φαυλότερον. ἐπεὶ δὲ ὁ ἐνιαυτὸς ὀλίγον πρὸς τὸ πληρωθῆναι περιῆν, Μελάμπους ἀκούει ὕπερθεν τινῶν σκωλήκων διαλεγομένων, ὅτι καταβεβρώκοιεν τὴν δοκόν. καὶ τοῦτο ἀκούσας καλεῖ τοὺς διακόνους καὶ κελεύει αὐτοὺς ἐκφέρειν τῆς κλίνης. λαμβανόμενος τὴν μὲν γυναῖκα πρὸς ποδῶν, τὸν δὲ ἄνδρα πρὸς κεφαλῆς. οἱ δὲ αὐτὸν ἀναλαβόντες ἐκφέρουσιν. ἐν τοσούτῳ δὲ καὶ ἡ δοκὸς κατακλᾶται καὶ ἐπιπίπτει τῇ γυναικὶ καὶ κτείνει αὐτήν. ὁ δὲ ἀνὴρ ἐξαγγέλλει τῷ Φυλάκῳ. ὁ δὲ Φύλακος Ἰφίκλῳ τὰ γενόμενα. οἱ δὲ ἐλθόντες παρὰ τὸν Μελάμποδα, ἐρωτῶσι αὐτὸν τίς ἐστιν. ὁ δὲ ἔφη μάντις εἶναι. οἱ δὲ αὐτῷ τὰς βοῦς ἐπισχνοῦνται δώσειν. ἐὰν μηχανήν τινα

Ophrue. V.

Biantis historia

εὑρεῖ παίδων γενέσεως ἰφίκλῳ, καὶ πιστοῦνται ταῦ-
τα. ὁ δὲ μελάμπους βοῦν ἱερεύσας τῷ διῒ διαιρεῖ
μοίρας πᾶσι τοῖς ὄρνισιν, οἱ δὲ ἔρχονται πάντες
πλὴν ἑνὸς αἰγυπιοῦ. ὁ δὲ μελάμπους ἐρωτᾷ
πάντας τοὺς ὄρνιθας, εἴτις οἶδε μηχανὴν, πῶς ἂν
ἰφίκλῳ γένοιντο παῖδες. ἀποροῦντες δὲ ἐκεῖνοι,
κομίζουσι τὸν αἰγυπιόν. οὗτος δὲ τὴν αἰτίαν τῆς
ἀπαιδίας σπορᾶς εὐθέως εὗρεν. διώξας γὰρ τὸν
φύλακον μετὰ μαχαίρας τὸν ἴφικλον ἔτι νεο-
γνὸν ὄντα, διὰ τὸ ἰδεῖν αὐτὸν ἄτοπόν τι ποιοῦν-
τα, ἔπειτα τὸν φύλακον μὴ καταλαμβάνοντα πῆ-
ξαι τὴν μάχαιραν εἴς τινα ἄχερδον. καὶ περιφῦ-
ναι αὐτῇ τὸν φλοιόν. τὸν δὲ ἴφικλον διὰ τὸ
δέος μηκέτι παῖδας ποιῆσαι. ἐκέλευσεν οὖν
ὁ αἰγυπιὸς τὴν μάχαιραν τὴν ἐν τῇ ἀχέρδῳ
κομίζειν. καὶ ἀποσμήξαντα τὸν ἰὸν διδόναι ἀπ'
αὐτῆς πιεῖν ἐν οἴνῳ δέκα ἡμέρας ἰφίκλῳ. γεννῆ-
σαι δὲ αὐτῷ παῖδας ἐκ τούτου. ποιήσας δὲ ὁ
ἴφικλος τοῦτο, τὴν γονὴν ἀναῤῥώννυσι. καὶ ἔχει πο-
δάρκην παῖδα. καὶ δίδωσι τὰς βοῦς τῷ με-
λάμποδι. ἃς λαμβάνει αὐτὴν τῷ ἀδελφῷ βίαν-
τι πρὸς γάμον. καὶ αὐτῷ γίνονται παῖδες, περιαλ-
κὴς, καὶ ἄρκτος, καὶ ἀλφεσίβοια. ἡ δὲ ἱστορία παρὰ
φερεκύδῃ ἐν τῇ ἑβδόμῃ. ΒΙΗΣ ΙΦΙΚΛΕΙΗΣ. περι-
φραστικῶς τοῦ ἰφίκλου. ΑΡΓΑΛΕΑΣ. χαλεπάς, δυ-
σκόλους.

Biantis historia

Pherecydes

Perialces
Arctus
Alphesiboea



σκόλους. ἀπὸ τοῦ περιέχοντος δὲ καὶ ἔξωθεν πράγματος
αὐτὸ τὸ περιεχόμενον ἐπωνόμασεν. ἀργαλέαι γὰρ
οὐκ αὗται αἱ βόαι, ἀλλ' αἱ περὶ αὐτοὺς πραγματεῖαι
καὶ σπουδαί. ΕΞΕΛΑΑΝ. ἀπελαύνειν. ΧΑΛΕΠΗ.
δύσκολος, κακή. ΕΞΕΤΕΛΕΥΝΤΟ. ἐπληροῦντο. ΑΨ
ΠΕΡΙΤΕΛΛΟΜΕΝΟΥ ΕΤΕΟΣ. εἰς τοὐπίσω τοῦ ἔτους
περιιόντος. ΔΙΟΣ Δ' ΕΤΕΛΕΙΕΤΟ ΒΟΥΛΗ. τὸ πεπρω-
μένον ἐλάμβανε τέλος. ΚΑΣΤΟΡΑ Θ' ΙΠΠΟΔΑ-
ΜΟΝ, ΚΑΙ ΠΥΞ ΑΓΑΘΟΝ ΠΟΛΥΔΕΥΚΕΑ. τούτων
ὁ μὲν πολυδεύκης ἀπὸ τοῦ θείου σπέρματος ἱστο-
ρεῖται γενέσθαι, ὁ δὲ κάστωρ ἀπὸ τυνδάρεω. ΑΓΡΟΙΩ-
ΤΑΙ. ἄγροικοι. ΦΥΣΙΖΟΟΣ. πρὸς τὸ ζῆν φύουσα.
ΤΟΥΣ ΑΜΦΩ ΖΩΟΥΣ. ἀναιρεθέντος κάστορος ὑπὸ με-
λεάγρου, ἢ πολυνείκους, πολυδεύκης ἄφθαρτος ὢν
διὰ τὸ ἐκ διὸς γεγονέναι παρεκάλεσε τὸν πατέρα
ὅπως ἐπιτρέψῃ αὐτῷ νείμασθαι πρὸς τὸν ἀδελ-
φὸν τὴν ἀφθαρσίαν. ὥστε παρ' ἡμέραν ἀμφοτέ-
ρους ὅτε μὲν ἐν ὀλύμπῳ διατρίβειν, ὅτε δὲ ἐν
ἀϊδωνέως. ΕΤΕΡΗΜΕΡΟΙ. παρ' ἡμέραν ἀμφότεροι
ἢ μίαν παρὰ μίαν ἡμέραν ζῶντες. ΤΕΘΝΩΣΙ. τε-
λευτῶσι. ΛΕΛΟΓΧΑΣΙ. ἔχουσι κεκλήρωνται. ΟΥΣ
ΔΗ ΜΗΚΙΣΤΟΥΣ. τί οὖν ὁ τιτυὸς ἐπ' ἐννέα κεῖται
πέλεθρα γηγενὴς ἐκεῖνος; τούτους δὲ ἀντεξε-
τάζει ἀνθρώποις. ΜΙΝΥΝΘΑΔΙΟΙ. ὀλιγοχρόνιοι.
ΕΝΝΕΩΡΟΙ. ἐννεαετεῖς. ΕΥΡΟΣ. πλάτος. ΑΤΑΡ

ἀτ

Castoris fabula

ΜΗΚΟΣ ΓΕ ΓΕΝΕΣΘΗΝ ΕΝΝΕΟΡΓΥΙΟΙ. δαιμόνιος ἡ ἀκρίβεια, ἀνάλογον γὰρ σῶμα. οὗ τὸ πλάτος τέταρτόν ἐστι τοῦ μήκους. ΕΝΝΕΟΡΓΥΙΟΙ. ἐννέα ὀργυιῶν, ὀργυιὰ δέ ἐστιν ἡ τῶν χειρῶν ἔκτασις. ΦΥΛΟΠΙΔΑ. μάχην. ΠΟΛΥΑΙΚΟΣ. πολλὰς ὁρμὰς καὶ κινήσεις ἔχοντος. ΑΠΕΙΛΕΙΤΗΝ. διεβεβαιοῦντο. ΟΣΣΑΝ ΕΠ' ΟΥΛΥΜΠΩ. ἐν δὲ ἴσου μεγέθους πολεμοῦσι. ἐπιπειρῶνται δὲ ὡς ἀδύνατοι. ἀλλὰ μέμασαν φησίν. οὐκ ἔπραξαν δέ. ΟΣΣΑΝ. ὄσσα ὄρος θεσσαλίας. ΟΥΛΥΜΠΩ. ὄλυμπος ὄρος μακεδονίας. ΠΗΛΙΟΝ. ὄρος θεσσαλίας. ΘΕΜΕΝ. τεθῆναι. ΕΞΕΤΕΛΕΣΣΑΝ. ἐτελείωσαν, ἐπλήρωσαν. ΗΒΗΣ ΜΕΤΡΟΝ ΙΚΟΝΤΟ. ἀντὶ τοῦ νεανίαι ἐγένοντο. ΑΛΛ' ΟΛΕΣΕΝ ΔΙΟΣ ΥΟΣ. οἱ νεώτεροι φασὶ τὴν ἄρτεμιν ἔλαφον ἐλάσαι δι' αὐτῶν. τοὺς δὲ τὴν ἔλαφον ἀφέντας, ἀλλήλους διαχρήσασθαι. ΑΜΒΑΤΟΣ. εὐεπίβατος. ΙΟΥΛΟΥΣ. τὰς κατὰ τὴν γένειον πρώτας τρίχας ἰούλους λέγει. διὰ τὸ τοὺς ἤδη ταύτας ἔχοντας ἄρχεσθαι ἰέναι ἐπὶ τὸ οὖλον ὅθεν τὸ τέλειον λέγει. ΠΥΚΑΣΑΙ. καλύψαι. ΕΥΑΝΘΕΙ. εὐφυεῖ. ΛΑΧΝΗ. τριχώσει. ΑΠΟΝΗΤΟ. ὄνησιν εἶχε. ΦΑΙΔΡΗΝ ΤΕ. φαίδρα μίνωος θυγάτηρ γυνὴ θησέως. ΚΑΙ ΛΗΔΗΝ ΕΙΔΟΝ. τὴν τυνδάρεως παράκοιτιν. ζεὺς λήδας ἐρασθεὶς τῆς θεστίου παιδός, εἰς κύκνον

ὀργυιά

Ledæ fabula





ἑαυτὸν μετέβαλεν, καὶ διαπτὰς ἐμίγη αὐτῇ. μετὰ χρόνον δὲ ἐκείνη τεκοῦσα ὠόν, ἀποτίθεται εἰς λάρνακα. ὅθεν συνέβη τούς τε διοσκούρους καὶ τὴν ἑλένην γεννηθῆναι. γόνῳ μὲν διός, ἐπίκλησιν δὲ τυνδάρεω. ἡ δὲ ἱστορία παρὰ τοῖς νεωτέροις. ΦΑΙΔΡΗΝ ΤΕ. θησεὺς ὁ αἰγέως ἔχων παῖδα ἱππόλυτον ἐξ ἀμαζόνος ἀντιόπης ἔγημε φαίδραν τὴν μίνωος θυγατέρα τοῦ τῶν κρητῶν βασιλέως, εὐλαβούμενος δὲ μητρυιᾶς ἐπιβουλήν, πέμπει ἐξ ἀθηνῶν τὸν υἱὸν ἱππόλυτον τροιζηνίων ἄρχειν. ἦν γὰρ αὐτῷ διὰ τὴν πιτθέως ἔχθραν, μηζῶσα τὶς ἀρχὴ δεῦρο. φαίδρα δὲ ἐρωτικῶς διατεθεῖσα τοῦ ἱππολύτου σφοδρῶς ἐπ' αὐτῷ τηκομένη, τὸ μὲν πρῶτον ἱερὸν ἀφροδίτης ἐν ἀθήναις ἱδρύσατο, τὸ νῦν ἱππολύτειον καλούμενον. εἰς τροιζῆνα δὲ ὕστερον παραγενομένη, διενοεῖτο πείθειν τὸν νεανίσκον, ὅπως αὐτῇ μιγείη, χαλεπῶς δ' ἐκείνου προσδεξαμένου τὸν λόγον, λέγεται βοήσασαν αὐτὴν ἀντιστρέψαι τὴν αἰτίαν. καὶ πρὸς θησέα διαβάλλειν, ὡς ἱππολύτου πειθόντος αὐτήν. ὁ δὲ τριῶν ὡς φασὶν αὐτῷ παρὰ τοῦ ποσειδῶνος εὐχῶν εἶναι ὡμολόγησεν. ὅτι ἂν εὔξηται συντελέσειν πιστεύσας τῇ φαίδρᾳ μίαν τούτων ᾐτήσατο παρὰ τοῦ παιδὸς ὄλεθρον ἔκγονον μὲν οὖν ὁμολογοῦσι. τὸ ἅρμα γυμνάζοντα προσφανέντος

Hippolyti fabula

ἐξαίφνης ἀπὸ τῆς θαλάσσης ταύρου, καὶ ταραχθέντων τῶν ἵππων ἑλκόμενον ἀποθανεῖν. τὴν φαίδραν φανερῶς γενομένης τῆς διαβολῆς ἀπάγξασθαι. ἡ δὲ ἱστορία παρὰ ἀσκληπιάδῃ. ΠΡΟΚΡΙΝ ΤΕ ΙΔΟΝ. πρόκρις ἐρεχθέως θυγάτηρ κέφαλον τὸν ἑαυτῆς ἄνδρα συνεχῶς ἐπὶ θήραν ἐξιόντα ἐτήρει, λαθραίως διὰ ζηλοτυπίαν. ὁ δὲ κέφαλος νομίσας εἶναι θηρίον ἀπό τινος τῆς ὕλης κτύπου, ἔλαβεν αὐτὴν πρόκριν κατακοντίσας. ΠΡΟΚΡΙΝ ΤΕ. κέφαλος ὁ δηϊονέως γήμας πρόκριν τὴν ἐρεχθέως ἐν τῇ θορικέων κατῴκει. θέλων δὲ τῆς γυναικὸς ἀποπειρᾶσθαι, λέγεται εἰς ἀποδημίαν ἐπὶ ἔτη ὀκτώ, καταλιπὼν αὐτὴν ἐπὶ νυμφῶν οὖσαν. ἔπειτα κατακοσμήσας, καὶ ἀλλοειδῆ ἑαυτὸν ποιήσας ἔρχεται εἰς τὴν οἰκίαν ἔχων κόσμον. καὶ πείθει τὴν πρόκριν δέξασθαι τοῦτο καὶ συμμιγῆναι αὐτῷ. ἡ δὲ πρόκρις ἐποφθαλμίσασα τῷ κόσμῳ, καὶ τὸν κέφαλον ὁρῶσα κάρτα καλόν, συγκοιμᾶται αὐτῷ. ἐκφήνας δὲ ἑαυτὸν ὁ κέφαλος αἰτιᾶται τὴν πρόκριν. οὐ μὴν ἀλλὰ καταλλαγεὶς ἐξέρχεται ἐπὶ θήραν, πυκνῶς δὲ αὐτοῦ τοῦτο δρῶντος, ὑπόπτευσεν ἡ πρόκρις, ὅτι μίσγεται γυναικὶ ἑτέρᾳ. προσκαλεσαμένη οὖν τὸν οἰκέτην ἔλεγεν εἰ συνοῖδεν. ὁ δὲ θεράπων ἔφη τὸν κέφαλον ἰδεῖν ἐπί τινος ὄρους κορυφήν, καὶ λέγειν συχνῶς, ὦ νεφέλα παραγενοῦ.

καὶ τοῦτο

Asclepiades

Procridis & Cephali fabula



καὶ τοῦτο μόνον συνειδέναι. ἡ δὲ πρόκρις ἀκούσασα, ἔρχεται εἰς ταύτην τὴν κορυφὴν καὶ κατακρύπτεται. καὶ τὸ αὐτὸ λέγοντος αὐτοῦ πυθομένη, προστρέχει πρὸς αὐτόν. ὁ δὲ κέφαλος ἰδὼν αὐτὴν αἰφνιδίως, ἔξω ἑαυτοῦ γίνεται. καὶ ὥσπερ εἶχε βάλλει μετὰ χεῖρα ἀκοντίῳ τὴν πρόκριν, καὶ κτείνει. μεταπεμψάμενος δὲ ἐρεχθέα, θάπτει πολυτελῶς αὐτήν. ἡ δὲ ἱστορία παρὰ φερεκύδῃ ἐν τῇ ζ. ΚΑΛΗΝ Τ' ΑΡΙΑΔΝΗΝ. ἀριάδνη μίνωος θυγάτηρ γυνὴ θησέως. ἐξ ἧς δημοφῶν καὶ ἀκάμας. ΚΑΛΗΝ Τ' ΑΡΙΑΔΝΗΝ. κούρην μίνως ὀλοόφρονος. θησεὺς ὁ αἰγέως λαχὼν μετὰ τῶν ἠϊθέων εἰς κρήτην πλεῖν, τῷ μινωταύρῳ παρατεθησόμενος πρὸς ἀναίρεσιν. ἀφικομένου δὲ αὐτοῦ ἐρωτικῶς πρὸς αὐτὸν διατεθεῖσα ἡ τοῦ μίνωος θυγάτηρ ἀριάδνη, δίδωσιν ἀγαθίδα μίλτου λαβοῦσα παρὰ δαιδάλου τοῦ τέκτονος. καὶ διδάσκει αὐτόν, ἐπειδὰν εἰσέλθῃ τὴν ἀρχὴν τῆς ἀγαθίδος ἐκδῆσαι περὶ τὸν ζυγὸν τῆς ἄνω θύρας καὶ ἀνελίσσοντα ἰέναι, μέχρις ἂν ἀφίκηται εἰς τὸν μυχόν. καὶ ἐὰν αὐτὸν καθεύδοντα μάρψῃ, κρατήσαντα τῶν τριχῶν τῆς κεφαλῆς, τῷ ποσειδῶνι θῦσαι, καὶ ἀπιέναι ὀπίσω, ἀνελίσσοντα τὴν ἀγαθίδα. ὁ δὲ θησεὺς λαβὼν τὴν ἀριάδνην εἰς τὴν ναῦν ἐμβάλλεται. καὶ τοὺς ἠϊθέους καὶ παρθένους οὐδήπω φθάσαντας τῷ μινωταύρῳ παρατεθῆναι.

Pherecydes

Ariadnes & thesei fabula

ἀγαθὶς μίλτου

παραπεθῆναι. ὁ δὲ ταῦτα ποιήσας νυκτὸς μέσης ἀπέπλευσε. προσορμήσας δὲ τῇ Δίᾳ νήσῳ, ἐκεῖσε ἐπὶ τῆς ἠιόνος μετακοιμᾶται. ὁ δὲ αὐτῷ ἡ Ἀθηνᾶ παραστᾶσα, κελεύει τὴν Ἀριάδνην ἐᾶν. ὁ δὲ ἀφικνεῖσθαι εἰς Ἀθήνας. συντόμως δὲ διαναστὰς ποιεῖ τοῦτο. κατολοφυρομένης δὲ τῆς Ἀριάδνης ἡ Ἀφροδίτη ἐπιφανεῖσα θαρρεῖν αὐτῇ παραινεῖ. Διονύσου γὰρ ἔσεσθαι γυναῖκα. καὶ εὐκλεῆ γενέσθαι. ὅθεν ὁ θεὸς ἐπιφανὴς μίσγεται αὐτῇ. καὶ δωρεῖται στέφανον αὐτῇ χρυσοῦν. ὃν αὖθις οἱ θεοὶ κατηστέρισαν τῇ τοῦ Διονύσου χάριτι. ἀναιρεθῆναι δὲ αὐτὴν ὑπὸ Ἀρτέμιδος. προεμένην τὴν παρθενίαν. ἡ ἱστορία παρὰ Φερεκύδῃ. ΚΟΥΡΗΝ. θυγατέρα. ΗΓΕΝ. ἔφερεν. ΕΣΧΕΝ. νῦν ἀντὶ τοῦ ἀνεῖλεν. γράφεται καὶ ἔκταν. ΔΙΗ ΕΝ ΑΜΦΙΡΥΤΗ. Δία νῆσος πρὸς τῇ Κρήτῃ. ἥτις Νάξος καλεῖται. ἱερὰ δὲ αὕτη τοῦ Διονύσου. ΔΙΟΝΥΣΣΟΥ ΜΑΡΤΥΡΙΗΣΙΝ. ἐπεὶ κατεμαρτύρησεν αὐτῆς ἀσέβειαν, μιγείσης ἐν τῷ τεμένει αὐτοῦ τῷ Θησεῖ. οἱ δὲ νεώτεροι φασὶ καταληφθεῖσαν αὐτὴν ὑπὸ Θησέως ἁρπαγῆναι ὑπὸ τοῦ Διονύσου. ΜΑΙΡΑΝ ΤΕ. μαῖρα Προίτου καὶ Ἀντείας θυγάτηρ. ἐτελεύτησε δὲ παρθένος. ΜΑΙΡΑΝ ΤΕ. μαῖρα ἡ Προίτου τοῦ Θερσάνδρου θυγάτηρ καὶ Ἀντείας τῆς Ἀμφιάνακτος, ἐγένετο κάλλει διαπρεπεστάτη. ἡγουμένη δὲ περὶ πλείονος τὴν παρθενίαν, εἵπετο τῇ Ἀρτέμιδι ἐπὶ τὰ κυνηγέσια. ταύτης ἐρασθεὶς Ζεὺς ἀφικνεῖται

ὡς αὐτὴν

Pherecy

Maera



ὡς αὐτήν, καὶ λανθάνων διαφθείρει. ἡ δὲ ἔγκυος γενομένη τίκτει λοκρὸν τὸ ὄνομα παῖδα, ὃς Θήβας μετ' Ἀμφίονος καὶ Ζήθου οἰκίζει. τὴν δὲ μαῖραν λέγεται τοξευθῆναι ὑπὸ Ἀρτέμιδος. διὰ τὸ μηκέτι παραγίνεσθαι εἰς τὰ κυνηγέσια. ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ. ΚΛΥΜΕΝΗΝ ΤΕ ΙΔΩΝ. κλυμένη μινύου θυγάτηρ. ΚΛΥΜΕΝΗΝ ΤΕ ΙΔΩΝ. κλυμένη μινύου τοῦ Ποσειδῶνος καὶ Εὐρυανάσσης τῆς ὑπέρφαντος γαμηθεῖσα φυλάκῳ τῷ Δηιόνος, ἴφικλον τίκτει ποδώκη παῖδα. τοῦτον λέγεσθαι διὰ τὴν τῶν ποδῶν ἀρετὴν συναμιλλᾶσθαι τοῖς ἀνέμοις, ἐπί τε τῶν ἀσταχύων διέρχεσθαι, καὶ διὰ τοῦ τάχους καὶ τὴν κουφότητα μὴ περικλᾶν τοὺς ἀθέρας. ἔνιοι δὲ αὐτὴν τὴν κλυμένην προγαμηθῆναι φασὶν Ἡλίῳ. ἐξ ἧς φαέθων ἐγένετο παῖς. ἡ δὲ ἱστορία παρὰ Ἡσιόδῳ. ΣΤΥΓΕΡΗΝ Τ' ΕΡΙΦΥΛΗΝ. ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο. ΤΙΜΗΕΝΤΑ. ἀμφιάραος ὁ Ὀικλέους γήμας ἐριφύλην τὴν Ταλαοῦ. καὶ διενεχθεὶς ὑπέρ τινων πρὸς Ἄδραστον. καὶ πάλιν διαλυθεὶς ἐνώμοτος ὡμολόγησεν ὑπὲρ ὧν ἂν διαφέρονται πρὸς ἀλλήλους αὐτός τε καὶ Ἄδραστος, ἐπιτρέψειν ἐριφύλῃ κρίνειν καὶ πείθεσθαι αὐτῇ. μετὰ δὲ ταῦτα γινομένης τῆς ἐπὶ Θήβας πλατείας ὁ μὲν ἀμφιάραος ἀπέτρεπε τοὺς Ἀργείους. καὶ τὸν ἐσόμενον ὄλεθρον προεμαντεύετο. λαβοῦσα δὲ ἡ ἐριφύλη τὸν ὅρμον παρὰ τοῦ Πολυνείκους τὸν τῆς Ἁρμονίας, προσέθετο τοῖς περὶ τὸν Ἄδραστον

Locros

Pherecydes

Iphicli pernicitas

Phaethon

Hesiodus

Eriphyles historia

ἄδραστον βιαζομένοις τὸν ἀμφιάραον ἰδόντα τὴν τῶν δώρων ὑποδοχήν. καὶ πολλὰ τὴν ἐριφύλην αἰτιασάμενος αὐτὸν, καὶ ἐξορμῆσαι πρὸς τὴν στρατείαν ἀλκμαίωνι ἢ προστάξαι μὴ πρότερον μετὰ τῶν ἐπιγόνων ἐπὶ θήβας πορεύεσθαι, πρὶν ἀποκτεῖναι τὴν μητέρα. ταῦτα δὲ πάντα δράσαι λέγεται τὸν ἀλκμαίωνα. ὃν διὰ τὴν μητροκτονίαν μανῆναι. τοὺς δὲ θεοὺς ἀπολῦσαι τῆς νόσου αὐτὸν διὰ τὸ ὁσίως ἐπαμείνοντα τῷ πατρὶ τὴν μητέρα κατακτεῖναι. ἡ ἱστορία παρὰ ἀσκληπιάδῃ.

Asclepiades

ΣΤΥΓΕΡΗΝ Τ' ΕΡΙΦΥΛΗΝ. ἴφιος θυγατέρα. μισητὴν δὲ διὰ τὸ λαβεῖν παρὰ πολυνείκου ἢ ἀδράστου χρυσοῦν ὅρμον καὶ προδεδωκέναι ἀμφιάραον τὸν ἄνδρα αὐτῆς μὴ βουλόμενον στρατεύεσθαι ἐπὶ θήβας. εἰδότα ὡς μάντιν, τὸ ἀποβησόμενον. ΦΙΛΟΥ. προσφιλοῦς. ΕΔΕΞΑΤΟ. ἡγήσατο, ἐνόμισεν. ΤΙΜΗΕΝΤΑ. ἐντιμότερον. ΦΘΕΙΤΑΙ. ἐπιλείποι. ΑΜΒΡΟΤΟΣ. θεία. ΑΝΔΡΟΣ. ἀντὶ τοῦ κατὰ ἀνδρός. ΚΗΛΗΘΜΩ. τῇ μετὰ ἡδονῆς καὶ τέρψεως ἡσυχίᾳ. ΕΣΧΟΝΤΟ. κατεσχέθησαν. ΗΡΧΕΤΟ. προκατήρχετο. ΦΑΙΝΕΤΑΙ. δοκεῖ. ΕΙΣΑΣ. τὰς ἀναλογούσας τῷ σώματι καὶ ὀρθὰς καὶ δικαίας. ΞΕΙΝΟΣ Δ' ΑΥΤ' ΕΜΟΣ ΕΣΤΙ. διὰ δύο φησὶν ἡ ἀρήτη ἄξιον εἶναι μὴ μικρολογεῖσθαι, ὅτι δὲ καὶ αὐτῆς ἐστὶ ξένος. αὐτῇ γὰρ πρώτη προσῆλθε, καὶ ὅτι ἕκα-

στος



στος εὐπορεῖ. ΕΜΜΟΡΕ ΤΙΜΗΣ. ἴσον μοῖραν ἔχει καὶ οὐσίαν, ὥστε καὶ τιμῆς δύνασθαι. ΧΡΗΙΖΟΝΤΙ. δεομένῳ. ΚΟΛΟΥΕΤΑΙ. ἐλαττοῦται, ἐμποδίζεται. ΙΟΤΗΤΙ. βουλήσει. ΚΕΟΝΤΑΙ. ἀπόκεινται. ΑΠΟΣΚΟΠΟΥ. ἄποθεν τοῦ σκοποῦ, ἀπὸ εἰκασμοῦ, εἴρηται δὲ ἀπὸ τοξοτῶν. ΑΠΟΔΟΞΗΣ. ἄποθεν ἧς ἔχομεν περὶ τοὺς ξένους διαθέσεως. ΑΛΚΙΝΟΟΥ Δ' ΕΚ ΤΟΥΔΕ. ἴσον ἐν ἀλκινόῳ ἐστὶ τὸ τελείως ἀπαλλαχθῆναι. ΕΧΕΤΑΙ. ἥττηται. ΜΥΘΕΙΤΑΙ. λέγει. ΕΣΤΑΙ. γενήσεται. ΤΛΗΤΩ. καρτερησάτω. ΕΙΜΕ ΚΑΙ ΕΙΣ ΕΝΙΑΥΤΟΝ ΑΝΩΓΟΙ ΤΑΥΤΟΘΙ ΜΙΜΝΕΙΝ. χαριέντως τὸ λέγειν ἑτοίμως ἔχειν καὶ πάντα ἐνιαυτὸν ἐπιμένειν αὐτόθι τῶν διδομένων αἰεὶ πλεοναζόντων. ΑΝΩΓΟΙΤΕ. κελεύοιτε. ΟΤΡΥΝΟΙΤΕ. ἐπείγοιτε παρασκευάζοιτε. ΠΛΕΙΟΤΕΡΗ ΣΥΝ ΧΕΙΡΙ. σὺν πλείοσι κτήμασιν. ἢ μᾶλλον τῶν διδομένων πληρουμένων. ΑΙΔΟΙΟΤΕΡΟΣ. αἰδοῦς ἄξιος. ἐντεῦθεν ἡσίοδος πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ. ἀλλὰ καὶ ὅμηρος. ΤΟ ΜΕΝ ΟΥΤΙ Σ' ΕΙΣΚΟΜΕΝ. τὸ μὲν ἠπεροπῆα τ' ἔμμεναι καὶ ἐπίκλοπον οὔτι σε ἴσκομεν. ΗΠΕΡΟΠΗΑ. ἀπατεῶνα. γόητα. ΕΠΙΚΛΟΠΟΝ. παραλογικὸν, καὶ γὰρ ὁ κλέπτης παραλογιζόμενος κλέπτει. σημαίνει δὲ καὶ τὸν ἐπιθυμητὴν, καὶ γὰρ ὁ κλέπτης ἐπιθυμίᾳ τῶν ἀλλοτρίων τοῦτο ποιεῖ. ΒΟΣΚΕΙ, τρέφει. ΠΟΛΥΣΠΕΡΕΑΣ. πολυέθνους.

Hesiodus

Homer

λυέθνους. ΑΡΤΥΝΟΝΤΑΣ. πλάσσοντας, παρασκευά-
ζοντας. ΟΘΕΝ ΚΑΙ ΤΙΣ ΟΥΔΕ ΙΔΟΙΤΟ. ὅθεν οὐ
δὲ προσίδοιτό τις ὅτι ψεύδεται. ΜΟΡΦΗ. εὐπρέπεια.
ΑΘΕΣΦΑΤΟΣ. ἀμέτρητος, πολλή. ΑΚΟΥΕΜΕΝΑΙ.
ἀκροᾶσθαι. ΟΙΚΤΡΟΤΕΡΑ. ἐλεεινοτέρα. ΣΤΟΝΟΕΣ-
ΣΑΝ. στεναγμῶν αἰτίαν. ΚΑΚΗΣ ΙΟΤΗΤΙ ΓΥΝΑΙ-
ΚΟΣ. ἑλένης ἢ κλυταιμνήστρας. ἢ κακωθείσης κα-
σάνδρας. ἣν διαφθείρας ὁ λοκρὸς αἴας ἐν τῷ τε-
μένει τῆς ἀθηνᾶς, δυσμενῆ κατέστησε τοῖς ἕλλησι
τὴν ἀθηνᾶν. ἀλλὰ καὶ ὁ σίσυφος κέρδιστος ὢν διατί
κολάζεται δι' κακότροπον ὁ γλαῦκος τῶν προγόνων
εἰς σύνεσιν μετήνεγκεν. πῶς δὲ καὶ ἡρακλῆς ἐν
ταῦθα μὲν ὢν θεός, καὶ πῶς οἷόν τε τὸν αὐτὸν εἶναι
καὶ ἐν ᾅδου καὶ ἐν οὐρανῷ. καὶ ἡ ἥβη δὲ καθ' ὅμη-
ρον παρθένος. ὅθεν καὶ οἰνοχοεῖ. ἀπίθανον δὲ αὐτὸν
ἔχειν καὶ τὴν σκιάν. μὴ πιὼν δέ, πῶς ὁμιλεῖ. τὴν
μὲν σκιὰν ἔχει κατὰ φαντασίαν. τοὺς δὲ δύο
στίχους καὶ ἡμεῖς ἀθετοῦμεν. εἴδωλον, καὶ τέρπε-
ται ἐν θαλίῃς. οὐ πάντες δὲ οὗτοι ἐν τῷ τῶν
ἀτάφων εἰσὶ χώρῳ. οἱ μὲν κολαζόμενοι. οἱ δὲ κο-
λάζοντες. ὡς ὁ μίνως καὶ ὁ ἡρακλῆς. οὗτοι δὲ μὴ
πεπωκότες τοῦ λήθης ὕδατος. καὶ φθέγγονται
χωρὶς τοῦ πιεῖν. ΑΠΕΣΚΕΔΑΣΕΝ. πόρρω ἐσκόρ-
πισεν. ΑΧΝΥΜΕΝΗ. λελυπημένη. ΑΓΗΓΕΡΑΤΟ.
συνηθροισμέναι ἦσαν. ΕΙΒΩΝ. χέων, στάζων. ΠΙ-
ΤΝΑΣ.



ΤΝΑΣ. ἐκτείνων. ΟΡΕΞΑΣΘΑΙ. ἐπιλαβέσθαι. ΚΙ-
ΚΥΣ. ἡ μετὰ δυνάμεως κίνησις. ΟΡΣΑΣ. ἐγεί-
ρας, κινήσας. ΓΝΑΜΠΤΟΙΣΙ. κάμπτεσθαι δυνα-
μένοις. ΑΜΕΓΑΡΤΟΝ. πολλήν. ΑΥΤΜΗΝ. πνοήν.
ΒΟΥΣ ΠΕΡΙΤΑΜΝΟΜΕΝΟΝ. ἐπειδὴ αὐτὸς ἐλθὼν
εἰς κίκονας, καὶ ἁρπαγῆς ἐκεῖ ἐπιχειρήσας, οὐκ εὖ
ἀπήλλαξεν, εἰκότως τὰ ὅμοια ὑποπτεύει πεπονθέ-
ναι τὸν ἀγαμέμνονα. ΠΕΡΙ ΤΑΜΝΟΜΕΝΟΝ. περιε-
λαύνοντα. ΤΕΥΞΑΣ. κατασκευάσας. ΟΙΚΤΙΣΤΩ.
ἀνηλεεῖ κακῷ. ΚΤΕΙΝΟΝΤΟ. ἐφονεύοντο. ΕΡΑΝΩ. ἔρα-
νος λέγεται τὸ ἐκ συμβολῆς γινόμενον δεῖπνον.
ΜΟΥΝΑΞ. καταμόνας. ΕΝΗΕΑ. προσηνῆ. ΟΛΟΦΥ-
ΡΑΟ. ἠλέησας. ΠΛΗΘΟΥΣΑΣ. πεπληρωμένας.
ΘΥΕΝ. ἐπλήθυνεν. ΟΙΚΤΡΟΤΑΤΗΝ. ἐλεεινοτά-
την. ΟΠΑ. φωνήν, αἰτίαν. ΚΤΕΙΝΕΝ. ἀνεῖλεν.
ΑΕΙΡΩΝ. κουφίζων, ἐπαίρων. ΚΥΝΩΠΙΣ. ἀναι-
δεστάτη. ΝΟΣΦΙΣΑΤΟ. ἐχωρίσθη. ΕΤΛΗ. ἐκαρ-
τέρησεν. ΕΛΕΕΙΝ. καθελεῖν, συγκλεῖσαι. ΑΙΝΟ-
ΤΕΡΟΝ. δεινότερον, χαλεπώτερον. ΕΡΕΙΣΑΙ. ἁρμό-
σαι. ἢ ἐπικλεῖσαι. ΑΕΙΦΕΕΣ. ἀπεοικός, οὐ πρέπον.
ΤΕΥΞΑΣΑ. κατασκευάσασα. ΚΑΤ' ΑΙΣΧΟΣ Ε-
ΧΕΥΕΝ. αἰσχύνην καὶ ὄνειδος κατέχεεν. ΕΣΣΟΜΕ-
ΝΗΣΙ. ταῖς μεταγενεστέραις. ΕΥΕΡΓΟΣ. σώφρων
καλὰ ἔργα πράσσουσα. ΓΗΝΑΙΚΕΙΑΣ ΔΙΑΒΟ-
ΛΑΣ. αἰνίττεται τὴν ἀερόπην. ΠΙΦΑΥΣΚΕΜΕΝ.
λέγειν.

λέγειν. ΕΙ ΕΙΔΗΙΣ. καλῶς μάθῃς. ΠΙΝΥΤΗ. ὄλβιος, εὐδαίμων, πλουσία, συνετή, σώφρων. ΠΡΟΠΤΥΞΕΤΑΙ. φιλοφρονήσεται. ΥΟΣ. τοῦ υἱοῦ. ΕΝΙΠΛΗΣΘΗΝΑΙ. πληρωθῆναι. ΕΙΝΑΙ. ἀντὶ τοῦ ἔσω. ΚΡΥΒΔΗΝ. κρύφα, λαθραίως. ΚΑΤΙΣΧΕΜΕΝΑΙ. καθορμίζειν. ΕΜΟΙΟ. τοῦ ἐμοῦ. Η ΠΟΥ ΕΝ ΟΡΧΟΜΕΝΩ. Η ΕΝ ΠΥΛΩ. ἐν πύλῳ μὲν διὰ τὴν ὑπερβάλλουσαν φιλίαν καὶ δύναμιν νέστορος. ὥσπερ ἐν σπάρτῃ διὰ τὴν συγγένειαν. ἐν ὀρχομενῷ δὲ διὰ τὴν ἀσυλίαν καὶ ἀσφάλειαν, ἐκεῖ γὰρ τότε καὶ οἱ κοινοὶ τῶν πόλεων ἐτίθεντο θησαυροί. αὐτὸ τοῦτο φησὶν ὁ ποιητὴς ἐν ἰλιάδι, οὐδ' ὅσ' ἐς ὀρχομενόν. ΕΣΤΑΜΕΝ. ἱστάμεθα. ΠΑΤΡΟΚΛΗΟΣ. αὕτη ἡ γενικὴ ἀπὸ εὐθείας ἐστὶ τοῦ πατροκλῆς, ὡς φιλοκλῆς καὶ σοφοκλῆς. ΜΗΔΕΑΙ. βουλεύσῃ ἐργάσῃ. ΕΤΛΗΣ. ἐκαρτέρησας. ΑΦΡΑΔΕΕΣ. ἀδιανόητοι, ἢ ἀσώματοι. ΕΙΔΩΛΑ. αἱ εἰς τὸ ἰδεῖν μόνον εἰκόνες. ΚΑΜΟΝΤΩΝ. ἀποθανόντων. ΧΡΕΟΣ. μάντευμα. ΑΜΗΣ. τῆς ἐμῆς. ΜΑΚΑΡΤΑΤΟΣ. μακαριώτερος εὐδαιμονέστερος. ΑΚΑΧΙΖΕΥ. λυποῦ. ΠΑΡΑΥΔΑ. παραμυθοῦ παρηγόρει. ΘΗΤΕΥΕΜΕΝ. ἐπὶ μισθῷ δουλεύειν. ΑΚΛΗΡΩ. κλῆρον καὶ οὐσίαν μὴ ἔχοντι. ΠΕΠΥΣΑΙ. ἀκήκοας. ΤΙΜΗΝ. τὴν βασιλείαν. ΠΕΦΝΟΝ. ἀνεῖλον ἐφόνευσα. ΤΩ ΚΕ ΤΕΩ. οὕτως ἄν τινι. ΣΤΥΞΑΙΜΙ. εἰς κατάπληξιν ἀγάγοιμι. ΕΚ



ἔνθα τε νεκροὶ ἀφραδέες
ναίουσι βροτ' εἴδωλα καμόντ

Orchomeni servabatur thesauri civitatum



ΣΚΥΡΟΥ. ἀπὸ τῆς σκύρου. σκῦρος δὲ πόλις δολοπίας. ΕΒΑΖΕΝ. ἔλεγεν. ΗΜΑΡΤΑΝΕ. ἀπετύγχανε. ΜΥΘΩΝ. τῶν συμβαλλομένων εἰς τὸ κρατεῖν λόγων. ΝΙΚΕΣΚΟΜΕΝ. ἐνικῶμεν. ΟΙΩ. μόνοι. ΤΗΛΕΦΙΔΗΝ. υἱὸν τοῦ τηλέφου. ΚΑΤΕΝΗΡΑΤΟ. ἀνελὼν ἐσκύλευσεν. ΚΗΤΟΙ. τινὲς ἀπέδοσαν μεγάλοι παρὰ τὸ κῆτος, κρεῖσσον δὲ ἀποδιδόναι μυσῶν ἔθνος τοὺς κητείους. ἦν γὰρ ὁ τήλεφος μυσίας βασιλεύς, καὶ ἀλκαῖος δέ φησι τὸν κήτειον ἀντὶ τοῦ μυσόν. ΓΥΝΑΙΩΝ ΕΙΝΕΚΑ ΔΩΡΩΝ. ἔνιοι μὲν γύναια δῶρα ἀπέδοσαν τὴν χρυσῆν ἄμπελον. ἣν ἐχαρίσατο ζεὺς τρωὶ ἀντὶ τῆς γανυμήδους ἁρπαγῆς ἥτις κατὰ διαδοχὴν μετέπεσεν εἰς πρίαμον. οὐδὲν δὲ τούτων οἶδεν ὅμηρος. κρεῖσσον δὲ ἀποδιδόναι ὡς ὑπέσχετο πρίαμος δοῦναι εὐρυπύλῳ μίαν τῶν θυγατέρων δῶσειν γυναῖκα, ὡς καὶ ὀθρυονεῖ ὑπέσχετο. ἢ δὲ ἄλλως τῶν δοθέντων δώρων τῇ εὐρυπύλου γυναικὶ ὑπὸ τοῦ πριάμου. ἵνα πείσῃ τὸν ἄνδρα αὐτῆς ἄκοντα ἐπιστρατεῦσαι, συμμαχήσοντα τοῖς τρωσί. ΑΛΛ' ΟΙΟΝ ΤΟΝ ΤΗΛΕΦΙΔΗΝ ΚΑΤΕΝΗΡΑΤΟ ΧΑΛΚΩ, ΗΡΩΑ ΕΥΡΥΠΥΛΟΝ ΠΟΛΕΕΣ ΔΕ ΑΜΦ' ΑΥΤΟΝ ΕΤΑΙΡΟΙ. ΚΗΤΕΙΟΙ ΚΤΕΙΝΟΝΤΟ ΓΥΝΑΙΩΝ ΕΙΝΕΚΑ ΔΩΡΩΝ. εὐρύπυλος ὁ ἀστυόχης καὶ τηλέφου τοῦ ἡρακλέος παῖς, λαχὼν τὴν πατρῴαν ἀρχήν, τῆς μυσίας ἀρχῆς προΐστατο.



Scyrus v.

Cetei .i. mysi

πυθόμενος δὲ πρίαμος τὰ περὶ τούτου δυνάμεως
ἔπεμψεν ὡς αὐτὸν ἵνα παραγένηται σύμμαχος. εἰ-
πόντος δὲ αὐτοῦ ὡς οὐκ ἐξὸν αὐτῷ διὰ τὴν μη-
τέρα. ἔπεμψεν ὁ πρίαμος τῇ μητρὶ αὐτοῦ δῶρον
ἀστυόχῃ χρυσῆν ἄμπελον. ἡ δὲ λαβοῦσα τὴν ἄμπε-
λον, ἔπεμψε τὸν υἱὸν ἐπὶ στρατείαν. νεοπτόλεμος
δὲ ὁ ἀχιλλέως παῖς ἀναιρεῖ. ἡ δὲ ἱστορία παρὰ ἀκου-
σιλάῳ. ΚΑΤΕΒΑΙΝΟΜΕΝ. εἰσιόμεθα. ΚΑΜΕ. ἐξεπό-
νησεν. ΕΠΕΤΑΙΤΟ. ἐπετέτραπτο. ΩΜΟΡΓΝΥΝΤΟ.
ἀπεψῶντο, ἀπεμάσσοντο. ΩΧΡΗΣΑΝΤΑ. ὠχριάναν-
τα. ΚΑΛΛΙΜΟΝ. καλόν. ΟΜΟΡΞΑΜΕΝΟΝ. ἀπο-
ψησάμενον. ΕΞΙΜΕΝΑΙ. ἐξιέναι. ΜΕΝΟΙΝΑ. ἐλο-
γίζετο. ΒΕΒΛΗΜΕΝΟΣ. πόρρωθεν βληθείς. ΕΠΙ-
ΜΙΞ. ἐπιμεμιγμένως. ΑΣΚΗΘΕΙΣ. ὑγιής. ΕΠΕΜΑΙΕ-
ΤΟ. ἐφήπτετο. ΒΙΒΩΣΑ. διαβαίνουσα. ΚΑΤ ΑΣΦΟ-
ΔΕΛΟΝ. ἀσφοδελώδη, ἀσφόδελος δέ ἐστι βο-
τάνη ὁμοία σκίλλῃ. ΓΗΘΟΣΥΝΗ. χαίρουσα. ΚΑ-
ΤΑΤΕΘΝΗΩΤΩΝ. τελευτησάντων. ΕΙΡΟΝΤΟ.
ἔλεγον, διηγοῦντο. ΑΙΑΝΤΟΣ ΨΥΧΗ ΤΕΛΑΜΟ-
ΝΙΑΔΑΟ ΝΟΣΦΙΝ ΑΦΕΣΤΗΚΕΙ ΚΕΧΟΛΩΜΕ-
ΝΗ ΕΙΝΕΚΑ ΝΙΚΗΣ. ΤΗΝ ΜΙΝ ΕΓΩΝ ΝΙΚΗ-
ΣΑ ΔΙΚΑΖΟΜΕΝΟΣ ΠΑΡΑ ΝΗΥΣΙ. ΤΕΥΧΕΣΙΝ
ΑΜΦ ΑΧΙΛΗΟΣ. ΠΑΙΔΕΣ ΔΕ ΤΡΩΩΝ ΔΙΚΑ-
ΣΑΝ ΚΑΙ ΠΑΛΛΑΣ ΑΘΗΝΗ. φυλαττόμενος
ὁ ἀγαμέμνων τὸ δόξαι θατέρῳ χαρίσασθαι τῶν



Eurypyli historia

Acusila?

Asphodelos scillae similis



περὶ τῶν ἀχιλλέως ὅπλων ἀμφισβητούντων αἰχμα-
λώτους τῶν τρώων ἀγαγών, ἠρώτησεν ὑπὸ ὁπο-
τέρου τῶν τρώων μᾶλλον ἐλυπήθησαν. εἰπόντων δὲ
τὸν ὀδυσσέα, τῶν αἰχμαλώτων δηλαδὴ ἐκεῖνον
εἶναι τὸν ἄριστον κρίναντες τὸν πλεῖστα λυπήσαν-
τα τοὺς ἐχθρούς. ἔδωσαν εὐθὺς τῷ ὀδυσσεῖ τὰ
ὅπλα. ΑΦΕΣΤΗΚΕΙ. διίστατο, ἀνεχώρει. ΚΕΧΟΛΩ-
ΜΕΝΗ. ὠργισμένη. ΑΕΘΛΩΝ. ἄθλων ἀγώνων. ΛΗ-
ΣΑΣΘΑΙ. ἐπιλαθέσθαι. ΟΥΛΟΜΕΝΩΝ. ὀλετρίων.
ΠΥΡΓΟΣ. τεῖχος. ΑΧΝΥΜΕΘΑ. λυπούμεθα. ΔΑ-
ΜΑΣΟΝ ΔΕ ΜΕΝΟΣ. τοῦ θυμοῦ καὶ τῆς ὀργῆς
κράτησον. ΘΕΜΙΣΤΕΥΟΝΤΑΙ. δικάζονται. ΕΙΣΕ-
ΝΟΗΣΑ. εἶδον ἐθεασάμην. ΕΙΛΕΥΝΤΑ. συνελοῦν-
τα. ΕΥΡΥΠΥΛΕΥΣ. πλατείας πύλας ἔχον. ΟΙΟΠΟ-
ΛΟΙΣΙΝ. ἢ ἐρήμοις ἐν οἷς ἔστι μόνον πολεῖσθαι
ὅ ἐστιν ἀναστρέφεσθαι. ἢ ἡμέροις ἐν οἷς μόνος ἄν τις
πορεύοιτο διὰ τὸ ἥμερον ἐν οἷς οἶες ἀναστρέφονται,
ἤγουν ὅπου νέμονται τὰ πρόβατα. ΠΑΓΧΑΛΚΕΟΝ.
πανταχόθεν σεσιδηρωμένον. ΑΑΓΕΣ. τὸ μηδέποτε
καταγνύμενον. ὅ ἐστι κλώμενον. ΠΕΛΕΘΡΑ. πέλε-
θρα πλέθρον ὅ ἐστιν ἕκτον μέρος σταδίου. λέγει δὲ οὖν
ὅτι τὸ τιτυοῦ τὸ σῶμα ἐπὶ ἐννέα ἔκειτο πλέθρα.
ὥστε κατέχειν τόπον ἑνὸς ἡμίσους σταδίου. ἦν δὲ
ὁ τιτυὸς διὸς καὶ ἐλάρας υἱός. ἐν δὲ ἄλλῳ μέ-
τρον τι γῆς. ΠΑΡΗΜΕΝΩ. παρακαθήμενοι δυϊκῶς.



Iudiciũ armorũ

πλέθρ

Tityus

ΕΚΕΙΡΟΝ. κατήσθιον. ΔΕΡΤΡΟΝ. ἤτοι τὴν ὑπὲρ τοῦ σάρκα πιμελήν. ἢ τὸν ὑποκείμενον τῷ ἥπατι ὑμένα. ἔνιοι δὲ ἀπέδοσαν, τὸ λεγόμενον ὑπὸ τῶν ἰατρῶν ἦτρον. ἐν δὲ ἄλλῳ τὴν δοράν. ΑΠΕΚΩΕΝ. ἀπεκώλυεν. ΕΙΛΚΥΣΕΝ. ὠδύνησεν. ΚΥΔΡΗΝ. ἔνδοξον. ΠΥΘΩ. πόλις τῆς φωκίδος. ΚΑΛΛΙΧΩΡΟΥ. καλοὺς τόπους ἐχούσης. ΠΑΝΟΠΗΟΣ. πανόπη πόλις φωκίδος. ΕΣΤΑΟΤ' ΕΝ ΛΙΜΝΗ. ἱστάμενος ἐν μέσῃ τῇ λίμνῃ. ΠΡΟΣΕΠΕΛΑΖΕ. προσήγγιζεν. ΣΤΕΥΤΟ. ἵστατο νῦν ἐπὶ τῶν ποδῶν. κέχρηται δὲ τῇ λέξει ὁ διασκευαστὴς παρὰ τὴν τοῦ ποιητοῦ συνήθειαν. ΑΠΟΛΕΣΚΕΤΟ. ἀπώλλυτο. ΑΝΑΒΡΟΧΘΕΝ. ἀναποθέν, ἀναροφηθέν. ΚΑΤΑΖΗΝΑΣΚΕ. κατεξήρανεν. ἄζη γὰρ ἡ ξηρασία. ΚΑΤΑΚΡΗΘΕΝ. κατὰ τῆς κεφαλῆς. ΧΕΕ. ἔβαλλεν. ΜΑΣΑΣΘΑΙ. ἐφάψασθαι. ΑΜΦΟΤΕΡΗΣΙΝ. ἀμφοτέραις ταῖς χερσίν. ΣΚΗΡΙΠΤΟΜΕΝΟΣ. ἐπερειδόμενος. ΩΘΕΣΚΕ. ὤθει. ΚΡΑΤΑΙΙΣ. ἡ ἰσχυρὰ δύναμις. ΚΑΛΛΙΣΦΥΡΟΗ. καλή, ἀπὸ μέρους εὔρυθμος. ΑΝΑΙΔΗΣ, σκληρός. ΘΑΛΙΑΙΣ. ταῖς τῶν θεῶν εὐωχίαις. ΑΤΥΖΟΜΕΝΩΝ. ταρασσομένων. ΑΟΡΤΗΡ. ὁ τοῦ τελαμῶνος κρεμαστήρ. ἐξ οὗ τὸ ξίφος ἤρτηται. ΧΑΡΟΠΟΙ. καταπληκτικοὶ φοβεροί. ΜΗ ΤΕΧΝΗΣΑΜΕΝΟΣ ΜΗ Δ' ΑΛΛΟ ΤΙ ΤΕΧΝΗΣΑΙΤΟ, ΟΣ ΚΕΙΝΟΝ ΤΕΛΑΜΩΝΑ ΕΗ ΕΓΚΑΤΘΕΤΟ ΤΕΧΝΗ. ἐνταῦθα στικτέον. ὁ γὰρ νοῦς. οὐ τεχνησάμενος





μενος πρότερον τι τοιοῦτον ἐπὶ τούτῳ ἦλθε τὸ ἔργον. οὔτ' ἂν ἑξῆς τι τοιοῦτον τεχνάσαιτο. ὁ κατασκευάσας ἐκεῖνον τὸν τελαμῶνα ἄλλον τοιοῦτον οὐκ ἐτεχνήσατο. ἀλλ' οὐ δὲ τεχνήσεται. ὡς εἴ τις λέγει. οἷον φειδίας ἐποίησε τὸν δία τοιοῦτον οὐδὲν ἄλλο. εἰς ἐκεῖνον γὰρ τὸ πᾶν τῆς ἑαυτοῦ τέχνης κατέκλεισε. ΕΗ ΕΓΚΑΤΘΕΤΟ ΤΕΧΝΗ. ἐνέθηκεν ἐν τῇ ἑαυτοῦ τέχνῃ. ὃ ἔξω ἐπενόησεν. ΕΗ. τῇ ἑαυτοῦ. ΕΓΚΑΤΘΕΤΟ. ἐνέθηκεν. ΜΟΡΟΝ. ἀπώλειαν. ΑΝΔΡΟΚΤΑΣΙΑΙ. ἀνδροφονίαι. ΗΓΗΛΑΖΕΙΣ. διάγεις, καὶ ὑπομένεις. ΟΧΕΕΣΚΟΝ. εἶχον, ὑπέφερον. ΑΓΕΙΡΕΣΙΗΝ. πολλήν. ΔΕΔΜΗΜΗΝ. ὑποτεταγμένην. ΕΠΕΤΕΛΛΕΤΟ. ἐνετέλλετο, προσέταττεν. ΚΥΝΑ. τὸν κέρβερον. ΑΞΟΝΤΑ. ἀγαγεῖν ὀφείλοντα. ΓΟΡΓΕΙΗΝ ΚΕΦΑΛΗΝ. μεδούσης τῆς γοργόνος κεφαλήν. ΑΜΒΑΙΝΕΙΝ. ἀναβαίνειν, εἰσιέναι. ΦΕΡΕ. ἐκόμιζεν. ΡΟΟΙΟ. τοῦ ῥεύματος. ΕΙΡΕΣΙΗ. κωπηλασία παρὰ τὸ ἐρέσσω τὸ κωπηλατῶ ἐξ οὗ καὶ ἐρέται. ΚΑΛΛΙΜΟΣ ΟΥΡΟΣ. καλὸς ἄνεμος. ΤΑΝΤΑΛΟΝ ΕΙΣΙΔΟΝ ΚΡΑΤΕΡΑ ΑΛΓΕ' ΕΧΟΝΤΑ. τάνταλος διὸς καὶ πλουτοῦς συνδιατρίβων τοῖς θεοῖς καὶ συνεσθιόμενος αὐτοῖς ἀπλήστως διετέθη. κλέψας γὰρ τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν οὐκ ἔξον αὐτῷ ἔδωκε τοῖς ὁμήλιξιν ἐφ' οἷς ἀγανακτήσαντα τὸν δία ἐκβαλεῖν αὐτὸν τῆς ἐν

Tantali fabula

οὐρανοῦ διαίτης, καὶ ἐξαρτῆσαι ἐπ' ὄρους ὑψηλοῦ, ἐκδεδεμένον τῶν χειρῶν καὶ τὸν σίπυλον ἔνθα ἐκεκηδέσατο ἀναξέψαι. ἡ ἱστορία παρὰ ἀσκληπιάδῃ.

Asclepiades

τέλος τοῦ λ.

## ΕΙΣ ΤΗΝ Μ. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΑΠΟ Δ' ΙΚΕΤΟ. ἀφίκετο παρεγένετο. ΕΥΡΥΠΟΡΟΙΟ. πλατεῖς πόρους ἐχούσης, οἱονεὶ τὸ ῥεῦμα. ἢ καλοὺς πόρους ἐχούσης. ΟΘΙ Τ' ΗΟΥΣ ΗΡΙΓΕΝΕΙΗΣ ΟΙΚΙΑ ΚΑΙ ΧΟΡΟΙ ΕΙΣΙ ΚΑΙ ΑΝΤΟΛΑΙ ΗΕΛΙΟΙΟ. οὐχ ὡς ἐπιπλεούσης τῆς ἡμέρας ἐν τῇ αἰαίᾳ τοῦτο εἴρηκεν. ἀλλ' ἤτοι ἁπλούστερον ἐπεὶ παρεγενόμεθα ὅπου ἡμέρα καὶ ἥλιος. ἢ κατὰ σύγκρισιν τῶν κιμμερίων. ἢ ὡς πρώτην φῶς παρέχουσαν ἀνατολὴν κέκληκεν. ἐπεὶ ὑψηλοῦ ὄντος τοῦ κιρκαίου. ἥλιος ἐκ νυκτὸς ἐπιλάμπει περὶ τῆς κίρκης ξοάνῳ. ΧΟΡΟΙ. χῶραι τόποι, ὡς καὶ εὐρύχωρον λέγει τὴν εὔχωρον καὶ μεγάλην. ΑΝΤΟΛΑΙ. ἀνατολαί. ΑΠΟΒΡΙΞΑΝΤΕΣ. ἀπονυστάξαντες κοιμηθέντες. ΦΙΤΡΟΥΣ. κοσμούς. ΠΡΟΕΧ' ΕΝ. ἐξέχεν.





ΘΑΠΤΟΜΕΝ. ἐκαίαμεν. ΧΕΥΑΝΤΕΣ. χώσαντες. ΕΡΥΣΑΝΤΕΣ. νῶυ στήσαντες. ΔΙΕΙΠΟΜΕΝ. ἐνηγοῦμεν ἐπράττομεν. ΕΛΗΘΟΜΕΝ. ἐλανθάνομεν. ΕΝΤΥΝΑΜΕΝΗ. παρασκευασαμένη. ΔΙΣΘΑΝΕΕΣ. δὶς ἀποθνήσκοντες. ΑΛΓΗΣΕΤΕ. ὀδυνήσεσθε. ΠΡΟΣΕΛΕΚΤΟ. προσέειπεν. ΠΕΠΕΙΡΑΝΤΑΙ. τετέλεσται. ΜΝΗΣΕΙ. μνημονεῦσαι ποιήσει. ΣΕΙΡΗΝΑΣ ΜΕΝ ΠΡΩΤΟΝ. κατὰ μὲν τοὺς πολλοὺς ἀχελώου καὶ στερόπης τῆς πορθάονος αἱ σειρῆνες, κατ' ἐνίους δὲ ἀχελώου καὶ τερψιχόρης μιᾶς τῶν μουσῶν. ἑλόμεναι δὲ παρθενίαν ἐμισήθησαν ὑπὸ ἀφροδίτης καὶ ἔχουσαι πτερὰ ἀπέπτησαν εἰς τὸ τυῤῥηνικὸν κλίμα. καὶ νῆσον κατέσχον ἀνθεμοῦσσαν ὀνομαζομένην. ὀνόματα δὲ αὐτῶν ἀγλαοφήμη, θελξιέπεια, πεισινόη καὶ λίγεια. καὶ διὰ τοῦτο ὅμηρον δυϊκῶς σειρήνοιιν λέγει. ΑΦΙΞΕΑΙ. παραγενήσῃ. ΘΕΛΓΟΥΣΙΝ. ἀπατῶσιν. ΓΑΝΝΥΝΤΑΙ. χαίρουσιν. ΛΙΓΑΝΗ. ἡδέα. ΟΣΤΡΟΦΙΝ. τῶν ὀστέων. ΘΙΣ. σωρός. ΠΥΘΟΜΕΝΩΝ. σηπομένων. ΜΙΝΥΘΟΥΣΙΝ. ἐλαττοῦνται. ΠΑΡΕΞ ΕΛΑΑΝ. παρελαύνειν ἐκτὸς αὐτῶν. ΡΙΝΟΙ. τὰ δέρματα. ΔΕΨΗΣΑΣ. μαλάξας, ἔνθεν καὶ βυρσοδέψης. ΙΣΤΟΠΕΔΗ. περὶ τὸν τόπον ἐν ᾧ ὁ ἱστὸς ἐντίθεται. ΠΕΙΡΑΤΑ. τὰ σχοινία. ΑΝΗΦΘΩ. δεδέσθω. ΔΗΣΑΝΤΩΝ. δησάτωσαν ἀττικῶς. ΕΧ Δ' ΑΥΤΟΥ. ἐκ δὲ τοῦ ἴσου. ΔΕΟΝΤΩΝ. δεέτωσαν.

Sirenu fabula

ΠΑΡΕΞ ΕΛΑΣΩΣΙΝ. ἐκτὸς ἐλάσωσιν. ΔΙΗΝΕΧΕΩΣ. δίον κατὰ μίαν ἐπαγγελίαν. ἢ διὰ ὅλου. ΟΠΠΟΤΕΡΗ. ἀντὶ τοῦ διὰ ποίας. ΑΜΦΟΤΕΡΩΘΕΝ. ἑκατέρωθεν. ΕΠΗΡΕΦΕΑ. πυκναὶ ἢ ἐπικρεμάμεναι. ὑψηλαὶ καὶ ὑπέρεχοι. ΠΡΟΤΙ Δ᾽ ΟΙ ΑΥΤΑΣ. πλησίον δὲ αὐτῶν. ΡΟΧΘΕΙ. ἦχον ἀποτελεῖ. ΚΥΑΝΩΠΙΔΟΣ. μελανοφθάλμου. ΠΛΑΓΚΤΑΣ. ὁ μὲν κράτης, ὅτι πελάζεται περὶ αὐτὰς τὸ κῦμα. οἱ δὲ ὡς τὸ δῆλον κινεῖσθαι καὶ φέρεσθαι. ΘΕΟΙ ΜΑΚΑΡΕΣ ΚΑΛΕΟΥΣΙ. ἄνθρωποι δὲ οὐδέν, κἀκ τούτου δῆλον ὅτι πέπλακεν. ΡΟΤΗΥΑ. πλωτά. ΤΡΗΡΩΝΕΣ. δειλαί. ΑΜΒΡΟΣΙΗΝ ΔΙΙ ΠΑΤΡΙ ΦΕΡΟΥΣΙΝ. ἤτοι μυθικῶς φησὶ τὰς περιστερὰς διὰ τῶν πλαγκτῶν πετομένας ἀποκομίζειν διὶ ἀμβροσίαν. ἢ φυσικῶς τοῦτο εἴρηκεν. ὅτε γὰρ ἔκαθεν τῶν πλαγκτῶν γίνεται τὸ ἄστρον ὁ λεγόμενος ταῦρος, τότε συμβαίνει τὰ ἐπὶ τῆς οὐρᾶς αὐτοῦ κειμένων ἑπτὰ ἀστέρων, οἳ πλειάδες λέγονται. ἕνα ἀμαυροῦσθαι ἐκ τῆς ἀναφορᾶς τοῦ καπνοῦ. φέρουσι δὲ τροφὴν ὕδωρ θαλάσσιον ἡλίῳ. ὃν καὶ πλάτων ἐν φαίδρῳ διὰ προσηγόρευσεν. ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ ζεὺς πτηνὸν ἅρμα ἐλαύνει. ΛΙΣ ΠΕΤΡΗ. λεία καὶ ὁμαλὴ πέτρα. ΕΝΙΗΣΙΝ. ἐντίθησι, καὶ ὑποπέμπει. ΠΙΝΑΚΑΣ. τὰς σανίδας. ΦΟΡΕΟΥΣΙ. νῦν φθείρουσι. ΘΥΕΛΛΑΙ. καταιγίδες. ΠΑΡΕΠΛΩ. παρέπλευσε, παρῆλθε.

Planctae insulae
Crates
Plato



παρῆλθε. ΠΑΣΙΜΕΛΟΥΣΑ. ὑπέθετο τὴν ἀργοῦς. ἀπὸ τοῦ πᾶσιν ἐν ἐπιμελείᾳ εἶναι διὰ τὸ πλέος. ἢ πᾶσι μέλλουσα θεοῖς. ΟΙΗ ΔΗ ΚΕΙΝΗ Γ᾽ ΕΠΕΠΛΩ ΠΟΝΤΟΠΟΡΟΣ ΝΑΥΣ. ΑΡΓΩ ΠΑΣΙΜΕΛΟΥΣΑ. τυρὼ ἡ σαλμωνέως ἔχουσα δύο παῖδας ἐκ ποσειδῶνος, νηλέα τε καὶ πελίαν, ἔγημε κρηθέα. καὶ ἴσχει παῖδας ἐξ αὐτοῦ τρεῖς αἴσονα, καὶ φέρητα, καὶ ἀμυθάονα, αἴσονος δὲ καὶ πολυμήλας καθ᾽ ἡσίοδον γίνεται, ἰάσων κατὰ δὲ φερεκύδην ἐξ ἀλκιμέδης. τελευτῶν δὲ ὅντινα καταλείπει τοῦ παιδὸς ὑπέρβολον τὸν ἀδελφὸν πελίαν, ἐγχειρίσας αὐτῷ καὶ τὴν βασιλείαν, ἵνα αὐξηθέντι τῷ υἱῷ παράσχῃ. ἡ δὲ τοῦ ἰάσονος μήτηρ ἀλκιμέδη δείσασα, δίδωσιν αὐτὸν τρέφεσθαι χείρωνι τῷ κενταύρῳ. τραφεὶς δὲ καὶ ἡβήσας ἔρχεται εἰς ἰωλκὸν ἀπαιτῶν τὴν πατρῴαν ἀρχὴν τὸν πελίαν. ὁ δὲ ἔφασκεν ἐκεῖνον αὐτὸν πρότερον διακομίσαι τὸ χρυσοῦν δέρος ἀπὸ κόλχων. καὶ τοὺς πυριπνόους ἀνελεῖν ταύρους. ἀκούσας δὲ ταῦτα ὁ ἰάσων λέγει τῷ χείρωνι, καὶ αὐτῷ ὁ χείρων συνεκπέμπει τοὺς ἠιθέους. κατασκευάζει δὲ ἡ ἀθηνᾶ τὴν ἀργώ, πλέοντες δὲ ἀφικνοῦνται ἐπὶ τὴν τῶν βιθυνῶν χώραν, καὶ ὁρῶσι τὸν φινέα πηρὸν διὰ ταύτην τὴν αἰτίαν. ἔχων γὰρ παῖδας ἐκ κλεοπάτρας τῆς βορέου καὶ ἐπιγήμας εὐρυτίαν, δίδωσιν αὐτοὺς τῇ μητρυιᾷ

Hesiodus
Pherecydes
Argonautarum f.
Phinei fab.

μητρυιᾶς διαβληθέντας πρὸς ἀναίρεσιν. Ζεὺς δὲ χα-
λεπήνας λέγει αὐτῷ· πότερον βούλεται ἀποθανεῖν
ἢ τυφλὸς γενέσθαι. ὁ δὲ αἱρεῖται μὴ ὁρᾶν τὸν ἥλιον.
ἀγανακτήσας δὲ ὁ ἥλιος ἁρπυίας ἐπιπέμπει αὐτῷ
αἵ τινες εἴ ποτε μέλλει ἐσθίειν, τὰ δεῖπνα αὐτοῦ
διεταράσσον ἐμβάλλουσαι φθορὰν τινά. καὶ οὕτω Φι-
νεὺς ἐτιμωρεῖτο. τοῦτον δὲ τὸν Φινέα θεωρήσαντες
οἱ περὶ τὸν Ἰάσονα, παρεκάλουν ὑποθέσθαι πῶς δεῖ
πλεῦσαι τὰς πλαγκτὰς λεγομένας πέτρας. ὁ δὲ
εἶπεν ἐὰν τὰς ἁρπυίας ἀπαλλάξωσι τῆς πρὸς αὐτὸν
ὁρμῆς. θέντες δὲ συνθήκας ἐπαγγέλλονται αὐτῷ τοῦτο
δρᾶσαι. ὁ δὲ λέγει αὐτοῖς πόσον δύναται ἔχειν
τάχος ἡ Ἀργώ, φάντων δὲ πελειάδος, ἐκέλευσεν
ἀφεῖναι περιστερὰν κατὰ τὴν συμβολὴν τῶν πετρῶν,
κἂν μὲν μεσολαβηθῇ μὴ πλεῖν. ἐὰν δὲ σωθῇ, τότε
περαίνειν τὸν πλοῦν. οἱ δέ, ταῦτα ἀκούσαντες ποιοῦσι.
καταχεθείσης δὲ τῆς περιστερᾶς διὰ τῆς οὐρᾶς, προσ-
βάλλουσι τῇ Ἀργοῖ δυοῖν πληγάδες πέτραι συνελ-
θοῦσαι τῆς νεὼς συμμύουσιν, αὐτοὶ δὲ σῴζονται. οἱ δὲ
Βορεάδαι Ζήτης Κάλαϊς ἀποδιώκουσι τὰς ἁρπυίας
ἀπὸ τοῦ Φινέως δείπνου. καὶ οὕτω παραγίνονται εἰς
Κόλχους. ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ. ΠΑΡΕΠΕΜ-
ΠΕ. προήγαγε. ΣΚΟΠΕΛΟΙ. ὑψηλαὶ πέτραι. Ο ΜΕΝ
ΟΥΡΑΝΟΝ ΕΥΡΥΝ ΙΚΑΝΕΙ. πρὸς τὸ συνώνυμον
ἀπήντησε, τὸ οὔ ποτ᾽ ἐρωεῖ. ΝΕΦΟΣ. νεφέλη. ΤΟ

*Phinei & argonautæ fabula*





ΜΕΝ. τὸ νέφος. ΤΟ ΜΕΝ ΟΥ ΠΟΤ᾽ ΕΡΩΕΙ. σχημάτων
σημαινομένων ἀκόλουθον. ΕΡΩΕΙ. ἀποχωρεῖ. ΑΙΘΡΗ.
αἴθρα, αὐγή. ΟΥΔΕΚΕΝ ΑΜΒΑΙΗ. οὐ δυνηθείη ἀνελ-
θεῖν. οὐ δ᾽ ἐπιβαίη. οὐ δὲ κατέλθῃ. ΗΕΡΟΕΙΔΕΣ. σκο-
τεινόν. ΕΙΣ ΕΡΕΒΟΣ ΤΕΤΡΑΜΜΕΝΟΝ. εἰς τὰ
πρὸς δύσιν μέρη νενευκόν. πιθανῶς δὲ ἵνα μὴ προϊ-
δόντες οἱ ἑταῖροι, παύσωνται τῆς κωπηλασίας.
ΙΘΥΝΕΤΕ. ἐπ᾽ εὐθείας ἄγετε. ΑΙΖΗΙΟΣ. νεανίας
γενναῖος. ΑΦΙΚΟΙΤΟ. ἀντὶ τοῦ καταλάβοι. ΣΚΟΠΕ-
ΛΩ. ὑψηλῷ τόπῳ. ΖΟΦΟΝ. δύσιν. ΣΚΥΛΛΗ. σκύλ-
λα Φόρκυνος θυγάτηρ καὶ Ἑκάτης. ἔχουσα πρὸς
ταῖς πλευραῖς σκύλακας κατεῖχε τὸν περὶ Σι-
κελίαν πορθμόν. ΕΝΘΕΝ ΜΕΝ ΣΚΥΛΛΗ ΕΤΕΡΩ-
ΘΙ ΔΕ ΧΑΡΙΒΔΙΣ. σκύλλα θυγάτηρ μὲν ἦν Φόρ-
κυνος καὶ Ἑκάτης. τὸ μὲν μέγεθος θαυμαστός. εἶχε
δὲ πόδας μὲν δώδεκα. κεφαλὰς δὲ ἕξ. ὧν ἑκάστῳ δὲ
τῶν στομάτων τρεῖς στίχους ὀδόντων. ὀφθαλμοὺς δὲ
πυρώδεις. καὶ τὸ μὲν ἄλλο σῶμα ἐκρύπτετο αὐτῆς
ἔν τινι σπηλαίῳ κατὰ βυθοῦ βεβλημένον, συμφυὴς
οὖσα τῇ πέτρᾳ. τὰς δὲ κεφαλὰς αὐτῆς εἶχεν ἔξω
περιμήκεις. ὥστε δύνασθαι ἀπὸ τῆς πέτρας εἰς τὴν ναῦν
φθάνειν. ταύτην λέγεται τὸν Ἡρακλέα, ὁπότε τὰς
Γηρυόνου βοῦς ἦγεν, μὲν ὡς εἶδεν αὐτὴν ἀπληστευομένην
ἀνελεῖν. τὸν δὲ πατέρα διὰ πυρὸς ἀναγκάσαι πά-
λιν αὐτὴν ἀναζῆσαι. ἡ δὲ ἱστορία παρὰ Διονυσίῳ.

*Scyllæ fabula*

*Dionysus*

ΛΕΛΑΚΥΑ. ἤτοι ὑλακτοῦσα. ἢ οἰκτρὸν ἦχον ἀποτελοῦσα. ΝΕΟΓΙΛΛΗΣ. νεογνῆς, γάλακτι τρεφομένης. ΠΕΛΩΡ. μέγα. ΑΝΤΙΑΣΕΙΕΝ. συναντήσειε, συντύχοι. ΑΩΡΟΙ. λεπτοί, ἔνιοι δὲ ἀπέδοσαν παραιρούμενοι, καὶ ἀσθενεῖς, τινὲς δὲ δυσφύλακτοι. οὓς οὐδεὶς ἂν τις δυνηθείη φυλάξασθαι διὰ τὴν περὶ αὐτοὺς δεινότητα. ὠρεῖν γὰρ τὸ φυλάσσειν. ἔνθεν καὶ ὁ πυλωρός. ἔνιοι δὲ δασέως ἀνέγνωσαν ἄωροι, ὠμοί, ἄγριοι, ἐκ μεταφορᾶς τῶν ἀώρων, καὶ μὴ πεπείρων καρπῶν. τινὲς οὐδὲ μιᾶς φροντίδος ἄξιοι, ὥρα γὰρ ἡ φροντίς. ἔνιοι δὲ ἀώρους τοὺς ἐμπροσθίους ὡς καὶ παρὰ τῷ κωμικῷ, οὐ τοὺς ἀώρους εἶπα σοι μάστιγι πόδας κομίζειν. σοὶ δὲ φέρειν ὀπισθίους. ἄμεινον δὲ ἀποδιδόναι τοὺς χαλεποὺς καὶ δυσφυλάκτους, παρὰ τὸ ὠρεῖν ὅ ἐστι φυλάσσειν. ἢ τοὺς δυσορμήτους, παρὰ τὸ ὀρούειν. οὐ γὰρ χρῆται αὐτοῖς ἡ σκύλλα εἰς πορείαν. ΔΕΙΡΑΙ. τράχηλοι. ΠΕΡΙΜΗΚΕΕΣ. περισσῶς μακραί. ΣΜΕΡΔΑΛΕΗ ΚΕΦΑΛΗ. κατὰ μὲν τοὺς πολλοὺς κυνός. πιθανώτερον δὲ, δράκοντος. καὶ γὰρ μόνος δράκων τρεῖς στοίχους ἔχει ὀδόντων. ΣΜΕΡΔΑΛΕΗ. καταπληκτική. ΤΡΙΣΤΟΙΧΟΙ. τρεῖς τάξεις ἔχοντες. ΠΥΚΝΟΙ ΚΑΙ ΘΑΜΕΕΣ. ἐκ παραλλήλου ἔταξε τὰς λέξεις ἰσοδυναμούσας. ΠΛΕΙΟΙ. πλήρεις. ΜΕΛΑΝΟΣ. δεινοῦ χαλεποῦ. ΕΞΙΣΧΕΙ. ἐκφέρει. ΒΑΡΕΘΡΟΥ. βά-

θους.

ὠρεῖν



θους. ΙΧΘΥΑ. ἰχθῦς ἀγρεύει. ΜΕΜΑΩΣΑ. ἐπιπεταμένη. ἢ προθυμουμένη. ΑΓΑΣΤΟΝΟΣ. μεγάλους ψόφους ἀποτελοῦσα. ἢ μεγάλους στεναγμοὺς ἐπιφέρουσα, διὰ τοὺς ἐν τοῖς ναυαγίοις ἀπολλυμένους. ΑΚΗΡΙΟΙ. νῦν ἀντὶ κηρὸς καὶ θανάτου, ἀβλαβεῖς. ΧΘΑΜΑΛΩΤΕΡΟΝ. ταπεινότερον. ΟΨΕΙ. θεάσῃ. ΔΙΟΙΣΤΕΥΣΕΙΑΣ. τοξεύσας, διαπεράσας. ΤΩ Δ' ΕΝ ΕΡΙΝΕΟΣ ΕΣΤΙ. προῳκονόμησεν ἵνα ὁ Ὀδυσσεὺς κατ' αὐτοῦ ἐκκρεμασθεὶς σωθῆναι. ΤΩ Δ' ΕΝ. ἐν τούτῳ δέ. ΕΡΙΝΕΟΣ. ἀγρία συκῆ. ΤΕΘΗΛΩΣ. θάλλων. ΔΙΑ. φοβερά παρὰ τὸ δέος. ΧΑΡΥΒΔΙΣ. θαλάσσης βάθος ἀναποτικόν. ἔστι δὲ μεταξὺ τοῦ ἀδρίου καὶ τοῦ τυρρηνικοῦ πελάγους. ΑΝΑΡΟΙΒΔΕΙ. ἀναρροφεῖ, ἀναπίνει. ΤΥΧΟΙΣ. κατὰ τύχην εὑρεθείης. ΑΝΙΗΣΙΝ. ἀναβάλλει. ΡΟΙΒΔΗΣΕΙΕΝ. ἀναρροφήσειεν, ἀναπίοι. ΠΕΠΛΗΜΕΝΟΣ. πλησιάζων, προσπελάζων. ΑΤΙΖΟΜΕΝΟΣ. ἐκπληττόμενος. ΑΓΜΥΝΑΙΜΗΝ. τιμωρήσαίμην. ΥΠΕΙΞΕΑΙ. ὑποχωρήσῃς ἐνδώσεις. ΜΑΧΗΤΟΝ. πολεμηθῆναι δυνάμενον. ΟΥ ΔΕ ΤΙΣ ΕΣΤ' ΑΛΚΗ. ἐνταῦθα στικτέον, οὐ δὲ ἔστι λόγος κατὰ τῆς σκύλλης ἀλέξησις. φεύγειν δὲ ἀπ' αὐτῆς κρεῖττον. ἀλκὴ γὰρ ἡ βοήθεια καὶ ἀλέξησις. ΔΗΘΥΝΗΣΤΑΙ. χρονίσεις. ΚΟΡΥΣΣΟΜΕΝΟΣ. ὁπλιζόμενος. ΕΦΟΡΜΗΘΕΙΣΑ. ἐπελθοῦσα. ΚΙΧΗΣΙ. καταλάβοι. ΤΟΣΗΣΙΝ. τοσαύταις. ΕΛΗΤΑΙ. λάβοι. ΒΩΣΤΡΕΙΝ.

μέγα

Charybdis

μέγα βοᾶν, ἐπικαλέσασθαι. ΚΡΑΤΑΙΙΝ. κραταιΐς κέκληται ἡ μήτηρ τῆς σκύλλας, μάγοι δὲ ἑκάτην αὐτὴν καλοῦσιν. ΕΠΤΑ ΒΟΩΝ ΑΓΕΛΑΙ. ἀριστοτέλης φυσικῶς φησί. λέγει δὲ τὰς καθ' ἡμέρας πεντήκοντα πρὸς ταῖς τριακοσίαις. ΘΡΙΝΑΚΙΗΝ. νῆσος ἐν ὠκεανῷ

Thrinacia ἔξω νείλου. ΘΕΑΙ Δ' ΕΠΙ ΠΟΙΜΕΝΕΣ ΕΙΣΙΝ. οὐ κωλύουσιν αὗται εἰδυῖαι κολασθησομένους αὐτούς. ΝΑΙΕΡΑ. ναιέρη σύνεσιν ὁ ἥλιος, ἐπειδὴ νέος ὁ θεός. ΑΠΩΚΙΣΕ. μετῴκισεν. ΑΠΕΣΤΕΙΧΕΝ. ἀπῄει. ΑΛΕΥΑΜΕΝΟΙ. ἐκκλίναντες. ΘΕΣΠΕΣΙΑΩΝ. θεῖα φθεγγομένων. ΟΙΟΝ ΕΜ' ΗΝΩΓΕΙΝ. ἵνα πεῖραν μάθῃ ὅτι ἀληθεύει. καὶ ἄλλως ἔδει τινὰ εἶναι τὸν μηνύσοντα, ὅτι οὐκέτι διακούονται αἱ σειρῆνες. ΠΙΕΖΕΙΝ. συνδεσμεῖν. ΠΙΦΑΥΣΚΟΝ. προεμήνυον προεσήμαινον, προέλεγον. ΕΞΙΚΕΤΟ. παρεγένετο, ἔφθασεν. ΕΥΕΡΓΗΣ. καλῶς εἰργασμένη. ΑΥΤΙΚ' ΕΠΕΙΤ' ΑΝΕΜΟΣ ΜΕΝ ΕΠΑΥΣΑΤΟ. ἐντεῦθεν ἡσίοδος

Hesiod καὶ τοὺς ἀνέμους αὐτὰς θέλγειν ἔφη. ΚΟΙΜΙΣΕ ΔΕ ΚΥΜΑΤΑ. ἴσως ἡ κίρκη ἵνα μὴ ἀπροφύλακτοι προσενεχθῶσιν. ἢ ποσειδῶν ἵνα ἀκούσῃ. ΜΗΡΥΣΑΝΤΟ. συνέστειλαν διὰ τῶν κάλων. ΕΝ ΝΗΙ ΓΛΑΥΥΡΗ. ΘΕΣΑΝ. καταθέντες δηλονότι τὸ κέρας. ΛΕΥΚΑΙΝΟΝ ΥΔΩΡ. ἤρεσσον ἀπὸ τοῦ παρακολουθοῦντος. λευκαίνεται δὲ ὑπὸ τῶν κωπῶν τὸ ὕδωρ. ἀπὸ τοῦ σφοδρῶς κωπηλατεῖν. ΞΕΣΤΗΣ ΕΛΑΤΗΣΙΝ. ἀπὸ ἐλάτης

δένδρου



δένδρου κατεσκευασμέναις κώπαις. ΣΤΙΒΑΡΗΣΙ. ἰσχυραῖς στιβαραῖς. ΤΥΤΘΑ. ἀντὶ τοῦ εἰς μικρά. ΠΙΕΖΟΝ. ἐμάλασσον. ΙΚΙΝΕΤΟ. ἐθερμαίνετο. ΚΕΛΕΤΟ. ἐκέλευεν ἠνάγκαζεν. ΑΛΕΙΨΑ. ἐνέφραξα. ΑΝΗΡΤΟΝ. ἐδέσμουν. ΔΙΩΚΟΝΤΕΣ. ἐλαύνοντες. ΩΚΥΑΛΟΣ. ταχέως τὴν θάλασσαν διαπεραιουμένη. ΟΡΝΥΜΕΝΗ. κινουμένη πλέουσα. ΕΓΓΥΘΕΝ. ἐκ τοῦ πλησίον. ΚΑΤΑΣΤΗΣΟΝ. καθόρμησον. ΛΙΓΥΡΗΝ. ἡδεῖαν φωνήν. ΕΝΤΥΝΟΝ. ἑτοίμαζον. ΔΕΥΡ' ΑΓ' ΙΩΝ ΠΟΛΥΑΙΝ' ΟΔΥΣΣΕΥ. μαντικαί τινες αἱ σειρῆνες. ὅθεν γνωρίζουσι τοὔνομα. πῶς δὲ ὅτε οὐκ ἀκούουσιν οὐ γνωρίζουσιν, ὅτι θεοὶ δὶς ἂν μὴ ἐπισκέψωσιν οὐκ ἴσασιν. ΝΩΙΤΕΡΗΝ. τὴν ἡμετέραν. ΚΑΤΑΣΤΗΣΕΝ. καθώρμησεν. ΠΑΡΗΛΑΣΕ. παρῆλθε. ΤΕΡΨΑΜΕΝΟΣ. τερφθείς, ἡσθείς. ΜΕΛΙΓΗΡΥΝ. ἡδεῖαν φωνήν. ΝΕΙΤΑΙ. ἀπέρχεται. ΜΟΓΗΣΑΝ. ἔκαμον, ἐκακοπάθησαν. ΙΕΙΣΑΙ. προφθεγγόμεναι. ΛΥΣΑΙ Δ' ΕΚΕΛΕΥΕΝ. μαρτυρία τῆς ἡδονῆς, ὅτι καὶ ὁ ἐγκρατέστερος ἡττᾶται. ΕΛΕΙΠΟΜΕΝ. κατελείπομεν, εἰάσαμεν. ΚΑΠΝΟΝ ΜΕΓΑ ΚΥΜΑ. εἰκότως καπνόν. ἐν ἡμέρᾳ γὰρ οὐ φαίνεται πῦρ. ΕΠΤΑΤΟ. ταχέως ἐξέπεσεν. ΠΡΟΗΚΕΑ. προέχοντα, τὰ προτεταγμένα τῆς νεώς. ΑΡΕΤΗ. δύναμις. ΑΛΟΣ ΡΗΓΜΙΝΑ. νώτου τὸ ἐπιπολάζον. παρὰ τὸ ῥήγνυσθαι ταῖς κώπαις. ΕΦΗΜΕΝΟΙ. ἐπικαθήμενοι. ΒΑΛΛΕΥ. ἐγκατάβου.

ΝΩΜΑΣ.

ΝΩΜΑΣ. κατέχεις, φέρεις. ΕΕΡΓΕ. ἄπεχε. ΕΡΙΜΑΙΕΟ. ἐφάπτου. ΕΠΙ. ἐπέρχεται. ΒΑΛΗΣΘΑ. ἐμβάλησθα. ΕΜΥΘΕΟΜΗΝ. ἔλεγον. ΚΛΗΙΔΕΣΙ. ταῖς τῶν καθέδραις. ΟΙΗΙΑ. πηδάλια. ΑΠΡΗΚΤΟΝ ΑΝΙΗΝ. οὐδὲν γὰρ ἐκ τοῦ λυπεῖσθαι ἠδύναντο πρᾶξαι. ΠΥΚΑΖΟΙΕΝ. κρύπτοιεν. ΕΦΗΜΟΣΥΝΗΣ. ἐντολῆς. ΛΑΝΘΑΝΟΜΗΝ. νῦν ἑκὼν ἠμέλουν. ΑΥΤΑΡ ΕΓΩ ΚΑΤΑΔΥΣ. καὶ γὰρ οἱ θεοὶ τιτρώσκονται καὶ εἴκουσι. ΚΑΤΑΔΥΣ. ἐνδυσάμενος. ΕΒΑΙΝΟΝ. ἐπέβαινον, ἱστάμην. ΑΘΡΗΣΑΙ. εἰδέναι θεάσασθαι. ΕΚΑΜΟΝ. ἐκοπίασαν. ΣΤΕΙΝΩΠΟΝ. στενὴν θάλασσαν. ΓΟΟΩΝΤΕΣ. θρηνοῦντες. ΑΝΕΡΟΙΒΔΗΣΕΝ. ἀνηκόντισεν. ΙΚΡΙΑ. τὰ καταστρώματα τῆς νεώς. ΕΝΕΣΕΙΕΝ. ἐξελάσειεν. ΛΕΒΗΣ ΩΣ. τὰ ἐν τῷ καθόλου γινόμενα περὶ χάρυβδιν λέγει. ΑΝΑΜΟΡΜΥΡΕΣΚΕ. ἀνεδίδου, ἀνέζει. ΑΝΑΒΡΟΞΕΙΕΝ. ἀναπίοι, ἀναῤῥοφήσειεν. ΒΕΒΡΥΧΕΙ. ἦχον ἐποίει. ΟΙΟΜΕΝ. νῦν ἀποβλέπομεν. ΟΙ ΧΕΡΣΙ ΤΕ ΒΙΗΦΙ ΤΕ ΦΕΡΤΕΡΟΙ ΗΣΑΝ. πάντες ἐπαινοῦμεν τοὺς πλουτέσαντες. ΣΚΕΨΑΜΕΝΟΣ. ἐπιδών, θεασάμενος. ΠΡΟΒΟΛΩ. προβεβλημένῃ πέτρᾳ. ἢ τόπῳ ἐξέχοντι. ΤΟΙΣ ΟΛΙΓΟΙΣ. τοῖς μικροῖς τοὺς μεγάλους κατάγουσι. ΠΡΟΙΗΣΙ. προσρίπτει. ΒΟΟΣ ΚΕΡΑΣ. ἤτοι τὴν τρίχα λέγει. ἢ τὸ ἐπικείμενον τῇ ὁρμιᾷ κέρας. ἐπὶ κέρατος δὲ ἡ ὁρμὴ τρέχει καθιεμένη καὶ ἀνελκομένη.

ὁρμιᾶ

εἰώθασι



εἰώθασι δὲ οἱ ἁλιεῖς μεταξὺ τοῦ ἀγκίστρου καὶ τοῦ σπάρτου, κέρας βόειον προσάπτειν, ἵνα καταπιόντες τὸ ἄγκιστρον οἱ ἰχθύες, μὴ τρώγωσι τὸ σπάρτον. ΑΣΠΑΙΡΟΝΤΑ. σκαρίζοντα. ΟΡΕΓΟΝΤΑΣ. ἐκτείνοντας. ΕΝ ΑΙΝΗ ΔΗΙΟΤΗΤΙ. νῦν ἐν τῷ δεινῷ σπαραγμῷ. ΠΟΡΟΥΣ. ῥεῦμα. ΕΞΕΡΕΕΙΝΩΝ. διερευνῶν, διερχόμενος. ΜΥΚΗΘΜΟΥ. τῆς τῶν βοῶν φωνῆς. ΑΥΛΙΖΟΜΕΝΑΩΝ. εἰς κοίτην παραγινομένων. ΒΛΗΧΗΝ. βληχὴ ἡ τῶν προβάτων φωνή. ΕΜΠΕΣΕΝ. ἐπεισῆλθεν. ΜΑΝΤΙΟΣ. μάντεως. ΕΠΕΤΕΛΛΟΝ. ἐνετέλλοντο, προσέταττον. ΑΛΕΥΕΣΘΑΙ. ἐκκλίναι, φυλάξασθαι. ΑΛΟΥ. τυφλοῦ. ΤΕΡΨΙΜΒΡΟΤΟΥ. τέρποντος τοὺς βροτούς. ΜΑΝΤΗΙΑ. τὰς μαντείας. ΠΑΡΕΞ. παρεκτός. ΠΕΡΙ ΤΟΙ ΜΕΝΟΣ. περισσή σοι ἡ δύναμις. ΑΔΗΚΟΤΑΣ. κεκμηκότας, κάμνοντας. ΟΥΚ ΕΑΑΣ. οὐ συγχωρεῖς. ΕΠΙΒΗΜΕΝΑΙ. ἐπιβῆναι στῆναι. ΤΕΤΥΚΟΙΜΕΘΑ. παρασκευασαίμεθα. ΑΛΑΛΗΣΘΑΙ. πλανᾶσθαι. ΑΝΩΓΑΣ. κελεύεις. ΔΗΛΗΜΑΤΑ. βλάβαι. ΔΙΑΡΡΑΙΣΟΥΣΙ. διαφθείρουσιν. ΟΠΛΙΣΟΜΕΣΘΑ. παρασκευάσομεν. ΕΝΗΣΟΜΕΝ. καθελκύσομεν. Ο ΔΗ. ὅτι δή. ΒΙΑΖΕΤΕ. βιάζεσθε. ΕΞΑΠΕΒΗΣΑΝ. ἐξῆλθον. ΜΝΗΣΑΜΕΝΟΙ. ὑπομνήσαντες. ΤΡΙΧΑ ΝΥΚΤΟΣ. ἤτοι τρία μέρη. ἢ τρίτον μέρος τῆς νυκτός. ΖΑΗΝ. σφοδρῶς πνέοντα. ΔΥΣΑΕΟΣ. σφοδρῶς πνέοντος. ΛΑΙΛΑΠΙ. ὑετῷ μετὰ ἀνέμου. ΩΡΜΗΣΑΜΕΝ.

ΞΑΜΕΝ. συνεωλκήσαμεν. ΘΟΩΚΟΙ. καθέδραι. ΑΠΕ-
ΧΟΜΕΘΑ. ἀπεχόμεθα. ΔΕΙΝΟΥ. δέους καὶ τι-
μῆς ἀξίου. ΑΛΗΚΤΟΣ. ἀκατάπαυστος. ΑΗ. ἔπνεεν.
ΗΙΑ. βρώματα δηλονότι. ΕΦΕΠΕΣΚΟΝ. συνήρ-
γουν. ΑΛΙΤΕΥΟΝΤΕΣ. πλανώμενοι. ΦΗΝΕΙΕ. δεί-
ξειεν. ΗΛΥΞΑ. ἐξέκλινα, ἐκτὸς ὄψεως αὐτῶν ἐγε-
νόμην. ΕΠΙΣΚΕΨΑΣ ΗΝ ΑΝΕΜΟΙΟ. ἔνθα ἦν
σκέπη πρὸς τὸ μὴ ἀνεμίζεσθαι. ΗΡΩΜΗΝ. ἰσχό-
μην. ΣΤΥΓΕΡΟΙ. μισητοί. ΕΞΗΡΧΕΤΟ. ἐξηγεῖτο.
ΕΛΑΣΑΝΤΕΣ. ἀπελάσαντες. ΡΕΞΟΜΕΝ. θύσο-
μεν. ΘΕΙΜΕΝ. ἀναθῶμεν. ΕΣΠΩΝΤΑΙ. ἀκολου-
θήσωσιν. ΒΟΣΚΕΣΚΟΝΤΟ. ἐβόσκοντο. ΤΑΣ ΔΕ.
ταύτας δέ. ΔΡΕΨΑΜΕΝΟΙ. λαβόμενοι. ΕΡΕΨΑ-
ΜΕΝΟΙ. στεφανωσάμενοι. ΛΕΙΨΑΙ. σπεῖσαι. ΣΤΡΕΥ-
ΓΕΣΘΑΙ. κατὰ στράγγα, ὅ ἐστι κατ' ὀλίγον. ΑΜ-
ΦΗΛΥΘΕΝ. περιῆλθεν. ΩΚΕΑ Δ' ΗΕΛΙΟΙΟ. πῶς ὁ
πάντα ἐφορῶν οὐκ οἶδε πάντα, ὁρᾷ, ἀλλ' οὐκ ὑπὲρ
τὸ αὐτό. ΤΙΣΑΙ. τιμωρῆσαι. ΧΑΙΡΕΣΚΟΝ. ἔχαι-
ρον. ΠΡΟΤΡΑΠΟΙΜΗΝ. μεταβάλοιμι, ἀποκλίνω.
ΤΙΣΟΥΣΙΝ. ἀποδώσουσι. ΕΠΙΕΙΚΕΑ. προσήκου-
σαν. ΔΥΣΟΜΑΙ. ἀπελεύσομαι. ΦΑΕΙΝΩ. φανῶ
λάμψω. ΑΡΓΗΤΙ. λευκῷ, ἢ τεφρώδει. ΚΕΑΣΑΙ-
ΜΙ. σχίσαιμι, ἢ καύσαιμι. ΚΑΤΗΛΥΘΟΝ. κατῆλ-
θον, παρεγενόμην. ΝΕΙΚΕΟΝ. ἐκακολόγουν. ΕΠΙ-
ΣΤΑΔΟΝ. ἐφεστῶτες. ΔΥΝΑΜΕΣΘΑ. ἠδυνάμεθα.





ΑΠΕΤΕΘΝΑΣΑΝ. ἀποθανόντες ἦσαν. ΑΜΟΙΒΗΝ.
τιμωρίαν. ΤΕΡΑΤΑ. σημεῖα. ΠΡΟΥΦΑΙΝΟΝ. προε-
σήμαινον ἐδείκνυον. ΕΙΡΠΟΝ. ἐκινοῦντο, ἐβάδι-
ζον. ΕΜΕΜΥΧΕΙ. μυκηθμῷ ὅμοιον ἦχον ἀπετέ-
λουν. ΕΞΗΜΑΡ. ἐπὶ ἓξ ἡμέρας. ΕΛΟΩΝΤΕΣ. ἀπε-
λάσαντες. ΕΝΗΚΑΜΕΝ. συνεβάλομεν. ΗΧΛΥΣΕ.
ἀχλύϊ, καὶ σκότῳ περιελήφθη ἐπληρώθη. ΕΘΕΙ.
ἔτρεχεν. ΚΕΚΛΗΓΩΣ. μεγάλως ἀντιπνέων. ΠΡΟ-
ΤΟΝΕΣ. τὰ σχοινία τὰ κατέχοντα τὸν ἱστόν. ΑΝ-
ΤΛΟΝ. τὴν ἀντλίαν εἰς ἣν ἐγχέεται τὸ κατη-
θιζόμενον εἰς τὴν ναῦν ὕδωρ. ΚΑΤΕΧΥΝΤΟ.
ἀθρόως ἔπεσον. ΑΡΡΕΞΕ. συνέτριψεν. ΑΡΝΕΥ-
ΤΗΡΙ. κυβιστητῆρι, ὀρχιστῇ. ΕΠΙΚΡΙΟΦΙΝ. τῶν σανι-
δωμάτων. ΕΛΕΛΙΧΘΗ. συνεσείσθη. ΘΕΕΙΟΥ. θείου,
καταστρέφει δὲ εἰς τὸ πυρὸς καρχινίου. ΑΠΟΑΙΝΥ-
ΤΟ. ἀφῃρεῖτο. ΛΥΣΕ. διέλυσε. ΕΦΟΙΤΩΝ. περιήεσαν.
ΚΛΥΔΩΝ. ὁ τῆς θαλάσσης τάραχος. ΤΡΟΠΙΟΣ. κλύδων
τρόπις τὸ κατώτατον ξύλον περὶ ὃ σχίζεται τὸ
κῦμα. ΨΙΛΗΝ. μόνην, καθ' ἑαυτήν. ΕΠΙΤΟΝΟΣ
ΙΜΑΣ. ἤτοι ὁ τῶν κεράτων δεσμός, ἢ ὁ ἱμὰς ὁ πρὸς
ἄκρῳ τοῦ ἱστοῦ δι' οὗ τὸ ἔρμιον ἀνέλκεται. ΒΕΒΛΗ- ἕρμι)
ΤΟ. ἐπέκειτο. ΡΙΝΟΙΟ ΤΕΤΕΥΧΩΣ. κατασκευασθείς.
ΣΥΝΕΕΡΓΟΝ. συνεδέσμουν. ΘΥΕ. ὥρμα. ΑΝΑΜΕ-
ΤΡΗΣΑΙΜΙ. διέλθοιμι, περιέλθω. ΑΝΙΟΝΤΙ. ἀνίσχοντι,
ἀνατέλλοντι. ΠΡΟΣΦΥΣ. προσπλακείς. ΝΥΚΤΕΡΙΣ.

εἶδος ὀρνέου. ΣΤΗΡΙΞΑΙ. στῆναι ἀσφαλῶς. ΕΙΧΟΝ. ἀντὶ τοῦ ὑπῆρχον. ΑΠΗΩΡΟΙ. ἤτοι ἀπηρτισμένοι. καὶ πολὺ ἀλλήλων διεστηκότες, δίον μετεωρούμενοι. καὶ ἄποθεν. ΚΑΤΕΣΚΙΛΟΝ. κατασκιάζον. ΕΞΕΜΕΣΕΙΕ. ἐκρίψειεν, ἀναβάλοι. ΕΠΙ ΔΟΡΠΟΝ. τὸ δειλινὸν ὥραν. ΚΡΙΝΩΝ. δικάζων. ΗΚΑ. ἀφῆκα. ΔΟΥΠΗΣΑ. πεσὼν ψόφον ἀπετέλεσα. ΠΑΡΕΞ ΠΕΡΙΜΗΚΕΑ ΔΟΥΡΑ. τὸ ὅλον περὶ τὰ μακρὰ ξύλα. ΔΙΗΡΕΣΑ. ἀπεσπασάμην ταῖς χερσὶ τὸ ὕδωρ, ὥσπερ κώπαις ταῖς χερσί μου διενηξάμην. ΕΙΣΙΔΕΕΙΝ. ἰδεῖν, συντυχεῖν. ΔΕΚΑΤΗ ΔΕ ΜΕ. οὐ δεῖ ζητεῖν πῶς διακαρτερεῖ ὁ ἥρως ἐπισκοπούσης τῆς ἀθηνᾶς, αὐτὰρ ἐγὼ θεός εἰμι διαμπερὲς ἥ σε φυλάσσω ἐν πάντεσσι πόνοισι. ΕΦΙΛΕΙ. φιλικῶς ὑπεδέχετο, ἐκόμιζεν, ἐπιμελείας ἠξίου. ΜΥΘΟΛΟΓΕΥΩ. διηγοῦμαι. ΑΡΙΖΗΛΩΣ. ἐκδήλως. ΕΙΡΗΜΕΝΑ. τὰ ἤδη ῥηθέντα. ΦΟΡΚΥΝΟΣ ΔΕ ΤΙΣ ΕΣΤΙ ΛΙΜΗΝ ΑΛΙΟΙΟ ΓΕΡΟΝΤΟΣ. φόρκυν, δαίμων θαλάσσιος, τὸ πρότερον διατρίβων πρὸς τῷ ἀργυνίῳ λεγομένῳ ὄρει τῆς ἀχαΐας, οἰκῶν τε τὴν φόρκυνος ἀπ᾽ αὐτοῦ καλουμένην νῆσον, κάτω φανὲν αὐτῷ, καταλιπὼν τὰς τρίβους ταύτας, ἀφίκετο εἰς τὴν κεφαλληνίαν, καὶ τόπον ἐλεξάμενος ἐπιτήδειον αὐτῷ, ἐνταῦθα ᾤκησεν. λέγεται δὲ ἄμμος ὁ τόπος προσωμίσας εἰς τὸν τῆς ἰθάκης λιμένα, ἠξίωσεν αὐτὸν ἀφ᾽ ἑαυτοῦ

Phorcyn





προσαγορεύεσθαι φόρκυνον. ἡ δὲ ἱστορία παρὰ ἡροδότῳ. ΦΕΥΓΩ ΕΠΕΙ ΦΙΛΟΝ ΥΙΑ ΚΑΤΕΚΤΑΝΟΝ ΙΔΟΜΕΝΗΟΣ. ἰδομενεὺς παῖς μὲν ἦν δευκαλίωνος τοῦ μίνωος, κρὴς δὲ τὸ γένος. ἄριστος τὰ πολέμια, παρ᾽ ἑκάσταις γοῦν ἀριστείαις σεμνὸς φαινόμενος μέχρι τῆς νόστου ἄπταιστος διεφυλάχθη. δύντος δὲ ὡς λέγεται γενομένου τοῦ κατ᾽ εὔβοιαν χειμῶνος ὑπὸ τῆς ἀθηνᾶς ὤκειλε μετὰ τοῦ κάλχαντος καὶ σθενέλου εἰς κολοφῶνα, καὶ ἐνταῦθα τὸν βίον κατέστρεψε. ἡ δὲ ἱστορία παρὰ λυκόφρονι.

Herodoto

Diomedis historia

Lycophro

τέλος τοῦ μ.

## ΕΙΣ ΤΗΝ Ν. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΚΗΛΗΘΜΩ. θέλξει, τέρψει, κήλησις γάρ ἐστιν ἡ δι᾽ ᾠδῆς τέρψις, καὶ ἡδονή. ΙΚΕΥ. παρεγένου. ΧΑΛΚΟΒΑΤΕΣ. ἤτοι χαλκοῦν ἔδαφος ἔχον. ἢ χαλκοῦς ἔχον τοὺς βαθμοὺς τῶν θυρῶν. ΑΠΟΝΟΣΤΗΣΕΙΝ. ἐπανελεύσεσθαι. ΠΑΛΙΜΠΛΑΓΧΘΕΝΤΑ. ὀπισθόρμητον γενόμενον. ΕΦΙΕΜΕΝΟΣ ΤΑΔΕ ΕΙΡΩ. μετὰ προθυμίας τάδε λέγω. ΕΦΙΕΜΕΝΟΣ.

συναλλασσόμενος, συντελλόμενος. ΑΚΟΥΑΖΕ-
ΣΘΕ. ἀκροᾶσθε. ΕΥΞΕΣΤΗ. καλῶς ἐξεσμένη καλῶς
εἰργασμένη. ΠΟΔΥΔΑΙΔΑΛΟΣ. ὁ ποικίλος. καὶ μετὰ
τέχνης κατεσκευασμένος. ἢ εἰς τὸ δαιδάλλεσθαι καὶ
ποικίλλεσθαι εὔθετος. ΒΟΥΛΗΦΟΡΟΙ. συνετοί, φροντι-
στικοί. ΓΕΡΟΥΣΙΟΝ. τὸν τοῖς ἐντίμοις διδόμενον.
ΕΝΕΙΚΑΝ. ἤνεγκαν, ἐκόμισαν. ΑΝΔΡΑΚΑΣ. κατ' ἄν-
δρα. ΚΑΤΑΔΗΜΟΝ. ἐκ τοῦ δήμου. ΤΙΣΟΜΕΤΟ. εἰσ-
πραττόμεθα, ἢ ἀποληψόμεθα. ΑΡΓΑΛΕΟΝ ΓΑΡ ΕΝΑ
ΠΡΟΙΚΟΣ. ἡ προικὸς γενικὴ ἀντὶ τοῦ προῖκα. ὁ γοῦν
νοῦς, χαλεπὸν γὰρ καὶ ἀδύνατον, ἕνα δωρεὰν τοσαύτην
χαρίσασθαι. ΚΑΚΚΕΙΟΝΤΕΣ. μέλλοντες κοιμηθῆναι.
ΥΠΟ ΖΥΚΑ. ὑπὸ τὰς καθέδρας τῶν ἐρετῶν. ΒΛΑ-
ΠΤΟΙ. ἐμποδίζοι. ΣΠΕΡΚΟΙΑΤ' ΕΡΕΤΜΟΙΣ. σπου-
δάζοιεν ταῖς κώπαις, ὅ ἐστι σπουδαίως ἐλαύνοιεν.
ΑΛΕΓΚΥΕΝ. εὐτρέπιζον κατεσκεύαζον. ΚΗΑΝΤΕΣ.
καύσαντες. ΕΡΙΚΥΔΕΑ. μεγάλως ἔνδοξα. ΤΕΤΙΜΕ-
ΝΟΣ. τετιμημένος, τίμιος. ΠΑΜΦΑΝΟΩΝΤΑ. πᾶσι
φαίνοντα. ΜΕΝΕΑΙΝΕΝ. ἐφρόντιζε. ΛΙΛΑΙΕΤΑΙ. ἐπι-
θυμεῖ. ΝΕΙΟΝ. γῆν νενεασμένην. ΕΛΚΗΤΟΝ.
ἕλκωσιν. ΓΗΚΤΟΝ. τὸ μὴ δεξ αὐτοῦ ἔχον τὸν νόον.
ΠΙΦΑΥΣΚΟΜΕΝΟΣ. φανεροποιῶν. ΤΕΤΕΛΕΣΤΑΙ.
πεπλήρωται. ΟΛΒΙΑ. εὐτυχῆ. ΑΡΤΕΜΕΕΣΣΙΝ.
ὑγιέσι καὶ πιστοῖς. ΚΟΥΡΙΔΙΑΣ. τὰς ἐκ παρθενίας
κουριδίας γεγαμημένας. ΑΡΕΤΗΝ. εὐδαιμονίαν. ΜΕΤΑΔΗ-
ΜΙΟΝ.



ΜΙΟΝ. ἔντιμον τῇ πόλει. ΕΠΙΣΤΑΔΟΝ. ἐπισκο-
μόνως. ΕΔΤΡΕΩΝ. τῶν καθεδρῶν. ΕΠΙΚΡΙΟΦΙΝ.
ἐπὶ τῶν καταστρωμάτων. ΔΙΑΜΠΕΡΕΣ. διόλου
τοῦ βίου. ΝΕΟΜΑΙ. ἀπέρχομαι. ΕΒΗΣΕΤΟ. ἔ-
βη, ἐπορεύθη. ΕΥΠΛΥΝΕΣ. καλῶς πλυνθὲν, κα-
θαρόν. ΠΥΚΙΝΗΝ. συνετήν. ΚΟΜΙΖΕΙΝ. ἄγειν,
φέρειν. ΚΑΤΗΛΥΘΟΝ. κατῆλθον. ΠΟΣΙΝ. πο-
τόν. ΛΙΝΟΝ. λεπτὸν ἱμάτιον. ΝΗΓΡΕΤΟΝ.
ἀνέγερτον, βαθὺν, ἢ δι' ἡδονὴν βραδύν. ΚΟΣ-
ΜΩ. ἐν κόσμῳ, ἐν τάξει. ΠΕΙΣΜΑ. τὸ ἀπό-
γειον σχοινίον. ΤΡΗΤΟΙΟ ΛΙΘΟΙΟ. εἰώθασιν ἐπὶ τῶν
λιμένων τρυπᾶν τοὺς λίθους. ΑΝΕΡΙΠΤΟΥΝ. ἀπὸ
τοῦ παρακολουθοῦντος, ἀναρρίπτεται γὰρ ὑπὸ τῶν
κωπῶν τὸ ὕδωρ. ΗΔΙΣΤΟΣ. ἡδύτατος. ΗΔ' ΩΣΤ' ΕΝ
ΠΕΔΙΩ. εὖ κέχρηται τῇ παραβολῇ, ὥσπερ γὰρ ἵπποι
τρέχοντες ἐκ τῶν ὀπισθίων μερῶν διεγείρονται,
οὕτω καὶ ἡ ναῦς ἐλαυνομένη ἐκ τῆς πρύμνης κουφί-
ζεται. ΤΕΤΡΑΟΡΟΙ. τέσσαρες ἵπποι ἐζευγμένοι,
τετράοροι τὸ ο μικρόν. ΙΜΑΣΘΛΗΣ. μάστιγος.
ΑΕΙΡΟΜΕΝΟΙ. ἐπαιρόμενοι, κουφιζόμενοι. ΑΕΙΡΕ-
ΤΟ. ἐπήρετο, ὑψοῦτο. ΚΙΡΚΟΣ. ἱέραξ. ΟΜΑΡΤΗ-
ΣΕΙΕΝ. ἀκολουθήσει. ΕΤΑΜΝΕΝ. ἔκοπτεν. ΕΠΕ-
ΠΟΝΘΕΙ. ἔπαθεν ὑπέστη. ΥΠΕΡΕΣΧΕΝ. ἀνέτειλεν.
ΦΑΑΝΤΑΤΟΣ. λαμπρότατος. ΑΓΓΕΛΛΩΝ.
προμηνύων. ΠΡΟΣΕΠΙΛΝΑΤΟ. προσεπέλαζεν.

ΦΟΡΚΥΝΟΣ. λιμὴν ἰθάκης ἐφ' ᾧ λιμένι φόρκυνος ἐστὶν ἱερὸν τοῦ θαλασσίου δαίμονος. ΑΛΙΟΙΟ ΓΕΡΟΝΤΟΣ. τοῦ φόρκυνος. ΑΠΟΡΡΩΓΕΣ. διεῤῥωγυῖαι, οὐχ ὡς μέντοι τῶν ῥιζῶν ἀποτετμῆσθαι. ΠΟΤΙΠΕΠΤΗΥΙΑΙ. ἔσω νενευκυῖαι. ΣΚΕΠΟΩΣΙ. σκέπωσι, κωλύωσι, σκέπας παρέχωσι. ΔΥΣΑΗΩΝ. κακοπνεύστων. ΟΡΜΟΥ ΜΕΤΡΟΝ. ὅταν πρὸς τὸ ὁρμισθῆναι ἀφίκωνται, τὸ μέτρον ἢ τὸ ἀναπλῆρες τῆς καταγωγῆς. ΙΚΩΝΤΑΙ. παραγένωνται. ΕΠΙ ΚΡΑΤΟΣ. ἐπὶ τῆς ἀρχῆς. ΤΑΝΥΦΥΛΛΟΣ. τεταμένα φύλλα ἔχουσα, μακρόφυλλος. ΕΠΗΡΑΤΟΝ. ἐπέραστον, καλόν. ΗΕΡΟΕΙΔΕΣ. μέγα καὶ ἀναπεπταμένον, εὔσκιον. ΝΥΜΦΑΩΝ. νυμφῶν. ΝΗΙΑΔΕΣ. ἀπὸ τοῦ νηΐου ὄρους, ἢ ναΐδες νύμφαι ἐπὶ τῶν ὑδάτων. ΑΜΦΙΦΟΡΗΕΣ. εἶδος κεραμίων ἀμφώτων. ΤΙΘΑΙΒΩΣΟΥΣΙΝ. ἀποτίθενται τὴν βόσιν. ὅ ἐστι τὸ μέλι δίον θησαυρίζουσι τὰ κηρία, καὶ νεοττοτροφοῦσιν. ΛΙΘΕΟΙ. λίθινοι. ΑΕΝΑΟΝΤΑ. ἀεὶ ῥέοντα. ΚΑΤΑΒΑΤΑΙ ΑΝΘΡΩΠΟΙΣΙ. βάσιμοι, δι' ὧν κατάβασις ἐστὶν ἀνθρώποις. ΘΕΩΤΕΡΑΙ. θειότεραι, δι' ὧν μόνοι θεοὶ εἰσέρχονται. ΒΑΝΤΕΣ. ἐκβάντες, ἐξελθόντες. ΕΥΖΥΓΟΥ. εὖ συνεζευγμένης. ΑΕΙΡΑΝ. ἐκόμισαν. ΚΑΔΔ' ΑΡ ΕΠΙ ΨΑΜΑΘΩ ΕΘΕΣΑΝ. οὐ διανίστησιν αὐτὸν, πρὸ τοῦ μὴ δοκεῖν χάριν τῆς παραπομπῆς ἀπαιτεῖν, ἢ ἵνα μὴ καταχεθῶσιν ὑπ' αὐτοῦ, ἢ οὕτως ᾠκονό-



*Phorcyn portus Ithacae*



μησεν διὰ τὰ ἑξῆς ἀνήκοντα γὰρ ὑπὸ τῶν μνηστήρων φανερῶς κατιών. ΠΥΘΜΕΝΑ. ῥίζαν. ΟΔΙΤΑΩΝ. ὁδευτῶν. ΕΓΡΕΣΘΑΙ. ἀναστῆναι. ΔΗΛΗΣΑΙΤΟ. βλάψοι ἀντὶ τοῦ ἀφέληται. ΤΙΜΗΕΙΣ. τίμιος. ΤΙΟΥΣΙ. τιμῶσι. ΕΜΗΣ ΕΞΕΙΣΙ ΓΕΝΕΘΛΗΣ. ἐμ ἦσαν ταῦτα. ὁ γὰρ φαίαξ ποσειδῶνος καὶ κορκύρας τῆς ἀσωποῦ. τὸ δὲ ἀπηύρων, ἀντὶ τοῦ ἀφελόμενον. ΕΠΕΙ ΣΥ ΠΡΩΤΟΝ. χρονικῶς. ΑΛΙΣ. ἱκανῶς. ΕΞΗΡΑΤΟ. ἐξαίρετα ἔλαβεν. ΠΡΕΣΒΥΤΑΤΟΝ. ἐντιμότατον. ἀλλαχοῦ γὰρ λέγει, ἀλλὰ ζεὺς πρότερος ἐγεγόνει. ΑΡΙΣΤΟΝ. δυνατώτατον. ΙΑΛΛΕΙΝ. προσβάλλειν, διδόναι ἐκτείνειν. ΒΙΗ ΚΑΙ ΚΡΑΤΕΙ ΕΙΚΩΝ. νικώμενος ὑπὸ τῆς ἑαυτοῦ βίας, καὶ τῆς ἰσχύος ὥστε διὰ τοῦτο ἐξυβρίζειν. ΟΠΙΖΟΜΑΙ. φυλάττομαι, αἰδοῦμαι ἐντρέπομαι. ΤΙΕΙ. τιμᾷ. ΑΝΙΟΥΣΑΝ. ἀνερχομένην. ΡΑΙΣΑΙ. διαφθεῖραι. ΣΧΩΝΤΑΙ. ἀπόσχωνται, κωλύσωσι. ΑΠΟΛΗΞΩΣΙ. παύσωνται. ΘΑΥΜΑΖΩΣΙΝ. ὁρῶντες ἐκπλήττωνται. ΕΡΡΙΖΩΣΕΝ. ἀκίνητον ἐποίησεν. ΚΑΤΑΠΡΗΝΕΙ. κατεστραμμένῃ. ΕΛΑΣΑΣ. τύψας, κρούσας. ΕΠΕΔΗΣΕΝ. κατέσχεν, ἐνεπόδισεν. ΠΡΟΥΦΑΙΝΕΤΟ. προυφανὴς ἦν. ΟΥΚ ΙΣΑΝ. οὐκ ᾔδεσαν. ΑΓΑΣΑΣΘΑΙ. ἄγαν ὀργισθῆναι. ΚΕΚΡΙΜΕΝΟΥΣ. ἐπιλέκτους. ΠΕΡΙΜΗΚΕΣ. μέγα. ΑΜΦΙΚΑΛΥΨΕΙ. περικαλύψει. ΟΣΟΙ ΜΕΝ Ρ' ΕΥΧΟΝΤΟ. κατὰ τὸ σιωπώμενον ἠφανίσθησαν. τὰ γὰρ



*Phaeax neptuni & Corcyrae*

κυρωθέντα ὑπὸ θεῶν, δὲ ἀνάγκης πληροῦται. ΑΠΕΩΝ. ἀπιών, ἀποδημῶν. ΧΕΥΕΝ. κατέχεεν. ΑΓΝΩΣΤΟΝ. ἀφανῆ. ΓΝΟΙΗ. ἴδοι ἢ ἐπιγνῷ. ΑΣΤΟΙ. οἱ πολῖται. ΥΠΕΡΒΑΣΙΗΝ. ὕβριν. ΑΠΟΤΙΣΑΙ. ἀποδοῦναι. ΑΛΛΟΕΙΔΕΑ. ἀλλοῖα. ΦΑΙΝΕΣΚΕΤΟ. ἐφαίνετο. ΑΤΡΑΠΙΤΟΙ. αἱ μὴ ἔχουσαι ἐκτροπὴν ὁδοῦ. ΔΙΗΝΕΚΕΕΣ. μακραί. ΠΑΝΟΡΜΟΙ. σκέπην ἔχοντες παντὸς ἀνέμου. ΤΗΛΕΘΑΟΝΤΑ. ἄγαν θάλλοντα. ΠΛΑΓΞΟΜΑΙ. πλανηθῶ. ΑΙΘ᾽ ΟΦΕΙΛΟΝ ΜΕΙΝΑΙ. τὰ χρήματα δηλονότι. ΕΞΙΚΟΜΗΝ. ἱκέτευσα. ΘΕΣΘΑΙ. θεῖναι ἀποθέσθαι. ΚΑΛΛΕΙΨΩ. καταλείψω. ΕΛΩΡ. ἔγκυρμα. ΟΥ Δ᾽ ΕΤΕΛΕΣΑΝ. οὐκ ἐπλήρωσαν. ΙΚΕΣΙΟΣ. ἱκετῶν ἐπόπτης. ΤΙΝΥΤΑΙ. τιμωρεῖται. ΑΛΛ᾽ ΑΓΕ ΔΕ ΤΑ ΧΡΗΜΑΤΑ. ἵνα τὴν γνώμην αὐτῶν καταμάθῃ. εἰ γὰρ μηδὲν ἔλιπε τῶν χρημάτων, ψευδὲς ἦν τὸ εἰς ἀλλοτρίαν γῆν αὐτὸν ἀφῖχθαι. οὐ πιστεύει δὲ περὶ δεσμοῦ τῆς κίρκης. ἤτοι διὰ τὴν ἔκπληξιν, ἢ οἰηθεὶς μεμαθηκέναι αὐτοὺς τὸν δεσμόν. ΟΙΧΟΝΤΑΙ. ἀπεληλύθασι. ΑΓΟΝΤΕΣ. ἀπάγοντες. ΠΕΡΙΚΑΛΛΕΑΣ. ἄγαν εὐπρεπεῖς. ΠΟΘΕΙ. ἀπεκλαίετο. ΕΡΠΥΖΩΝ. κατὰ τὸν αὐτὸν τόπον ἀναστρεφόμενος, ἢ ἕρπων, ἢ βαδίζων. ΝΕΩ. νεωτέρου. ΕΠΙΒΩΤΟΡΙ ΜΗΛΩΝ. ποιμένι ἐπὶ τῶν βοσκημάτων τεταγμένῳ. ΠΑΝΑΠΑΛΩ. τοιοῦτο ὁμοιοῦται πρὸς τὸ



πρὸς τὸ θαρσῆσαι τὴν ὀδυσσεία. ὅθεν καὶ ἐπιφέρει ὀδυσσεὺς γνώσεν, παναπάλῳ δὲ ἀπαλῷ. ΟΙΟΙ ΤΕ ΑΝΑΚΤΩΝ ΠΑΙΔΕΣ ΕΑΣΙ. τὸ παλαιὸν καὶ οἱ τῶν βασιλέων παῖδες πανάπαλοι ἐκαλοῦντο, καὶ ἐποίμαινον. δίπτυχον δέ, ἀντὶ τοῦ διπλοῦν. ΛΩΠΗΝ. ἱμάτιον, ἤτοι περιβόλαιον, ἔνθεν καὶ λωποδύτης ὁ τούτων ἀφαιρέτης λῃστής. ΕΧΕ. ὑπεδέχετο. ΚΙΧΑΝΩ. καταλαμβάνω. ΑΝΤΙΒΟΛΗΣΕΙΣ. συναντήσεις. ΣΑΩ. σῶσον. ΚΕΚΛΙΜΕΝΗ. περιεχομένη. ΝΩΝΥΜΟΣ. ἀνώνυμος. ΜΕΤΟΠΙΣΘΕΝ. εἰς τὰ ἐναντία μέρη. ΟΥ ΔΕ ΛΙΗΝ ΛΥΠΡΗ. οὐ γὰρ ὅλως εὐτελής. ΤΕΘΑΛΕΥΙΑ. θάλλειν ποιοῦσα, καὶ αὔξειν τὰ φυτά, καὶ εὔβοτος. πῶς οὖν ἔνδροσος εἰ ἐν ἠπείρῳ νέμονται, οὐδὲν κωλύει καὶ ἐν ἰθάκῃ, ἢ εὔβοτος βοσκημάτων πλήρης. ΕΕΡΣΗ. δρόσος. ΑΙΓΙΒΟΤΟΣ. αἶγας βόσκειν δυναμένη. ΑΡΔΜΟΙ. ποτισμοί. ΕΠΗΕΤΑΝΟΙ. συνεχεῖς διήκοντες. ΠΑΡΕΑΣΙ. πάρεισιν, ὑπάρχουσι. ΠΑΤΡΩΗ. πατρική. ΠΑΛΙΝ Δ᾽ ΟΓΕ ΛΑΖΕΤΟ. εἰς τοὐναντίον τοῦ ἀληθοῦς, ὅ ἐστιν ἐκ δευτέρου γὰρ τὸν λόγον ἀνελάβετο. ΠΟΛΥΚΕΡΔΕΑ. συνετόν, ἢ πανοῦργον. ΝΩΜΩΝ. διανέμων. ΠΥΘΑΝΟΜΗΝ. ἤκουον. ΤΟΙΣΔΕΣΙ. τούτοις. ΚΑΤΕΚΤΑΝΟΝ. ἀνεῖλον, ἐφόνευσα. ΟΡΣΙΛΟΧΟΝ. τὸν παῖδα ἰδομενέως. ΑΛΦΗΣΤΑΣ. εὑρετικούς. ΣΤΕΡΕΣΑΙ. ἀποστερῆσαι. ΤΡΩΙΑΔΟΣ. τρωϊκῆς. ΠΕΙΡΩΝ. διαπερῶν, διερχόμενος. ΤΟΝ ΜΕΝ ΕΓΩ

ΚΑΤΙΟΝΤΑ.

λωποδύτης

ΚΑΤΙΟΝΤΑ. σκήπτεται τὸν ἰδομενέως υἱὸν ἀνῃρηκέναι. ἵνα αὐτὸν παρώσωνται οἱ μνηστῆρες ὡς ἐχθρὸν τοῦ ὀδυσσέως φίλου, ἑαυτῷ δὲ ἐν κρήτῃ υἱοὺς φησὶν εἶναι, ὅτι τοὺς τιμωρήσοντας ἕξει. καὶ τὸν ὀρσιλόχου δὲ θάνατον λέγει διὰ τὴν λείαν. δεικνὺς ὅτι οὐδὲ ἐκείνῳ παραχωρήσει ἀναιμωτί. φοίνιξι δὲ πιστεῦσαι λέγει, ἵνα μὴ ἀδικήσῃ, λογισάμενος ὅτι οἱ φιλοκερδέστατοι αὐτοῦ ἐφείσαντο. ΑΓΡΟΘΕΝ. ἐκ τοῦ ἀγροῦ. ΛΟΧΙΣΑΜΕΝΟΣ. λοχίσας ἐνεδρεύσας. ΔΝΟΦΕΡΗ. μέλαινα, σκοτεινή. ΚΑΤΑΣΤΗΣΑΙ. ἀποκαταστῆσαι. ΜΕΝΟΕΙΚΕΑ. προσηνῆ καὶ ἀρέσκοντα τῇ ψυχῇ. ΕΦΕΣΑΙ. ἱδρῦσαι εἰς τὴν ναῦν. ΑΠΕΣΑΤΟ. ἀπωθήσατο. ΑΕΚΑΖΟΜΕΝΟΥΣ. ἄκοντας, μὴ βουλομένους. ΟΥ Δ' ΗΘΕΛΟΝ ΕΞΑΠΑΤΗΣΑΙ. ἐπαινεῖ τοὺς φοίνικας ἵνα ὁ ἀκούων μιμήσηται. ΠΛΑΓΧΘΕΝΤΕΣ. πλανηθέντες. ΙΚΑΝΟΜΕΝ. παρεγινόμεθα. ΠΡΟΕΡΕΣΣΑΜΕΝ. καθειλκύσαμεν. ἀντὶ τοῦ εἰσήλθομεν. ΜΝΗΣΤΗΣ. μνήμης. ΑΠΟΒΑΝΤΕΣ. ἐξελθόντες. ΧΑΤΕΟΥΣΙ. χρήζουσι, δεομένοις. ΕΠΕΛΑΒΕ. κατέσχεν. ΣΙΔΟΝΙΗΝ. τὴν περὶ σιδῶνος χώραν, τὴν φοινίκην. ΔΕΜΑΣ Δ' ΗΙΚΤΟ ΓΥΝΑΙΚΙ. ἐντεῦθεν πρόδικος τὴν ἀρετὴν καὶ τὴν κακίαν ἀνέπλασεν. ΗΙΚΤΟ. ὡμοίωτο. ΚΕΡΔΑΛΕΟΣ. πανοῦργος. ΕΠΙΚΛΟΠΟΣ. παραλογιστής. ΠΑΡΕΛΘΟΙ. νικήσει, μεταφορικῶς. ΛΗΞΕΙΝ. παύσεσθαι. ΑΠΑΤΑΩΝ. παραλο-

γισμῶν.

Prodici fabula hinc profecta



γισμῶν. ΚΛΟΠΙΩΝ. τῶν κεκλεμμένων, καὶ μὴ ἀληθῶς. ΠΕΔΟΘΕΝ. ἐκ νέας ἡλικίας. ἢ ἀπὸ τοῦ πέδου. ΜΗΤΙ. βουλῇ, γνώμῃ. ΚΛΕΟΜΑΙ. δοξάζομαι. ΥΦΗΝΩ. κατασκευάσω. ΜΗΔΕ ΤΩ. μηδενί. ΕΚΦΑΣΘΑΙ. εἰπεῖν. ΥΠΟΔΕΓΜΕΝΟΣ. ὑποδεχόμενος. ΔΕ ΓΑΡ ΑΥΤΗΝ ΠΑΝΤΙ ΕΙΣΚΕΙΣ. ὑπονενόηκεν ὅτι ἐν τοῖς φαίαξι καὶ παρθένῳ καὶ ἀνδρὶ ὁμοιωθῆσαι παρώρμηκεν αὐτόν. ΗΠΙΗ. πρᾶος. ΠΟΛΕΜΙΖΟΜΕΝ. ἐπολεμοῦμεν. ΕΛΥΣΑΝ. ἐλυτρώσαντο. ΤΟΙΟΥΤΟ ΝΟΗΜΑ. εὐεξαπάτητον, ἀντὶ τοῦ οὐκ εὐεξαπάτητον. οὐδὲ συνετόν. ΠΡΟΛΙΠΕΙΝ. ἐᾶσαι. ΕΠΗΤΗΣ. φρόνιμος, καὶ λόγιος παρὰ τὸ ἔπος. ΑΓΧΙΝΟΟΣ. περὶ δὲ νοῆσαι ταχύς. ΕΧΕΦΡΩΝ. σώφρων. ΑΛΑΛΗΜΕΝΟΣ ΕΛΘΩΝ. ἀπὸ πλάνης παραγενόμενος. ΦΙΛΟΝ. νῦν ἀντὶ τοῦ ὠφέλιμον. ΟΤΙ ΝΟΣΤΗΣΕΙΣ. ὅτι ἐπανέλθοις. ΠΕΠΟΙΘΗΣ. πιστεύσεις. ΚΑΤΗΡΕΦΕΣ. χθαμαλόν, κατακαλυπτόν, καὶ κατάστεγον. ΥΜΜΕ. ὑμᾶς. ΕΙΜΕΝΟΝ. κατεσκεπασμένον. ΑΓΑΝΟΙΣΙ. προσαγανέαις καὶ πεῖσαι δυναμένοις. ΝΗΡΙΤΟΝ. ὄρος ἰθάκης ἀντικρὺ τῆς ἠπείρου. ΕΑ. συγχωρήσει. ΑΕΞΕΙ. αὐξηθῆναι ποιήσει. ΣΟΑ. σῶα, ὑγιῆ. ΜΙΜΝΕΙ. μένει. ΗΕΡΟΕΙΔΕΣ. νῦν καθαρὸν ἀέρα ἔχον. ΜΑΙΟΜΕΝΗ. ἐρευνῶσα, ζητοῦσα. ΚΕΥΘΜΩΝΑΣ. τὰς καταδύσεις. ἢ τοὺς κοίλους τόπους. ΕΦΟΡΕΙ. ἔφερε, περιεκόμιζεν. ΦΡΑΖΕΣΘΗΝ. ἐβουλεύοντο. ΠΡΟΙΕΙΣΑ.

προπέμπουσα.

Nerito M. Ithacae

προπέμπουσα. ΕΦΗΣΕΙΣ. ἐπιβάλῃς. ΜΝΩΜΕΝΟΙ. μνηστευόμενοι. ΑΝΤΙΘΕΗΝ. ἴσην καὶ ὁμοίαν θεοῖς κατὰ ἀρετήν. ΑΠΟΤΙΣΟΜΑΙ. τιμωρίαν καὶ κόλασιν εἰσπράξομαι. ΠΟΛΥΘΑΡΣΕΣ. τολμηρόν. ΛΥΟΜΕΝ. κατελύομεν. ΛΙΠΑΡΑ. ἔκδηλα λαμπρά. ΚΡΗΔΕΜΝΑ. μεταφορικῶς τὸ τεῖχος. ΠΟΤΝΑ. σεβάσμια, τίμια. ΕΠΑΡΗΓΟΙΣ. βοηθοίης. ΠΑΛΑΞΕΜΕΝ. μολῦναι, φύραι. ΑΓΝΩΣΤΟΝ. ἀγνώριστον. ΠΑΝΤΕΣΙ ΒΡΟΤΟΙΣΙ. πῶς οὖν ἡ εὐρύκλεια γινώσκει, ἐπεὶ ἡ θεία αὐτῆς. ΚΑΡΨΩ. μειώσω, ξηρανῶ. ΛΑΙΦΟΣ. ἱμάτιον. ΕΣΣΩ. ἐνδύσω. ΣΤΥΓΕΗΣΙ. μισήσῃ ἀποστραφῇ. ΕΧΟΝΤΑ. ἀντὶ τοῦ ἐνδεδυμένον. ΚΝΥΖΩΣΩ. ῥυσώσω, ἀπρεπεῖς καὶ ῥυσοὺς ποιήσω. ὁποῖοι εἰσὶν οἱ τῶν καθευδόντων, καὶ συμπλάσω, καὶ κακώσω. ΣΥΒΩΤΗΝ. συοφορβόν, χοιροβοσκόν. ΥΩΝ. χοίρων. ΕΠΙΟΥΡΟΣ. ἐπίσκοπος, φύλαξ. ΕΧΕΦΡΟΝΑ. ἔμφρονα συνετήν. ΔΗΕΙΣ. εὑρήσεις. ΠΑΡ ΚΟΡΑΚΟΣ ΠΕΤΡΗ. οὗτος ὁ κόραξ κυνηγῶν ἀπὸ τῆς πέτρας πεσὼν, ἐτελεύτησε, καὶ ἡ μήτηρ αὐτοῦ ἀρέθουσα ἀπήγξατο. ἀρέθουσαι δὲ τέσσαρες, ἐν συρακούσῃ, ἐν σμύρνῃ, ἐν χαλκίδι, καὶ ἐν ἰθάκῃ. ΑΡΕΘΟΥΣΗ. ἀρέθουσα κρήνη ἰθάκης καὶ ἄργους. ΑΛΟΙΦΗΝ. λίπος πιμελήν. ΜΕΝΕΙΝ. ἀντὶ τοῦ μένε. ΚΑΛΕΟΥΣΑ. καλέσαι ὀφείλουσα. ΕΝΘΥΜΙΟΣ. διὰ φροντίδος. ΠΟΜΠΕΥΟΝ. προέπεμπον. ΠΟΝΟΝ. καὶ ἀλγηδόνα.

Corvi petra

Arethusae quatuor

να. ΕΠΕΜΑΣΣΑΤΟ. καθήψατο. ΚΑΡΨΕΝ. ἐξήρανεν. ΡΩΓΑΛΕΑ. διερρωγότα. ΜΕΜΟΡΥΓΜΕΝΑ. μεμολυσμένα, πεφυρμένα. ΠΥΚΝΑ ΡΟΓΑΛΕΗΝ. ἤτοι συνεχῶς ἔχουσα ῥαγάδας, ἢ πολλῶν ῥηγμάτων πεπληρωμένην, ἢ συνεχισμένην. ΣΤΡΟΦΟΣ. ἐκ σχοινίου ἐστραμμένος ἢ ἱμὰς περιεστραμμένος. ΑΟΡΤΗΡ. ἐξ οὗ ἀπῄρτο, ὅ ἐστι παρεκρέματο.

τέλος τοῦ ν.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ξ. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Ξενισμὸς ὀδυσσέως γίνεται ἐν τῷ ἀγρῷ παρὰ εὐμαίῳ, καὶ ποικίλη τις αὐτῶν ὁμιλία ὀδυσσέως παρουσία πρὸς τὸν εὔμαιον, καὶ λόγοι γίνονται ἀναπλάττοντος ἑαυτοῦ καὶ πράξεις τινὰς ἐκτιθεμένου.

ΠΡΟΣΕΒΗ. προσῆλθεν. ΣΥΦΟΡΒΟΝ. χοιροβοσκόν. ΔΙ ΑΚΡΙΑΣ. κατὰ τὰς ἀκρωρείας. ΠΡΟΔΟΜΩ. τῇ πρὸ τοῦ οἴκου στοᾷ. ΠΕΡΙΔΡΟΜΟΣ. περιοδευτή, γείτονας μὴ ἔχουσα τοὺς ἐμποδίζοντας τοῦ βουλομένου περιδραμεῖν ἢ περιελθεῖν αὐτήν. ΕΘΡΙΓΚΩΣΕΝ. ἐχαράκωσεν. θριγκὸς δὲ λέγεται ἡ ἐπὶ τοῖς οἴκοις

θριγκός

ἄχερδος

δικοις στεφάνη. ΑΧΕΡΔΩ. ἄχερδος ἐστὶν ἀκανθῶδες φυτὸν, ἐξ οὗ τὰς αἱμασίας ποιοῦσιν. ἔνιοι δὲ ἀπέδοσαν τὸ ἀγρίου ἄπιον, ἀκανθώδης γὰρ ἡ αὐτὴ εἴωθεν εἶναι. ΣΤΑΥΡΟΥΣ. τὰ ὀρθὰ καὶ ἀπεξυσμένα ξύλα. ΕΚΤΟΣ ΕΛΑΣΕΝ. ἔξω διὰ τῶν τοίχων ξύλα διέλασεν ὀρθά. ΤΟ ΜΕΛΑΝ ΔΡΥΟΣ. ἤτοι δάσος, ἢ τὴν ἐντεριώνην τὸ ἐγκάρδιον, τῆς δρυός, μελάνδρυον γὰρ λέγεται διὰ τὴν χροιάν. ἢ τὸν φλοιὸν τῆς δρυός. ΑΜΦΙΚΕΑΣΑΣ. περισχίσας. ΕΡΧΑΤΟΩΤΟ. καθειργμέναι ἦσαν. ΤΟΚΑΔΕΣ. ὑπότοκοι. ΠΑΤΡΟΤΕΡΟΙ. ἐλάττους. ΙΑΝΟΝ. ἐκοιμῶντο. ΠΡΟΙΑΛΛΕ. προέπεμπε. ΑΝΤΙΘΕΟΙ ΜΝΗΣΤΗΡΕΣ. νῦν οἱ ἐναντίοι τοῖς θεοῖς. ΣΙΑΛΩΝ. εὐτραφῶν λιπαρῶν. ΡΥΤΟΙΣΙ ΛΑΕΣΣΙ. ἑλκυστοῖς, μεγάλοις, καὶ μὴ δυναμένοις διὰ χειρῶν βασταχθῆναι λίθοις. ΠΕΛΟΝΤΟ. ἦσαν ὑπῆρχον. ΟΡΧΑΜΟΣ. νῦν ἔξοχος ἐπὶ τῇ εὐγενείᾳ. ΑΡΑΡΙΣΚΕ. ἥρμοττεν. ΚΟΡΕΣΑΙΑΤΟ. κορέσωσι. ΘΥΜΟΝ. νῦν τὴν ἐπιθυμίαν. ΥΛΑΚΩΜΩΡΟΙ. ὁ μὲν ἀρίσταρχος, ὀξύφωνοι, κεθέασον δὲ ἀποδιδόναι οἱ περὶ τοῦ ὑλακτεῖν μεμωρημένοι ὅ ἐστι πεπονημένοι, ἴδιον γὰρ κυνῶν τὸ ὑλακτεῖν. ἐσπουδακότες, ἢ ὑλακτικοί. ΕΖΕΤΟ ΚΕΡΔΟΣΥΝΗ. φυσικὸν φησὶν βοήθημα πρὸς ἀποτροπὴν κυνῶν τὸ καθεσθῆναι καὶ προέσθαι τὸ ῥάβδον ὡς μὴ ἐπιτιθέμενον. ΚΕΡΔΟΣΥΝΗ. συνέσει. ΕΚΠΕΣΕ. οὐ διὰ φόβον ἀλλ'

Aristarchus

Nota cōtra impetū canum.

ἑκὼν



ἑκὼν ἔρριψεν αὐτόν. ΜΕΤΑΣΠΩΝ. ἐπιδραμών. ΣΚΥΤΟΣ. δέρμα, ῥινόν. ΙΟΝΘΑΔΟΣ. ἤτοι νέας ἢ ταχείας. παρὰ τὸ ἰέναι ἄδην, ἢ δασείας. ἴονθοι γὰρ αἱ ῥίζαι καὶ ἐκφύσεις τῶν τριχῶν. ἢ ἰόνθους ἐχούσης, ἴονθοι δὲ ἐξανθήματα ἀκμάζοντος σώματος. ΕΝΕΥΝΑΙΟΝ. ἐγγύτρον ἐγκοίτιον. ΚΑΚΙΩΝ ΣΕΘΕΝ. μᾶλλον σου κεκακωμένος τὴν ψυχήν. Η. αὕτη. ΔΙΚΗ. δικαιοσύνη. ΕΔΗΣΑΝ. ἐνεπόδισαν. Ω. τὸ ἑαυτοῦ. ΑΝΑΞ ΕΥΘΥΜΟΣ. δεσπότης εὐμενής. ΩΝΗΣΕΝ. ὠφέλησεν. ΩΛΕΤΟ. ἀπώλετο. ΩΦΕΛΕΝ. ὤφελεν. ΠΡΟΧΝΥ. νῦν παντελῶς. ΖΩΣΤΗΡΙ. ζώνῃ. ΣΥΝΕΡΓΕ. συνέδησεν. ΕΥΣΕΝ. ἐφλόγισεν. ΠΑΛΥΝΕΝ. διέβρεχεν. ΚΙΣΣΥΒΙΩ. ἀγροικικῷ ἐκπώματι. ΑΝΤΙΟΝ. ἐξ ἐναντίας. ΟΠΙΔΑ. τὴν εἰς τὸ μέλλον τῶν θεῶν ἐπιστροφήν. ΦΡΟΝΕΟΝΤΕΣ. λογιζόμενοι. ΤΡΟΜΕΟΝΤΕΣ. φοβούμενοι. ΕΛΕΚΤΗΝ. ἔλεον, αἰολικὴ ἡ διάλεκτος. ΒΩΣΙΝ. ἐπέλθωσιν ἐπὶ βόσιν. ΠΙΠΤΕΙ. ὑπεισέρχεται. ΦΕΙΔΩ. ἐπιστροφή. ΙΕΡΗΙΟΝ. ἱερεῖον. ΟΙΑ. μόνα, ἐξαφύοντες, ἀπαντλοῦντες. ΖΩΗ. ἡ πρὸς τὴν ζωὴν παρασκευή. ΟΥ ΤΙΝΙ. οὐδενί. ΗΠΕΙΡΟΙΟ. τῆς ἀντικρὺ ἰθάκης. ΗΠΕΙΡΟΙΟ ΜΕΛΑΙΝΗΣ. τῆς κατ' ἀντικρὺ κεφαλληνίας νῦν λέγει, μέρος δὲ ἐστι τῆς μελαίνης ἠπείρου, αὕτη καὶ μετ' ὀλίγον ἐπιφέρεται δώδεκα ἠπειρωαγέλαι. ΞΥΝΕΕΙΚΟΣΙ. ὁμοῦ εἴκοσι. ΟΡΟΝΤΑΙ. ὁρῶσι φυλάττου-

ἴονθοι

σιν. ΑΓΙΝΕΙ. ἄγει κομίζει. ΕΥΚΡΙΝΑΣ. ἐπιλεξάμενος. ΦΥΤΕΥΣΕΝ. κατεσκεύασεν. ΕΝΙΠΛΕΙΟΝ. πεπληρωμένον. ΑΡΠΑΛΕΩΣ. ἁρπακτικῶς. ΦΘΕΙΣΘΑΙ. φθαρῆναι, ἀποθανεῖν. ΓΝΩΩ. γνωρίσω ἐπιγνῶ. ΤΟΙΟΥΤΟΝ ΕΟΝΤΑ. θαυμαστὸν ὄιον σὺ λέγεις. ΑΓΓΕΙΛΑΙΜΙ. μηνύσω. ΑΛΗΘΗΝ. ἐπλανήθην. ΑΓΓΕΛΛΩΝ. μηνύων. ΑΛΛΩΣ. μάτην. ΚΟΜΙΔΗΣ. ἐπιμελείας. ΚΕΧΡΗΜΕΝΟΙ. χρήζοντες. ΑΛΗΤΑΙ. οἱ πλανώμενοι. ΑΛΗΤΕΥΩΝ. πλανώμενος. ΑΠΑΤΗΛΙΑ. ἀπατητικά. ΒΑΖΕΙ. λέγει, φράζει. ΦΙΛΕΕΙ. φιλικῶς ὑποδέχονται. ΜΕΤΑΛΛΑ. ἐπιζητεῖ. ΠΑΡΑΤΕΚΤΗΝΑΙΟ. παρατεχνήσαιο παρὰ τὴν ἀλήθειαν. ΕΡΥΕΙΝ. ἑλκύσαι ἀποσπάσαι. ΨΑΜΑΘΩ. ψαμάθῳ ἢ κόνει. ΕΙΛΥΜΕΝΑ. κεκαλυμμένα. ΑΠΟΛΩΛΕ. ἀπώλετο. ΠΟΘΟΣ. ἐπιζήτησις. ΛΙΝΙΤΑΙ. λαμβάνει. ΤΟΝ ΜΕΝ ΕΓΩΝ Ω ΞΕΙΝΕ. φησὶ τὸν ὀδυσσέα φιλοφρονηματικῆς προσηγορίας ὀνομάζειν αἰδοῦμαι, πρεσβύτερον δὲ ἀδελφὸν καλῶν ἢ θεῖον. πρεσβύτερον ἀδελφὸν θαυμαστὸν ἄγαν. ΑΝΑΙΝΕΑΙ. ἀπιστεῖς παραιτῇ. ΟΡΟΝΤΑΙ. ἐπακολουθοῦσιν. ΕΥΑΓΓΕΛΙΟΝ. ἀγαθῆς ἀγγελίας δῶρον. ΝΕΙΤΑΙ. ἐλεύσεται ἔρχεται. ΙΣΤΙΚΤ' ΟΔΗΣΣΗΟΣ. ὁ βωμὸς τῆς ἑστίας. ΛΥΚΑΒΑΝΤΟΣ. ἐνιαυτοῦ, εἴρηται δὲ ἀπὸ τοῦ λυγαίως βαίνειν. ὅ ἐστι σκοτεινῶς πορεύεσθαι, λεληθότως γὰρ ὁ χρόνος διέρχεται.

Euangelió

λυκάβας



χεται. ΤΟΥ ΜΕΝ ΦΘΙΝΟΝΤΟΣ ΜΗΝΟΣ ΤΟΥ Δ' ΙΣΤΑΜΕΝΟΙΟ ΠΕΡΙ. τριακάδα καὶ νουμηνίαν. ΦΘΙΝΟΝΤΟΣ. λήγοντος. ΙΣΤΑΜΕΝΟΙΟ. αὔξοντος. ΜΕΜΝΩΜΕΘΑ. μνησθῶμεν. ΜΙΜΝΗΣΚΕ. ὑπομνησθῆναι ἐποίει. ΜΝΗΣΗ. ὑπομνήσῃ. ΚΕΔΝΟΙΟ. ἐπιμελοῦς. ΑΛΑΣΤΟΝ. ἀλάστως ἀνεπιλήστως. ΧΕΡΕΙΩ. χείρονα ἐλάττονα. ΝΩΝΥΜΟΥΣ. ἀνωνύμους καὶ δυσφήμους. διὰ οὐκ ἄν τις εὔφημον εἴποι. ΛΟΧΩΣΙΝ. ἐπιτηροῦσιν. ΕΔΩΔΗ. τροφή. ΕΟΥΣΙΝ. οὖσιν ὑπάρχουσιν. ΑΚΕΟΝΤΕΣ. ἡσυχάζοντες. ΕΡΟΙΕΝ. εὐδοκοῖεν. ΔΙΑΠΡΗΞΟΙΜΙ. διέλθοιμι. ΞΥΜΠΑΝΤΑ. ὁμοῦ πάντα. ΚΡΗΤΑΩΝ. τῆς κρήτης. ΕΥΡΕΙΑΩΝ. ἀντὶ εὐρείας, νῦν δὲ μακρᾶς, στενὴ γὰρ ἡ κρήτη, ἐντεῦθεν δὲ φασὶν εἶναι φεύγοντα τὸν ἕλενον, ἐπὶ πόρρω τῆς ἑλλάδος. ΓΕΝΟΝΤΟ. ἐγεννήθησαν. ΩΝΗΤΗ. ἐξ ἀγορασίας δούλη. ΙΘΑΙΓΕΝΕΕΣΣΙ. τέκνοις γνησίοις. ΥΛΑΚΙΔΗΣ. ὑλάκου παῖς. ΚΥΔΑΛΙΜΟΙΣΙΝ. ἐνδόξοις. ΖΩΗΝ. περιουσίαν. ΕΒΑΛΟΝΤΟ. ἐποιήσαντο. ΟΙΚΙΑ. οἰκήσιν οἶκον. ΠΟΛΥΚΛΗΡΩΝ. πλουσίων. ΚΑΛΑΜΗΝ. τὸ γῆρας τὸ λείψανον ὥσπερ τοῦ σώματος κατὰ μεταφοράν. καὶ γὰρ τὸν εὐγενῆ πυρὸν ἐκ τῆς ὑπολειφθείσης καλάμης δυνάμεθα νοῆσαι. ἔστι δὲ καλάμη ἡ ὑπόσταθμη τοῦ ὑπολειπομένου σίτου. ΚΑΛΑΜΗΝ. πιθανῶς περὶ παραδείγματι ὡς γὰρ πρὸς ἄγροικον ὄντος

καλάμη

τοῦ λόγου, ἔστι δὲ οὐδὲν ἧττον ἐναργές. ὡς γὰρ ἀπὸ τῆς καλάμης ἔνεστι νοῆσαι τὸ κάλλος τῶν τεθερισμένων καρπῶν, οὕτως καὶ ἐκ πρεσβυτικοῦ σώματος τὴν ἀρχαίαν ἕξιν κατανοῆσαι. ΔΥΗ. ἡ κακοπάθεια, καὶ ἡ ἐξ ἐνδείας δυστυχία. ΡΗΞΗΝΟΡΙΗΝ. τουτέστι ῥῆξιν τὴν ἠνορίαν, ὅ ἐστι τὴν ἀνδρείαν καὶ γενναιότητα τῶν πολεμίων. ΚΡΙΝΟΙΜΙ. διαχωρίζοιμι. ΛΟΧΟΝΔΕ. εἰς ἐνέδραν. ΠΡΟΤΙΟΣΣΕΤΟ. προέβλεπεν προσεδέχετο. ΟΛΕΣΚΟΝ. ἀνῄρουν ἐφόνευον. ΕΙΞΕΙΣ. ὑποχωρήσεις. ΕΡΓΟΝ. τὸ κατὰ γεωργίαν. ΟΙΚΩΦΕΛΙΗ. οἰκουρία οἰκονομία ἐπιμέλεια. ΑΚΟΝΤΕΣ. δόρατα. ΡΙΓΗΛΑ. φρικτά, φοβερά. ΕΙΝΑΚΙΣ. ἔνατον. ΗΡΞΑ. ἡγησάμην. ΤΥΓΧΑΝΕΝ. ἐπετύγχανεν. ΕΞΑΙΡΕΥΜΗΝ. ἐξαίρετα ἐλάμβανον. ΛΑΓΧΑΝΟΝ. κληρούμενος ἐλάμβανον. ΗΝΩΓΟΝ. ἠνάγκαζον. ΤΕΤΥΓΜΗΝ. ἤμην ὑπῆρχον. ΧΑΛΕΠΗ ΔΕΧΕΝ. ἐβίαζε γὰρ ὑμᾶς. ΦΗΜΙΣ. φήμη λόγος. ΠΟΛΕΜΙΖΟΜΕΝ. ἐπολεμοῦμεν. ΕΒΗΜΕΝ. ἐπορθήσαμεν. ΤΕΤΑΡΠΟΜΕΝΟΣ. τερπόμενος. ΗΝΩΓΕΙ. προέτρεπεν. ΝΑΥΤΙΛΛΕΣΘΑΙ. πλέειν. ΣΤΕΙΛΑΝΤΑ. παρασκευάσαντα. ΣΤΕΙΛΑ. παρεσκεύασα. ΕΣΑΓΕΙΡΑΤΟ. συνηθροίσθη. ΙΕΡΗΙΑ. θρέμματα. ΑΚΡΑΕΙ. ἄκρως πνέοντι, καθαρῶς. ΑΣΚΗΘΕΕΣ. ἀβλαβεῖς ὑγιεῖς. ΑΝΟΥΣΟΙ. ἐκτὸς νόσου. ΠΕΜΠΤΑΙΟΙ. διὰ πέμπτης ἡμέρας. ΕΥΡΕΙΤΗΝ. καλὰ ῥεύματα ἔχοντα.





ἔχοντα. ΟΠΤΗΡΑΣ. κατασκόπους. ΣΚΟΠΙΑΣ. ὑψηλοὺς τόπους. ΕΠΙΣΠΟΜΕΝΟΙ. ἐπακολουθήσαντες. ΩΤΡΥΝΑ. ἤπειξα προέτρεψα. ΥΒΡΕΙ ΕΙΞΑΝΤΕΣ. νικηθέντες ὑπὸ τῆς ὕβρεως. ΣΦΩΝ. τῶν ἑαυτῶν. ΠΟΡΘΕΟΝ. ἐπόρθουν. ΑΓΟΝ. ἀντὶ τοῦ εἰς αἰχμαλωσίαν ἀπέφερον. ΑΓΑΓΟΝ. ἀπέφερον. ΖΩΟΥΣ. ζῶντας ἐμπνόους. ΕΡΓΑΖΕΣΘΑΙ. γεωργεῖν. ΕΚΒΑΛΟΝ. ἔρριψα. ΒΑΣΙΛΗΟΣ ΕΝΑΝΤΙΟΝ. ἐναντίον τοῦ βασιλέως. ΕΗΑΣ. καθίσας. ΜΕΛΙΗ. μελίνοις δόρασιν. ΚΕΧΟΛΩΑΤΟ. ὠργίζοντο. ΕΡΥΚΕ. ἐκώλυεν ἐνεπόδιζεν. ΟΠΙΖΕΤΟ. συνεξέπετο, ἐπεστρέφετο. ΔΗ ΤΟ ΤΕ ΦΟΙΝΙΞ. ἐπεὶ ἤδη καὶ τὸν εὔμαιον ὑπὸ φοινίκων πεπραμένον. ΤΡΩΚΤΗΣ. πανοῦργος ἀπατεών. ΕΩΡΓΕΙ. εἴργαστο, ἐπεποιήκει. ΠΑΡΠΕΠΙΘΩΝ. πείσας. ΕΕΣΣΑΤΟ. ἐκάθισεν, συνεβίβασεν. ΨΕΥΔΕΑ. δόλους, ἀπάτας. ΠΕΡΑΣΗΕΙ. πωλήσῃ. ΩΝΟΝ. ὠνὴν τιμήν. ΟΙΟΜΕΝΟΣ ΠΕΡ. καί περ ὑπονοῶν. ΑΜΑΙΜΑΚΕΤΟΝ. ἀκαταγώνιστον, μέγαν. ΘΕΣΠΡΩΤΩΝ. θεσπρωτία πόλις περὶ τὰ ἔσχατα τῆς θεσσαλίας. ΑΠΟΑΙΝΥΤΟ ΝΟΣΤΟΝ. ἀφῃρεῖτο. ΕΚΟΜΙΣΣΑΤΟ. ἐπιμελείας ἠξίωσεν. ΦΕΙΔΩΝ. ὄνομα κύριον. ΑΙΘΡΩ. ψύχει, πάγῳ. ΞΕΙΝΙΣΑΙ. ξενοδοχῆσαι. ΦΙΛΗΣΑΙ. φιλικῶς ὑποδέξασθαι. ΕΠΑΡΤΕΑΣ. ἑτοίμους. ΒΟΣΚΟΙ. τρέφοι. ΤΥΧΗΣΕ. ἔτυχε. ΔΥΗΣ ΕΠΙ ΠΗΜΑ. ἐπὶ ταῖς συμβεβηκυίαις τιμωρίαις ἄλλην βλάβην ὑπομείναιμι.

Thesprotia

ΕΔΥΣΑΝ. ἀπέδυσαν. ΟΡΗΑΙ. ὁρᾷς βλέπεις. ΕΣΠΕ-
ΡΙΟΙ. δειλινοί. ΞΕΣΤΟΝ. καλῶς ἐξεσμένον. ΟΠΛΩ.
σχοινίῳ. ΑΝΕΓΝΑΜΨΑΝ. ἀνέλυσαν. ΕΦΟΛΚΙΟΝ. πη-
δάλιον. ἀπὸ τοῦ ἐφέλκυσθαι τὴν ναῦν. ἢ ἐφέλκε-
σθαι ὑπὸ τῆς νεώς. ΕΠΕΛΑΣΣΑ. ἐγγίσαι ἐποίησα.
ΘΥΡΗΦΙ. ἔξω εἰμένος. ΔΡΥΟΣ. δρυώδης καὶ σύ-
σκιος τόπος. ΠΕΠΤΗΩΣ. πεπτωκώς. ΣΤΕΝΑΧΟΝ-
ΤΕΣ. στένοντες, λυπούμενοι. ΜΑΙΕΣΘΑΙ. ἐπιζητεῖν.
ΕΠΕΛΑΣΑΝ. πλησιάσαι ἐποίησαν. ΕΠΙΣΤΑΜΕ-
ΝΟΥ. ἐπιστήμονος, σώφρονος, καὶ νοεροῦ. ΟΡΙΝΑΣ.
ἐκίνησας ἐτάραξας. ΑΛΗΘΗΣ. ἐπλανήθης. ΗΧΘΕ-
ΤΟ. ἐμισεῖτο. ΔΑΜΑΣΑΝ. ἀνεῖλον. ΑΠΟΤΡΟΠΟΣ.
κεχωρισμένος. ΑΓΓΕΛΙΗ. ἀντὶ τοῦ ἀπαγγέλλων
τίς. ΠΑΡΗΜΕΝΟΙ. παρακαθήμενοι. ΑΜΦΑΓΑΠΑ-
ΖΟΝ. ἐφιλοφρονούμην. ΑΚΕΙΟΜΕΝΟΝ. θεραπεύον-
τα οἰόμενον. ΩΠΩΡΗΝ. νῦν τὸ μετόπωρον. ΠΟ- ὠπώρω
ΛΥΠΕΝΘΕΣ. πολλὰς λύπας ἐν ἑαυτῷ ἔχον. ΘΕΛ-
ΓΕ. ἀπάτα. ΑΙΔΕΣΟΜΑΙ. προσδέξομαι, καὶ τιμή-
σω ὡς ἱκέτην. ΞΕΝΙΟΝ. ξένων ἔφορον. ΕΠΗΓΑ-
ΓΟΝ. προσηγαγόμην, ἔπεισα. ΡΗΤΡΗΝ. τὴν ἐπὶ ῥη-
τοῖς καὶ ὁμολογουμένοις συνθήκην. ΤΕΟΣ. ὁ σός. ΕΣ-
ΣΑΣ. ἐνδύσας. ΕΠΙΣΣΕΥΑΣ. κελεύσας ἐφορμήσας.
ΔΟΥΛΙΧΙΟΝ. πόλις τῆς κεφαληνίας. ΕΡΟΙΜΗΝ.
ἐκφέλωμαι. ΛΙΤΟΙΜΗΝ. ἱκετεύσαιμι. ΕΡΞΑΝ. συ-
νέκλεισαν. ΤΗΛΕΔΑΠΩ. πόρρωθεν ἀφιγμένῳ.

ΟΝΗΣΟΜΕΘΑ.



ΟΝΗΣΟΜΕΘΑ. ὀνήσεως καὶ ὠφελείας μετάσχοι-
μεν. ΚΕΑΣΕΝ. ἔσχισεν. ΚΟΨΕ. ἔπαισεν, ἔκρου-
σεν. ΚΕΙΩΝ. σχίζων. ἢ καίων. ΕΥΣΑΝ. περιέκαυ-
σαν, ἐφλόγισαν. ΩΜΟΤΕΘΕΙΤΟ. ὠμῶν ὄντων τῶν
κρεῶν ἀπήρχετο τοῖς θεοῖς. ΑΡΧΟΜΕΝΟΣ. ἀπαρ-
χόμενος. ΠΑΛΥΝΑΣ. ἀνατρίψας καὶ μαζοποιή-
σας. ΑΟΛΛΕΑ. ὁμοῦ πάντα. ΔΑΙΤΡΕΥΩΝ. μερί-
σων. ΕΠΤΑΧΑ. εἰς ἑπτὰ μέρη. ΔΙΕΜΟΙΡΑΤΟ. διέ-
νεμεν, διεμέρισεν. ΙΑΝ. μίαν. ΝΥΜΦΗΣΙ ΚΑΙ
ΕΡΜΗ. καὶ σιμωνίδης θύειν αὐτοὺς φησὶ νύμφαις Simonid's
καὶ μαιάδος τόκῳ. οὗτοι γὰρ ἀνδρῶν αἷμα ἔχου-
σι ποιμένων. ΑΡΓΜΑΤΑ. τὰς ἀπαρχάς. ΜΕΣΑΥ-
ΛΙΟΣ. ὄνομα κύριον. ΚΕΚΟΡΗΜΕΝΟΙ. κορεσθέντες.
ΣΚΟΤΟΜΗΝΙΟΣ. ἀσέληνος σκοτεινή. ἢ καθ' ἣν ἡ
σελήνη ἀπεσκότωται τῇ πρὸς τὸν ἥλιον συνό- μήνη ἡ
δῳ. μήνη γὰρ ἡ σελήνη. ΠΑΝΝΥΧΟΣ. διὰ πάσης σελήνη
νυκτός. ΕΦΥΔΡΟΣ. ὕδωρ ἐπάγων. ΕΥΞΑΜΕΝΟΣ.
καυχησάμενος. ΗΛΕΟΣ. ἠλιθοποιός, μάταιος. ΑΡΡΗ-
ΤΟΝ. μὴ ῥηθέν. ΑΝΔΟΝΑΚΑΣ. καλάμους. ΠΕ-
ΠΤΗΩΤΕΣ. πεπτωκότες. ΠΗΓΥΛΙΣ. παγετός, ψυ-
χρά. ΠΑΧΝΗ. πυκνότης ἀέρος ψυχρά. ΚΡΥΣΤΑΛ-
ΛΟΣ. τὸ πεπηγὸς ὕδωρ. ΖΩΜΑ. νῦν τὸν χιτῶνα.
ΡΙΓΩΣΕΜΕΝ. ῥιγώσειν. ΕΜΜΑΠΕΩΣ. ταχέως, προ-
θύμως. ΜΕΤΕΣΣΟΜΑΙ. ἔσομαι. ΟΙΟΧΙΤΩΝΑ.
ἕνα ἱμάτιον ἔχοντα, μονοχίτωνα. ΒΟΥΛΕΥΕΜΕΝ. βου-

 λεύεσθαι.

λευκοθέα. ΕΙΗ. πρέποιτο. ΑΝΔΡΑΙΜΟΝΟΣ ΥΟΣ. ὁ θόας ΦΑΕ. ἔφαινεν. ΑΙΝΟΣ. ἔπαινος, ὁ εἰς προκοπὴν παραπέμπων παραινετικὸν, καὶ ἀρχίλοχος δὲ λέγει, αἶνος τίς ἀνθρώπων. ὡς ἄρα ἀλώπηξ καὶ αἰετὸς ξυνωνίαν ἔμιξαν. αἶνος δέ ἐστι καὶ ὁ ὑποβεβλημένος λόγος. ΠΑΡΑ ΜΟΙΡΑΝ. παρὰ τὸ καθῆκον, ἔξω τοῦ πρέποντος. ΝΗΚΕΡΔΕΣ. ἀσύμφορον, ἀκερδές. ΡΑΚΕΑ. παλαιὰ καὶ διερρωγότα ἱμάτια. ΔΝΟΠΑΛΙΞΕΙΣ. ἀμφιέσεις, συστρέψεις. ΧΛΑΙΝΑΙ. χλαμύδες, τὰ ἔξωθεν περιβλήματα. ΕΡΗΜΟΙΒΟΙΤΕ. ἤτοι ἃς ἀμείψασθαι τις δύναται, ἢ μεταλαμβάνειν εἴ περ τι χειμὼν εἴη. ἢ ἀλλάσσειν ἄλλην ἀντὶ ἄλλης. ΧΙΤΩΝΕΣ. τὰ ἔσωθεν ἀνδρεῖα ἱμάτια, παρεῖχε τὰς ἀμοιβὰς καὶ ἐναλλαγάς. ἢ παρέσκετο παρέκειτο, ἀμοιβὰς εἶδος, ἐναλλασσομένη. ΟΡΟΙΤΟ. διεγερθῇ, ἀνασταίη. ΚΟΙΜΗΣΑΤΟ. ἐκαθεύδησεν. ΝΕΗΝΙΑΙ. νεώτεροι. ΑΛΕΞΑΝΕΜΟΝ. βοηθὸν ψύχους, δυναμένην ἀντιπράττειν ἀνέμῳ. ἢ ἀπείργουσαν τοὺς ἀνέμους. ΝΑΚΗΝ. δέρμα αἰγὸς δασύμαλλον. ΚΕΙΩΝ. κοιμηθησόμενος. ΙΩΓΗ. τῇ σκέπῃ. ΤΟΝ Δ᾽ ΕΣ ΔΩΔΩΝΗΝ ΦΑΤΟ ΒΗΜΕΝΑΙ ΟΦΡΑ ΘΕΟΙΟ ΕΚ ΔΡΥΟΣ ΥΨΙΚΟΜΟΙΟ ΔΙΟΣ ΒΟΥΛΗΝ ΕΠΑΚΟΥΣΗ. ποιμὴν κατανέμων πρόβατα ἐν τοῖς τῆς δωδώνης ἕλεσι, τῶν πέλας ὑφείλατο νομὴν καλλίστην, καὶ εἴρξας εἰς τὴν σφετέραν αὐλὴν ἐφύλασσεν, ὅθεν φασὶ τὸν δεσπότην ζητεῖν παρὰ τοῖς

ποιμέσι

*Archilochi vulpes*



ποιμέσι τὰ κεκλεμμένα πρόβατα, μὴ εὑρόντα δὲ, ἐρωτᾶν τὸν θεὸν τίς ἐστι. τὸ δὲ πρῶτον φασὶ τὴν δρῦν φωνὴν ἀφεῖναι, ὅτι τῶν ἀκολουθούντων ὁ νεώτατος. ἐξετάσαντα δὲ τὸ λόγιον εὑρεῖν παρὰ τῶν ποιμένων νεωστὶ βοσκήσαντα τῶν χωρίων, ἀκόλουθοι δὲ λέγονται οἱ ποιμένες. ἦν δὲ τὸ ὄνομα μανδύλας ὁ κλέψας, τοῦτον δὲ λέγεται προσοργισθέντα τῇ δρυῒ βουλῆσαι αὐτὴν ἐκκόψαι νύκτωρ. πελειάδα δὲ ἐκ τοῦ στελέχους ἀνακύψασαν ἐπιτάξαι μὴ τοῦτο δρᾶν. τὸν δὲ δειματωθέντα μηκέτι τοῦτο τολμῆσαι. μὴ θιγεῖν τοῦ ἱεροῦ τούτου δένδρου. οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ τόλμημα μηνῦσαι αὐτῷ τοὺς ἐπερωτᾶς. ὅθεν ἐκλαβόντας δίκην ταύτην εἰσπράξασθαι παρ' αὐτοῦ ὑπομονῆς τὸν μάντιν προάγει. ἡ ἱστορία παρὰ τῷ προξένῳ. ΠΕΤΡΗ ΥΠΟ ΓΛΑΦΥΡΗ ΕΥΔΟΝ ΒΟΡΕΩ ΥΠΙΩΓΗ. ἐρεχθεὺς ὁ τῶν ἀθηναίων βασιλεὺς, ἴσχει θυγατέρα τοὔνομα ὠρίθυιαν κάλλει διαπρεπεστάτην. κοσμήσας δὲ ταύτην ποτὲ, πέμπει κανηφόρον θύσουσαν εἰς τὴν ἀκρόπολιν τῇ πολιάδι ἀθηνᾷ. ταύτης δὲ ὁ βορέας ἄνεμος ἐρασθεὶς, λαθὼν τοὺς βλέποντας καὶ φυλάσσοντας, τὴν κόρην ἥρπασεν, καὶ διακομίσας εἰς θράκην, ποιεῖται γυναῖκα. γίνονται δὲ αὐτῷ παῖδες ἐξ αὐτῆς. ζήτης καὶ κάλαϊς. οἱ καὶ δι' ἀρετὴν μετὰ τῶν ἡμιθέων εἰς κόλχους ἐπὶ τὸ νάκος ἔπλευσαν ἐν τῇ ἀργοῖ. ἡ δὲ ἱστορία παρὰ ἀκουσιλάῳ.

ΤΕΛΟΣ ΤΟΥ Ξ.

*Dodonaei oraculi fabula*

*Proxen*

*Orithyia fabu.*

*Acusila*

## ΕΙΣ ΤΗΝ Ο. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΕΥΔΟΝΤΕ. καθεύδοντε δυϊκῶς. ΟΤΡΥΝΕΟΥΣΑ. ἐπείξουσα. ΜΕΛΕΔΗΜΑΤΑ. μερίμνας. ΚΑΛΑ. ἀντὶ τοῦ καλῶς. ΤΗΥΣΙΗΝ. ματαίαν. την ἄκραν. ὅσ᾽ ὁδὸν ἔλθης. τινὲς ἀρχαίων, ἄλλοι βλαβεράν. ἢ περιβόητον. ΑΛΑΛΗΣΑΙ. πλανᾶσθαι. ΑΜΥΜΟΝΑ. ἀμώμητον. ΤΕΤΜΕΙΣ. καταλάβης. ΠΕΡΙΒΑΛΛΕΙ. νικᾷ, ὑπερβάλλει. ΕΞΩΦΕΛΛΕΝ. ἐξόχως ηὔξησεν. ΟΦΕΛΛΕΙΝ. αὔξειν. ΕΠΙΣΤΡΕΨΕΙΑΣ. πιστεύσασας. ΦΗΝΩΣΙ. δείξωσιν. ΕΠΙΤΗΔΕΣ. ἐπιτηδείως. ΣΑΜΟΙΟ. τὴν σάμην εἴρηκε σάμον διὰ τὸ μέτρον καὶ τὴν δήλην δῆλον ἐν ἄλλοις. ΑΚΤΗΝ. τὸν αἰγιαλόν. ΛΕΣΑΙ. καθεύδησον ἀνάπαυσαι. ΟΠΥΙΕΙ. γαμεῖ. ΚΟΥΡΙΔΙΟΙΟ. τοῦ ἐκ παρθενίας γεγαμηκότος. ΠΟΡΘΜΩ. πορθμὸς στενὴ θάλασσα ὑπὸ γῆς περιεχομένη. ἰσθμὸς δὲ στενὴ γῆ ὑπὸ θαλάσσης περιεχομένη. ΣΩΣ. σῶος ὑγιής. ΠΡΗΣΟΜΕΝ. περάσομεν. ΕΠΙΔΙΦΡΙΑ. ἐπὶ τοῦ δίφρου τιθέμενα, εἰς τὸ ἅρμα. ΘΕΙΗ. ἀπόθητε. ΠΑΡΑΔΗΣΑΣ. παραμυθησάμενος. ΜΙΜΝΗΣΚΕΤΑΙ. μνημονεύει. ΞΕΙΝΟΔΟΚΟΥ. τοῦ ξενοδοχοῦντος.

Same — Samos — Dele — Delos — πορθμός — ἰσθμός

Same potius quam samos & dele quam delos.

τὴν ὁ.

ξενοδοχοῦντος. ΦΙΛΟΤΗΤΙ ΠΑΡΑΣΧΕΙΝ. φιλικῶς ὑποδέξηται. ΔΥΝΕΝ. ἐνεδύσατο. ΕΡΥΞΩ. κατάσχω κωλύσω. ΦΙΛΕΗΣΙΝ. φιλικῶς ὑποδέξηται. ΕΧΘΑΙΡΗΣΙΝ. μισήσει. ΧΡΗ ΞΕΙΝΟΝ ΠΑΡΕΟΝΤΑ. τοῦτο τὸ σχῆμα καλεῖται γνωμικόν. ΦΙΛΕΙΝ. φιλοφρονεῖσθαι. ΤΕΤΥΚΕΙΝ. παρασκευάσαι. ΚΥΔΟΣ. παράστημα ψυχῆς. ΑΓΛΑΙΗ. ἀγλάϊσμα καλλονή. ΤΡΑΦΘΗΝΑΙ. ὁρμηθῆναι. γράφεται καὶ τρεφθῆναι. ΟΠΙΣΘΕΝ. παρὰ τὴν ὄψιν τοῦ διὰ ἐπιστροφῆς φυλάξοντα. ΟΥΡΟΝ. φύλακα. ΟΠΤΗΣΑΙ ΤΕ ΚΡΕΩΝ. τῶν ἀπολελειμμένων ἐπὶ ἀπὸ παρασκευάσων. ΜΝΗΜ᾽ ΕΛΕΝΗΣ. οὐ μόνον δεδωκυίας ἀλλὰ καὶ ἐργασαμένης. ΝΕΙΑΤΟΣ. ὕστερος. ΔΑΙΕΤΟ. ἐμέριζεν. ΛΕΙΨΑΝΤΕΣ. σπείσαντες. ΚΙΟΙΤΗΝ. ἀπέλθοιεν. ΑΡΓΗΝ. λευκήν. ΙΥΖΟΝΤΕΣ. βοῶντες. ΥΠΟΚΡΙΝΑΙΤΟ. ἀποκριθείη. ΥΠΟΦΘΑΜΕΝΗ. ὑπολαβοῦσα. ΑΤΙΤΑΛΛΟΜΕΝΗ. ἐπιμελῶς ἀναστρεφομένη. ΗΕ ΚΑΙ ΗΔΗ ΟΙΚΟΙ. ὑπακουστέον τὸ ἐστίν. ΕΥΧΕΤΟΩΜΗΝ. εὐχοίμην. ΜΑΣΤΙΝ. μάστιγα. ΤΕΛΕΣΣΕΙΑΣ. ποιήσασας πληρώσασας. ΟΜΟΦΡΟΣΥΝΗΣΙ. φιλίαις γνησιωτέραις. ΕΝΗΣΕΙ. ἐμβαλεῖ. ΜΗ ΜΕ ΠΑΡ᾽ ΕΞΑΓΕ ΝΗΑ. μή με παρὰ τὴν φέρουσαν ὁδὸν ἐπὶ τὴν ναῦν. ἐπ᾽ ἄλλην ὁδὸν ἐπάγης. ΣΠΟΥΔΗ. ἐσπουδασμένως, κατὰ τάχος. ΥΠΕΡΒΙΟΣ. ὑπὲρ δύναμιν. ΕΡΙΓΔΟΥΠΟΣ. ἡ μεγαλόψοφος κτυπή.

ΚΕΝΕΟΝ.

γνωμικὸν σχῆμα

ΚΕΝΕΟΝ. μηδὲν λαβόντα. ΕΓΚΟΣΜΕΙΤΕ. ἐν τάξει ποιεῖτε. ΤΕΥΧΕΑ. τὰ περὶ νεὼς ἐργαλεῖα. ΑΜΒΑΙΝΩΜΕΝ. ἀναβῶμεν εἰσέλθωμεν. ΕΓΓΟΝΟΣ. ἀπόγονος. ΟΣ ΠΡΙΝ ΜΕΝ ΠΟΤ᾽ ΕΝΑΙΕ. ὁ μελάμπους. ΟΣΟΙ ΧΡΗΜΑΤΑ. βιασθέντος ὑπὸ τῶν ἰφίκλου βουκόλων ἀπήνεγκε τὰ χρήματα καταφρονήσας ὡς οὐ γενναίων αὐτῶν. ΤΕΩΣ ΜΕΝ. ἕως οὐ πληρωθῆναι τὸν ἐνιαυτόν. ΑΤΗΣ ΤΕ ΒΑΡΕΙΗΣ. φρενοβλαβείας. ΔΑΣΠΛΗΤΙΣ. δυσπροσπέλαστος καὶ μεγάλως ἐμπελάζουσα. δυσχερὴς ᾗ ἂν προσπελασθῇ. ΕΡΙΜΥΚΟΥΣ. μεγαλοφώνους. ΕΡΙΣΑΤΟ ΕΡΓΟΝ ΑΕΙΚΟΕΣ. καὶ ἐτιμωρήσατο τὸν νηλέα ὑπομείνας ἔργον χαλεπόν. ΟΥΔ᾽ ΙΚΕΤΟ ΓΗΡΑΟΣ ΟΥΔΩ. θεὸς γὰρ πεπρωμένης οὐκ ἀπολύει, ζῶντι δὲ ἀγαθῶν αἴτιος γίνεται. ἢ τὸ μετὰ ἀνδρεῖον ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκειν νέον. ΓΥΝΑΙΩΝ ΕΙΝΕΚΑ ΔΩΡΩΝ. τὸν ὅρμον ἐπὶ τῆς ἀμφιαράου ἀκουστέον. ΜΑΝΤΙΟΣ. ὄνομα κύριον. ΜΕΤΕΙΗ. σὺν ἦν. ΥΠΕΡΗΣΙΗΝ. ὄνομα πόλεως. ΑΠΕΝΑΣΣΑΤΟ. μετῴκησεν. ΚΑΙΕΤΑΩΝ. οἰκῶν. ΚΙΧΑΝΩ. καταλαμβάνω. ΥΠΕΡ ΘΥΕΩΝ ΚΑΙ ΔΑΙΜΟΝΟΣ. ὑπὲρ ταύτης περὶ θυσίας καὶ τοῦ δαίμονος, ᾧ θύεις. ἀντὶ τοῦ τῆς θυσίας τοῦ δαίμονος. ΕΠΙΣΚΕΥΣΕΙΣ. κρύψεις. ΟΥΤΩ ΤΟΙ ΚΑΙ ΕΓΩΝ. ὡς ὁρᾷς μόνος φεύγω. ΕΜΦΥΛΟΝ. ὁμόφυλον. ΕΦΕΣΣΑΙ. ἀπιβίβασον. ΕΠΑΙΓΙΖΟΝΤΑ. ἐπικαταπνέοντα.

ΑΝΥΣΕΙΣ.

λασπλῆ-τις



ΑΝΥΣΕΙΣ. διαπράσσεις. ΕΡΕΒΑΛΛΕΝ. προΐει, ἀντὶ τοῦ παρίει. ΕΠΙΠΡΟΕΗΚΕΝ. ἐπαφῆκεν. ΘΟΗΣΙΝ. ταῖς λεγομέναις ὀξείαις. μεταληπτικῶς ἐκ τοῦ κατὰ κίνησιν ὀξέως ἐπὶ τὸ κατὰ σχῆμα. ΔΟΡΠΕΙΤΗΝ. δειπνοποιοῖτο. ΠΤΩΧΕΥΣΩΝ. ἐπαιτήσων, τὰ πτωχοῖς ἁρμόδια αἰτήσων. ΥΠΟΘΕΥ. συμβούλευσον. ΚΟΤΥΛΗΝ. ἐκπώματος, ἤτοι ποτηρίου εἶδος τοσούτου καὶ μέτρον. ΠΥΡΝΟΝ. πύρινον ἄρτον. ΔΡΩΟΙΜΙ. διακονοίην. ΕΡΜΕΙΑΟ ΕΚΗΤΙ. ἐπειδὴ ὁ κῆρυξ, καὶ παρὰ τοῖς ἥρωσι δὲ κήρυκες, οἱ ταῦτα ὑπουργοῦντες. ΕΚΗΤΙ. βουλήσει. ΔΡΗΣΤΟΣΥΝΗ. τῇ ἐν τῇ διακονίᾳ ἐνεργείᾳ. ΠΥΡ Τ᾽ ΕΥ ΝΗΗΣΑΙ. ξύλα σωρεῦσαι ἕνεκα τοῦ πῦρ ποιῆσαι. ΚΕΑΣΣΑΙ. καῦσαι, ἢ σχίσαι. ΔΑΙΤΡΕΥΣΑΙ. μαγειρεῦσαι. ΔΡΩΩΣΙ. διακονοῦσιν. ΣΙΔΗΡΕΟΝ. ἰσχυρόν. ΥΠΟΔΡΗΣΤΗΡΕΣ. ὑπηρέται θεράποντες. ΚΑΔΥΝΑΙ. ὑπεισελθεῖν. ΑΝΙΑΤΑΙ. λυπεῖται. ΕΠΗΝ. ἐπειδὰν. ΛΙΠΑΡΟΙ ΚΕΦΑΛΑΣ. ἠλειμμένοι. ΥΠΟΔΡΩΩΣΙ. ὑπηρετοῦσιν. ΒΕΒΡΙΘΑΣΙΝ. βαρύνονται, πλήρεις εἰσίν. ΠΛΑΓΚΤΟΣΥΝΗΣ. πλάνης. ΜΗΤΡΟΣ ΟΔΥΣΣΗΟΣ ΘΕΙΟΙΟ ΠΑΤΡΟΣ ΤΕ. περὶ τοῦ πατρὸς βουλόμενος μαθεῖν, ὑποκρίνεται τὸν μὴ εἰδότα περὶ ἀντικλείας. ΓΗΡΑΟΣ ΟΥΔΩ. περιφραστικῶς τῷ γήρᾳ. ΩΜΩ ΓΗΡΑΙ ΘΗΚΕΝ. πρὸ ὥρας γηρᾶσαι ἐποίησεν διὰ τὴν ἐπ᾽ αὐτῷ λύπην. ΚΤΙΜΕΝΗ. κυρίως ἡ ὀδυσσέως ἀδελφή.

ἀδελφή. ΟΜΟΥ. ἐν τῷ αὐτῷ τόπῳ. ΤΟΥΤΩΝ ΕΠΙΔΕΥΟΜΑΙ. ὧν ἡ ἀντίκλεια ἐχαρίζετο τούτων ἐνδεής εἰμι. ΠΥΘΕΣΘΑΙ. ἐρωτῆσαι. ΙΑΙΝΕΙ. θεραπεύει. ΤΥΤΘΟΣ. μικρός. ΔΙΕΠΡΑΘΕΤΟ. διεπορθήθη. ΑΘΕΣΦΑΤΟΙ. θεῖαι, μεγάλαι, μακραί. ΠΡΙΝ ΩΡΗΝ. ἐλλείπει γίνονται. ΚΑΤΑΛΕΧΘΑΙ. καθευδῆσαι. ΑΝΑΚΤΟΡΙΗΣΙ. ταῖς δεσποτικαῖς. ΕΠΕΣΘΩ. ἀκολουθείτω. ΜΕΜΝΟΜΕΝΩ. μιμνησκόμενοι. ΣΥΡΙΗ. μία τῶν κυκλάδων νήσων καλεῖται. ΟΘΙ ΤΡΟΠΑΙ. ἔνθα φησὶν εἶναι τὸ ἡλίου σπήλαιον δι' οὗ σημειοῦνται τὰς τοῦ ἡλίου τροπάς. ΠΕΡΙΠΛΗΘΗΣ. μεγάλη. ΕΥΒΟΤΟΣ. εἰς βόσιν καὶ τροφὴν ἐπιτηδεία. ΕΥΜΗΛΟΣ. καλὰ θρέμματα ἔχουσα. ΤΡΩΚΤΑΙ. φιλάργυροι πανοῦργοι. ΑΘΥΡΜΑΤΑ. παίγνια, κόσμια. ΝΑΥΣΙΚΛΥΤΟΙ. κατὰ τὰς ναῦς ἔνδοξοι. ΠΑΤΡΟΣ ΕΜΟΙΟ ΓΥΝΗ. ταῦτα ἴσως οἱ φοίνικες λαέρτῃ διηγήσαντο πολλοῦ ἄξιον αὐτὸν ἀποφαίνοντες. ΠΟΛΥΠΑΙΠΑΛΟΙ. πανοῦργοι. ΗΠΕΡΟΠΕΥΟΝ. ἠπάτων. ΕΙΡΩΤΑ. ἐπυνθάνετο. ΣΙΔΩΝΟΣ ΠΟΛΥΧΑΛΚΟΥ. σεβρᾶς. ἐν αὐτῇ ὁ χαλκὸς οὐ γίνεται, ἢ πλουσίας, ὡς πορφύρας ἐν αὐτῇ γινομένης. ΡΥΔΟΝ ΑΚΝΕΙΟΙΟ. ῥύδην τὸν πλοῦτον ἔχοντος, τουτέστι τοῦ πλούτῳ χύδην πλουτοῦντος, ἢ ἐπίρροιαν ἔχοντος πλούτου. πλουσίου. ΠΡΟΣΑΥΔΑΤΩ. προσαγορευέτω προσφωνείτω. ΛΗΙΣΤΟΡΕΣ. λῃσταί. ΠΕΡΑΣΑΝ. πεπράκασιν.

Syria in
sula excy
cladibus

Sidoniae
purpurae

πεπράκασιν.



πεπράκασιν. ΗΠΟΥ. ἴσως σχεδόν. ΕΠΕΙΓΕΤΕ Δ' ΩΝΟΝ ΟΔΑΙΩΝ. σπουδάζει δὲ περὶ τὸν ἀγορασμὸν τῶν φορτίων. ΥΠΟΧΕΙΡΙΟΣ ΕΛΘΟΙ. τῇ χειρίμου ὑποπέσῃ. ΣΥΜΒΛΗΜΕΝΟΣ. συντυχήσας. ΕΠΙΒΑΘΡΟΝ. μισθὸν ὅ ἐστι ναῦλον τῆς ἐπιβάσεως τῆς νεώς. ΑΜΑ ΤΡΩΧΩΝΤΑ ΘΥΡΑΖΕ. ἤτοι ἤδη δυνάμενον τρέχειν ἔξω. ἢ δυνατὸν ὄντα ἐπακολουθεῖν, γράφεται καὶ ἅμα τροχόωντα. ΕΜΠΟΛΟΩΝΤΟ. ὠνοῦντο. ΗΧΘΕΤΟ. ἐβαρύνετο τῷ πλήθει. ΟΡΜΟΝ. περιτραχήλιον κόσμον. ΜΕΤΑ Δ' ΗΛΕΚΤΡΟΙΣΙ. ἠλέκτροις δὲ συμπέπλεκτο. ΕΕΡΤΟ. συνεκέκλειστο, εἰργασμένος ἦν. ΑΜΦΑΦΟΩΝΤΟ. ἐψηλάφων. ΩΡΩΝΤΟ. ἐθεῶντο. ΥΠΙΣΧΟΜΕΝΑΙ. ὑπισχνούμεναι. ΚΑΤΕΝΕΥΣΕΝ. διένευσεν. ΚΑΝΝΕΥΣΑΣ. κατανεύσας. ΔΕΠΑ. ποτήρια. ΠΡΟΜΟΛΟΝ. προῆλθον. ΕΣ ΘΩΚΟΝ. εἰς βουλήν. ΦΗΜΗΝ. ἐκκλησίαν συνέδριον. ΑΛΕΙΣΑ. ἐκπώματα. ΑΕΣΙΦΡΟΣΥΝΗΣΙ. ματαιότητι ἀφροσύνῃ ἢ μωρίᾳ. ΝΩ. ἡμᾶς τοὺς δύο. ΑΝΑΒΙΒΑΣΑΜΕΝΩ. ἀναβιβάσαντες εἰς τὴν ναῦν. ΩΚΥΑΛΟΣ. ὠκεῖα, ταχεῖα ταχύπλους παραγώγως. ΑΝΤΛΩ, τῇ ἀντλίᾳ τοῦ πλοίου. ΚΗΞ. ὄρνεον θαλάσσιον παραπλήσιον χελιδόνι. ἔνιοι δὲ λάρον αὐτὸν λέγουσιν. οἱ δὲ αἴθυιαν. οὕτω τήνδε γαῖαν ἐγὼν ἴδον. εἰκὸς αὐτὸν ἀκηκοέναι παρὰ τοῦ λαέρτου ὧν διηγήσαντο οἱ φοίνικες. ΚΑΔΔΑΡΘΕΤΗΝ. κατεκοιμήθησαν. ΕΠΙΧΕΡΣΟΥ.

ναῦλον

ἄνω ἐπὶ

ἄνω ἐπὶ τῆς γῆς. ΚΑΔΔ' ΕΛΟΝ. καθεῖλον κατήγαγον. ΣΥΒΟΤΗΡΑΣ. βοσκούς, νομεῖς. ΟΔΟΙΠΟΡΙΟΝ. τὸν διὰ τοῦ πλοῦ δεῖπνον ἢ ἀμοιβήν. ΞΕΝΙΟΥ. τῆς πρὸς ξένον ὑποδοχῆς ἐπιτηδείων. ΥΠΕΡΩΩ. ἀνωγέω οἴκῳ. ΟΙΩΝΟΝ. σημεῖον μάντευμα. ΚΑΡΤΕΡΟΙ ΔΕΣΠΟΖΟΝΤΕΣ. ἐγκρατεῖς, ἐλλείπει δὲ τὸ ἔσεσθε. ΤΙΕΜΕΝ. τιμᾶν. ΕΝΘΑΔΕ. ἀντὶ τοῦ ἐπὶ τῶν ἀγρῶν. ΜΙΜΝΟΙΣ. μένοις. ΚΟΜΙΣΩ. ἐπιμελείας ἀξιώσω. ΑΚΑΧΗΜΕΝΟΝ. σεσιδηρωμένον. ΑΝΩΣΑΝΤΕΣ. εἰς τὸ ἄνω τὸν πλοῦν ποιήσαντες. ΠΡΟΒΙΒΩΝΤΑ. προβαίνοντα. ΕΠΙΑΥΕΝ. καθ' ἣν διέτριβεν. ΑΝΑΚΤΕΣΙ. δεσπόταις. ΗΔΗ ΓΑΡ ΠΑΤΗΡ ΤΕ ΚΑΣΙΓΝΗΤΟΙ ΤΕ ΚΕΛΟΝΤΑΙ ΕΥΡΥΜΑΧΩ ΓΗΜΑΣΘΑΙ. ἰκάριος ὁ οἰβάλου γαμεῖ δωροδόχην τὴν ὀρτιλόχου, ἢ κατὰ φερεκύδην ἀστεροδίαν τὴν εὐρυπύλου τοῦ τελέσορος, πυθόμενος δὲ λαέρτης περὶ τῆς πηνελόπης ὅτι καὶ κάλλει καὶ ταῖς φρεσὶ διαφέρει πάντων τῶν καθ' ἑαυτὴν γυναικῶν, ἄγεται αὐτὴν τῷ παιδὶ ὀδυσσεῖ πρὸς γάμον, ἢ τοσαύτην εἶχεν ἀρετήν, ὥστε καὶ τὴν ἑλένην τὴν ἐκ διὸς οὖσαν τῷ τῆς ἀρετῆς ὑπερβάλλειν. ἡ δὲ ἱστορία παρὰ φιλοστεφάνῳ καὶ φερεκύδῃ. ΤΗΛΕΔΑΠΟΣ ΦΕΥΓΩΝ, ΕΞ ΑΡΓΕΟΣ ΑΝΔΡΑ ΚΑΤΑΚΤΑΣ. πολυφείδης ὁ μαντείου σαριοῦσαν γήμας, γίνονται αὐτῷ παῖδες ἁρμονίδης καὶ θεοκλύμενος. ὃς κτείνας

ἐμφύλιον

ὑπερώῳ ἢ τοῖς ἀνωγέω οἴκῳ

Icarij & penelopes historia

Philostephanus

Pherecydes

τῆ ἰφιανάσσης ut paulo post



ἐμφύλιον ἄνδρα, φεύγει εἰς τὴν πύλον. συντυχὼν δὲ θύοντι τηλεμάχῳ, δεῖται αὐτοῦ σῶσαι αὐτὸν εἰς τὴν ἰθάκην. ὁ δὲ αἰδεσθεὶς τὴν τοῦ ἀνδρὸς φυγήν. καὶ καταπλεύσας τὸν ὁμήλικα, σὺν ἑαυτῷ τοῦτον ἄγει εἰς τὴν ἰθάκην. εἰπόντα δὲ αὐτὸν τὰ περὶ τοῦ παιδὸς ἀληθῆ μαντεῖα, πολὺ μᾶλλον ἐτίμησεν. ὅθεν καὶ θεοκλύμενος φιλοφρονούμενος ὑπὸ τῶν περὶ τὸν ὀδυσσέα δεῦρο τὸν βίον κατέστρεψεν. ἡ δὲ ἱστορία παρὰ φερεκύδῃ. ΑΥΤΑΡ ΓΕΝΕΗΝ ΓΕ ΜΕΛΑΜΠΟΔΟΣ ΕΓΚΟΝΟΣ ΗΕΝ. μελάμπους ὁ ἀμυθάονος παῖς πολλὰ μὲν καὶ ἄλλα διὰ τῆς μαντικῆς τεράστια ἐποίει, οὐχ ἥκιστα δὲ αὐτῷ καὶ οὗτος εὐδοξότατος ἆθλος ἐγένετο. τῶν γὰρ προίτου θυγατέρων τοῦ βασιλέως τῶν ἀργείων λυσίππης καὶ ἰφιάνης διὰ τὴν νεότητος ἀνεπιλογιστίαν ἁμαρτουσῶν εἰς ἥραν. παραγενόμεναι γὰρ εἰς τὸν τοῦ θεοῦ νεὼν, ἔσκωπτον αὐτόν, λέγουσαι πλουσιώτερον μᾶλλον εἶναι τὸν τοῦ πατρὸς οἶκον. καὶ διὰ τοῦτο μάντις ὢν παραγενόμενος ὁ μελάμπους, ὑπέσχετο πάσας θεραπεύειν, εἰ λάβοι κατάξιον τῆς θεραπείας μισθόν. ἤδη γὰρ ἡ νόσος δεκαετής, καὶ ὀδύνην φέρουσα οὐ μόνον αὐταῖς ταῖς κόραις ἀλλὰ καὶ τοῖς γεγονόσιν. ἐπαγγελλαμένου δὲ τοῦ προίτου τῷ μελάμποδι, καὶ μέρος τῆς βασιλείας καὶ μίαν τῶν θυγατέρων ἣν ἂν



θέλοι

Historia

Pherecy

Proeti filiarum fa

θυγατέρων πό θυγατέρων

θέλοι εἰς γάμον δώσειν. ἰάσατο τὴν νόσον ὁ μελάμπους. διά τε ἱκεσιῶν καὶ θυσιῶν τὴν ἥραν μειλιξάμενος, καὶ λαμβάνει πρὸς γάμον ἰφιάνασσαν, ἕδνον αὐτὴν τῶν ἰατρῶν καρπόμενος. ἡ δὲ ἱστορία παρὰ φερεκύδῃ.

τέλος τοῦ ο.

## ΕΙΣ ΤΗΝ Π. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΠΕΡΙ ΣΑΙΝΟΝ. ἔσαινον ἐκολάκευον ἀσπάζοντες. ΥΛΑΟΝ. ὑλάκτουν ἐβόων. ΠΟΔΟΙΙΝ. ποδῶν. ΥΛΑΟΥΣΙ. βοῶσιν ὑλακτοῦσιν. ΦΑΕΑ. τοὺς ὀφθαλμούς. ΑΓΑΠΑΖΕΙ. περιπτύσσεται. ΩΧΕΤΟ. ἀπῆλθε. ΤΕΡΨΟΜΑΙ. τέρφθῶ. ΕΠΙΔΗΜΕΥΕΙΣ. ἐν τῇ πόλει διαπλέεις, ἢ διατρίβεις. ΑΙΔΗΛΟΝ ΟΜΙΛΟΝ. τὸν ἀδηλοποιὸν καὶ πάντα φθείροντα ἢ τὸν τοῦ φθαρῆναι καὶ ἀπολέσθαι αἴτιον. ΧΗΤΕΙ. σπάνει, ἀπορία. ΕΝΕΥΝΑΙΩΝ. τῶν συγκοιμωμένων ὅ ἐστι κοιμισομένων. ἢ τῶν περιβολαίων. ΘΑΦΩΝ. θαμβηθείς. ἐκπλαγεὶς ἢ θαυμάσας. ἔστι δὲ ὁ τρόπος ἀόριστος ἐκ τοῦ θήπω ἔθαπον καὶ ἔταφον καὶ ταφὼν ἰωνικῶς ἢ μεταφορὰ





φορὰ ἐκ τοῦ τάφου. καὶ γὰρ ἡμεῖς ὁρῶντες τοὺς τάφους ἐκπληττόμεθα διὰ τὸ ἐπερχόμενον ἡμῖν δεινόν. ΑΤΤΑ. ἐπίφθεγμα τιμητικὸν νεωτέρου πρὸς παλαιότερον. εἴρηται παρὰ τὸ ἄππα, κατὰ μακεδόνας τροπῇ γινομένῃ τοῦ π εἰς τ, ἄττα. ΙΕΝ. ἐπορεύετο. ΕΔΡΗΣ. τῆς καθέδρας. ΕΠΙΟΝΤΙ. ἐπερχομένῳ. ΥΠΟΕΙΞΕΝ. ὑπεχώρησεν. ΕΡΗΤΥΣΕΝ. ἐκώλυσεν. ΧΕΥΕΝ. ἐπέβαλεν. ΚΩΑΣ. δέρμα. ΕΣΣΥΜΕΝΟΣ. ἐπειγμένος. ΠΑΡΕΝΗΝΕΕΝ. παρεσώρευεν, παρετίθει. ΕΥΧΕΤΑΙ. νῦν λέγει. ΔΙΝΗΘΗΝΑΙ. ἀναστραφῆναι. ΕΠΕΚΛΩΣΕΝ. εἱμαρμένον χρυσέαις ἐπίκλωσεν. ΘΥΜΑΛΓΕΣ. λυπηρόν. ΧΑΛΕΠΗΝΗ. εἰς χαλεπότητα τράπειεν. ΚΟΜΙΖΟΙ. ἐπιμελοῖτο. ΜΝΑΤΑΙ. μνηστεύεται. ΑΜΦΗΚΕΣ. ἠκονημένον ἀμφοτέρωθεν. ΕΣΣΩ. ἀμφιέσω ἐνδύσω. ΚΟΜΙΣΟΝ. ἐπιμελήθητι. ΚΑΤΑΤΡΥΧΗ. καταπονεῖ, βλάπτει. ΚΕΡΤΟΜΕΩΣΙ. χλευάσωσι. ΔΑΠΤΕΤΑΙ. ἐσθίεται. ΚΑΣΙΓΝΗΤΟΙΣ ΕΠΙΜΕΜΦΕΑΙ. ἀντὶ τοῦ οὐκ εἰσί σοι ἀδελφοί. ΟΡΗΤΑΙ. κινηθῇ, ὁρμήσῃ. ΕΙΗΝ. ὑπάρχοιμι. ΣΤΥΦΕΛΙΖΟΜΕΝΟΥΣ. ὑβριζομένους. ἢ προπηλακιζομένους. ΡΥΣΤΑΖΟΝΤΑΣ. ἕλκοντας. βιαζομένους μεθ᾽ ὕβρεως σπαράσσοντας. ΔΙΑΦΥΣΣΟΜΕΝΟΝ. ἀντλούμενον. ΑΝΗΝΥΤΩ. μὴ ἀνυομένῳ. ΧΑΛΕΠΑΙΝΕΙ. ὀργίζεται. ΑΠΟΝΗΤΟ. ὄνησιν, καὶ ὠφέλειαν ἔχειν. ΠΕΥΘΕΣΘΩ. ἀκουσάτω. ΤΕΙΩΣ.

τέως, πρότερον. ΑΥΤΑΓΡΕΤΑ. αὐθαίρετα, αὐτόληπτα, χωρὶς καμάτου. ΛΗΘΕΝ. ἔλαθεν. ΑΝΤΙΘΥΡΟΝ. ἀντικρὺ τῆς θύρας. ΚΝΥΖΗΘΜΩ. ἤτοι ποππυσμῷ. ἢ μετὰ κλαυθμοῦ ποιῷ ἤχῳ τῶν κυνῶν. ΕΚ Δ᾽ ΗΛΘΕΝ. ἐξῆλθεν δέ. ΘΡΙΓΚΙΟΝ. τὸ περίφραγμα. ΦΑΕΟ. λέγε. ΠΕΡΙΩΣΙΟΝ. περισσόν. οὐ κατὰ τὸ προσῆκον. παρὰ τὸ ἔσιον γίνεται περιώσιον ἐκτάσει τοῦ ο εἰς ω. ΑΡΑΡΟΝΤΕ. κατασκευάσαντες. ΩΦΕΛΛΕ. ηὔξησε. ΓΝΑΘΜΟΙ. γνάθοι. ΤΑΝΥΣΘΕΝ. ἐτάθησαν. ΔΩΡΑ ΤΕΤΥΓΜΕΝΑ. ἀναθήματα, ἀγάλματα. ΣΤΕΝΑΧΙΖΩΝ. στενάζων, λυπούμενος. ΜΗΧΑΝΟΩΤΟ. ὑπονοήσοι, πράξοι. ΑΓΑΑΣΘΑΙ. ἐκπλήττεσθαι. ΑΝΑΤΛΑΣ. ὑπομείνας. ΑΜΦΙΧΥΘΕΙΣ. περιπλακείς. ΑΔΙΝΩΤΕΡΟΝ. οἰκτρότερον. ΑΙΓΥΠΙΟΙ. γύπες. ΑΓΡΟΤΑΙ. θηρευταί, κυνηγοί. ΕΞΕΙΛΟΝΤΟ. ἀφείλοντο. ΠΕΤΕΕΙΝΑ. πετῆναι δυνάμενα. ΕΙΒΟΝ. ἔχεον, ἔσταζον. ΕΠΟΡΟΝ. ἔδωκαν. ΕΙΔΕΩ. μάθω. ΑΝΤΙΦΕΣΘΑΙ. ἐξισοῦσθαι. ΔΙΖΗΣΟΜΕΘΑ. ζητήσομεν. ΕΧΙΦΡΟΝΑ. συνετόν. ΟΙΑΙ. μόναι. ΕΙΣΕΑΙ. γνώσῃ, μαθήσῃ. ΠΙΣΥΡΕΣ. τέσσαρες. ΚΕΚΡΙΜΕΝΟΙ. ἐπίλεκτοι. ΔΡΗΣΤΗΡΕΣ. ὑπηρέται. ΜΕΔΩΝ. ὄνομα κύριον. ΔΑΙΤΡΟΣΥΝΑΩΝ. μαγειρικῶν ἔργων. ΑΝΤΗΣΟΜΕΝ. μετάσχωμεν. ΠΟΛΥΠΙΚΡΑ. πολὺ πικρῶς, καὶ δεινῶς. ΑΜΥΝΤΟΡΑ. βοηθόν. ΕΡΧΕ. ἔρχου. ΑΡΚΕΣΕΙ. βοηθήσει. ΑΞΕΙ. κομίσει. ΤΕΤΛΑΤΩ. καρτερησάτω. ΒΕΛΕΣΙ. βλήμασι.





ΑΦΡΟΣΥΝΑΩΝ. ἀνοιῶν, μωριῶν. ΠΑΡΑΪΔΩΝ. παραινῶν συμβουλεύων. ΘΗΣΕΙ. ἐμβάλῃ. ΕΣΜΥΧΟΝ. εἰς τὸ ἐσώτατον. ΠΑΡΦΑΣΘΑΙ. παραπεῖσαι, παραλογίσασθαι, συμβουλεῦσαι. ΜΕΤΑΛΛΩΣΙΝ. ἀντὶ τοῦ ἐρωτῶσιν. ΕΚ ΚΑΠΝΟΥ. ἔξω καὶ χωρὶς τοῦ καπνοῦ. ΕΩΚΕΙ. ὁμοία ἦν. ΚΑΤΗΚΕΣΤΑΙ. βέβλαπται ἠφάνισται. ΠΥΡΟΣ ΑΥΤΜΗ. ὁ καπνός. ΟΙΝΩΘΕΝΤΕΣ. μεθυσθέντες. ΑΥΤΟΣ ΓΑΡ ΕΦΕΛΚΕΤΑΙ ΑΝΔΡΑ ΣΙΔΗΡΟΣ. πρόχειρος γὰρ ἀνὴρ πρὸς φόνον παρακειμένου σιδήρου. ΕΦΕΛΚΕΤΑΙ. ἐρεθίζει. ΝΩΙΝ. ἡμῖν. ΟΙΟΙΣΙ. μόνοις. ΚΑΛΛΙΠΕΕΙΝ. καταλιπεῖν ἀντὶ τοῦ κατάλιπε. ΙΣΤΩ. ἐπιστάσθω. ΙΘΥΝ. τὴν διανοίας διάθεσιν. ΠΕΙΡΗΘΗΜΕΝ. διὰ πείρας ληψόμεθα. ΔΕΙΔΙΕ. φοβεῖται. ΑΛΕΓΕΙ. διὰ φροντίδος ἔχει. ΑΤΙΜΑ. ἀτιμάζει. ΧΑΛΙΦΡΟΣΥΝΑΙ. ἤτοι ἀφροσύναι. ἢ κεχαλασμέναι καὶ ἔκλυτοι φρένες. ἢ σκαιαί, καὶ ἀβέλτεραι τῇ διανοίᾳ. ΚΕΡΔΟΣ. ὄφελος. ΜΕΤΕΡΧΟΜΕΝΟΣ. διὰ σπουδῆς ἔχων. ΝΗΛΗΤΕΙΣ. σημαίνει τοὺς ἁμαρτωλούς. ὡς ἀπὸ τοῦ εὐσεβὴς γίνεται εὐσεβέες εὐσεβεῖς. οὕτω καὶ ἀπὸ τοῦ νηλητής, νηλητέες νηλητεῖς. γίνεται δὲ παρὰ τοῦ νη στερητικοῦ μορίου καὶ τὸ ἀλιτεῖν, ὃ σημαίνει τὸ ἁμαρτάνειν. καὶ διὰ τοῦτο ἀλιτεῖν διὰ τοῦ ι γραφόμενον, τὸ νηλήτης γράφεται διὰ τοῦ η, ὅτι οἱ Αἰολεῖς ἔτραπον τὸ ι εἰς η. ΔΕΔΑΑΣΘΑΙ. μαθήσεσθαι.

ΣΤΑΘΜΟΥΣ. νῶν τοὺς οἴκους. ΔΕΙΣΑΣΑ. φοβηθεῖσα. ΣΥΝΑΝΤΗΤΗΝ. συνέδραμον, συνήντησαν. ΕΡΕΟΝΤΕΣ. εἰπεῖν ὀφείλοντες. ΜΕΘΥΑΣ. ἐπὶ τοὺς σῦς. ΚΑΤΗΦΗΣΑΝ. ἐλυπήθησαν, ἐσύγνασαν. ΕΚ Δ' ΕΙΛΟΝ. ἐξελάβοντο δέ. ΕΚ Δ' ΗΛΘΟΝ. ἐξῆλθον δέ. ΕΤΕΛΕΣΘΗ. ἐτελειώθη, ἐπεράχθη. ΕΓΓΕΙΛΩΣΙΝ. ἀπαγγείλωσιν, εἴπωσι. ΣΤΕΛΛΟΝΤΑΣ. συστέλλοντας. ΚΙΧΗΝΑΙ. καταλαβεῖν. ΜΕΤΑΙΖΕΙΝ. συγκαθέζεσθαι. ΚΑΚΟΤΗΤΟΣ. τῆς ἐπιβουλῆς. ΣΚΟΠΟΙ. κατάσκοποι. ΕΠ' ΑΓΡΙΑΣ. ἐπὶ τὰ ὑψηλότατα μέρη τῶν ὀρῶν. ΚΑΤΑΔΥΝΤΙ. δύοντι. ΑΣΑΜΕΝ. ἐκαθευδήσαμεν. ΕΜΙΜΝΟΜΕΝ. ἐμένομεν. ΦΘΙΣΩΜΕΝ. ἀνέλωμεν. ΑΝΥΣΣΕΣΘΑΙ. ἀνυσθῆναι. ΟΜΗΓΥΡΙΣΑΣΘΑΙ. ἀθροῖσαι, συναγαγεῖν. ΜΕΘΗΣΕΜΕΝΑΙ. παρεάσειν. ΑΠΟΜΗΝΙΣΕΙ. ὀργισθήσεται. ΕΡΑΠΤΟΜΕΝ. κατασκευάζομεν. ΕΞΕΛΑΣΩΣΙ. διώξωσι. ΦΘΕΩΜΕΝ. φθάσωμεν προλάβωμεν. ΕΛΟΝΤΕΣ. ἀνελόντες. ΚΑΤΑΜΟΙΡΑΝ ΕΦ' ΗΜΕΑΣ. τουτέστι καθ' ἑαυτούς, μὴ τοῖς ἄπασι μερίσωμεν. ΕΦ' ΗΜΕΑΣ. καθ' ἑαυτούς. ΑΝΔΑΝΕΙ. ἀρέσκει. ΘΥΜΗΔΕΑ. τὰ τῇ ψυχῇ ἡδονὴν παρέχοντα. ΕΔΩΜΕΝ. ἐσθίωμεν, μιάσθω, μνηστευέσθω. ΓΗΜΑΣΘΩ. γαμηθείη, παρέχοι. ΜΟΡΣΙΜΟΣ. εἱμαρμένος, ἐρώμενα, ζητοῦμεν. ΑΙΝΗΣΩΣΙΝ. ἐπινεύσωσι, συγκαταθῶνται. ΘΕΜΙΣΤΕΣ. μαντεῖαι. ΑΠΟΤΡΟΠΩΣΙ. ἀποτρέπωσι, κωλύσωσιν. ΕΝΔΗΜΩ. ἐν τῇ πόλει. ΜΕΘΟΜΗΛΙΚΑΣ.



ΘΟΜΗΛΙΚΑΣ. ἐν τοῖς ὁμήλιξι. ΕΗΣΘΑ. ὑπάρξεις. μάργε, μαινόμενε. ΡΑΠΤΕΙΣ. κατασκευάζεις. ΙΚΕΤΑΣ ΕΜΠΑΖΕΤΑΙ. τοὺς προσδεχομένους ἱκέτας, ὠνόμασεν, ὁμωνύμως αὐτοῖς τοῖς ἱκετεύουσιν. ὡς ἄν τις εἴποι τοὺς ἱκετοδόχους. ὥσπερ χρῆσται λέγονται οἱ ὀφείλοντες, καὶ οἱ δανείζοντες. ΜΑΡΤΥΡΟΣ. μάρτυς κατὰ Ἴωνας. ΥΠΟΔΔΕΙΣΑΣ. φοβηθείς, εὐλαβηθείς. ΕΠΙΣΠΩΜΕΝΟΣ. ἐπακολουθῶν. ΑΡΘΜΙΟΙ. φίλοι. ΑΠΟΡΡΑΙΣΑΙ. διαφθεῖραι. ΖΩΗΝ. τὸν βίον, τὸ τῆς οὐσίας περιεκτικόν. ΑΤΙΜΟΝ. ἀτίμως. ΕΦΕΣΣΑΜΕΝΟΣ. ἐπικαθίσας. ΕΠΕΣΧΕΝ. ἐπέδωκεν. ΤΡΟΜΕΕΣΘΑΙ. φοβεῖσθαι. ΣΙΓΑΛΟΕΝΤΑ. ποικίλως κατεσκευασμένα. ΕΠΙΣΤΑΔΟΝ. ἐπισημώς. ΛΥΓΡΑ. εὐτελῆ, λαμπρά. ΧΡΟΙ. τῷ σώματι. ΕΙΡΥΣΑΙΤΟ. φυλάξαιτο. ΒΛΩΣΚΟΝΤΑ. ἀνιόντα. ἢ κατελθόντα. ἢ πορευόμενον. ΟΜΗΡΗΣΕ. ὁμοῦ συνέβαλε, συνέτυχεν. ΥΠΕΡ ΠΟΛΗΟΣ. ἀντὶ τοῦ ἔξω τῆς πόλεως. ΕΡΜΑΙΟΣ ΛΟΦΟΣ. ὁ σωρὸς τῶν λίθων ἐν ταῖς ὁδοῖς. ἕρμαιον ὀνομάζεται ἢ πάθος ἰώμενος βωμός. ἢ λόφος ἑρμαίου. ἢ ὡς ὑπέρ τινος λόφου ἑρμοῦ ἱδρυμένου. ΒΕΒΡΙΘΕΙ. ἐβεβάρητο, ἐπεπλήρωτο. ΩΙΣΘΗΝ. ὑπενόησα. ΠΩΝΟΥ. τοῦ περὶ τὸ δεῖπνον. ΗΔΗ ΥΠΕΡ ΠΟΛΙΟΣ ΟΘΙ ΕΡΜΑΙΟΣ ΛΟΦΟΣ ΕΣΤΙΝ. ἑρμῆς κατὰ διὸς κέλευσιν ἀνελὼν ἄργον τὸν τῆς ἰοῦς φύλακα, ἤχθη ὑπὸ δίκην



χρῆσται

ἥρας αὐτὸν καὶ τῶν ἄλλων ἀγαγόντων θεῶν εἰς κρίσιν, ὅτι πρῶτος ἐπεβεβλήκει δαιμόνων θνητῶν μιάσματι τὸν ἄργον, καὶ ἀνῃρήκει. κρίνοντας δὲ τοὺς θεοὺς εὐλαβηθῆναι μὲν τὸν δία, τὸ ὑπόδικον γεγενῆσθαι τὸν ἑρμῆν ταῖς ἑαυτοῦ παραγγελίαις. ἅμα δὲ ἀφοσιωμένους τὸ ἄγος, καὶ τῆς ἀνδροφονίας ἀπολύοντας, ἣν εἶχον ὀργὴν προσβάλλειν αὐτῷ τὰς ψήφους, καὶ οὕτως ἐπισωρευθῆναι, πρὸς τοῖς ποσὶ τοῦ ἑρμοῦ ψήφων πλῆθος. ὅθεν καὶ τοὺς ἀνθρώπους ἄχρι τοῦ νῦν, εἰς τιμὴν ἑρμοῦ κατὰ τὰς ὁδοὺς διὰ τὸ τὸν θεὸν εἶναι τούτων καθηγεμόνα. καὶ τρόπον τῶν ἐκδικούντων σωροὺς ποιεῖν λίθων, καὶ διάγοντας προσβάλλειν λίθους, καὶ τινας καλεῖν ἑρμαίους λόφους. ἔστι δὲ λόφος πᾶν τὸ εἰς ὕψος μετέωρον. ἡ δὲ ἱστορία παρὰ ἀντικλείδῃ.

Mercurij & argi mortis fabu. & de cumulis lapidum in viijs

Antichidis

τέλος του π.



# ΕΙΣ ΤΗΝ Ρ. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΔΑΙΤΑ ΠΤΩΧΕΥΕΙ. τὰ πρὸς τροφὴν ἐπαιτεῖ. ΑΝΕΧΕΣΘΑΙ. ὑποδέχεσθαι. ΜΗΝΙΕΙ. ὀργισθῇ. ΕΡΥΚΕΣΘΑΙ. κατέχεσθαι. ΤΗΛΙΚΟΣ. τῆς δεούσης ἡλικίας. ΣΗΜΑΝΤΟΡΙ. τῷ ἐπιτάσσοντι ἢ ἐπιστάτῃ. ΠΑΛΑΜΗΦΙΝ. ταῖς χερσίν. ΠΥΡΟΣ ΘΕΡΕΩ. περιθερμανθῶ. ΑΛΕΗ. ἡ θερμασία τοῦ ἡλίου, σημαίνει δὲ καὶ τὴν ἀποφυγήν. ΒΕΒΗΚΕΙ. ἐπορεύετο. ΣΤΙΒΗ ΥΠΗΟΙΗ. ὁ πάγετος ὁ ὀρθρινός. ΑΥΤΟΣ Δ' ΗΣΩ ΙΕΝ. ἐνήλλακται ἡ τάξις, τὸ γὰρ ἑξῆς αὐτὸς δ' ὑπέρβη διαΐνων οὐδὸν καὶ εἴσω ἴεν. ΚΑΣΤΟΡΝΥΣΑ. καταστρωννύουσα. ΚΩΕΑ. προβάτων δοράς. ΚΥΝΕΟΝ. ἐφίλουν. ΑΓΑΠΑΖΟΜΕΝΑΙ. περιπτυσσόμεναι. ΟΡΝΥΘΙ. ἔγειρε. ΟΡΙΝΕ. τάραττε. ΧΡΥΣΗ. καλῆς χρυσοφόρου. ΑΝΤΙΤΑ. ἀντιτιμώρητα. ΑΠΤΕΡΟΣ ΜΥΘΟΣ. ἤτοι ἰσόπτερος, ταχύς. ἢ οὐκ ἀπέπτη ὁ λόγος, ἀλλὰ ἀπέμεινεν, μὴ ἔχων πτερόν. λέγει δὲ ὅτι ταχέως ἤκουσε. ΤΡΑΠΕΤΟ. ἐτράπη. ΣΠΕΡΧΩ. σημαίνει τὸ κατεπείγομαι, σπεύδω, καὶ συστρέφω, ἴσως ἀπὸ τοῦ περιέχεσθαι, συμπεριέχω δίω, καὶ συγκοπῇ σπέρχω.

σπέρχω

ΕΠΑΥΡΕΜΕΝ.

ΕΠΑΥΡΕΜΕΝ. ἐπεντρυφῆσαι. ΟΤΡΥΝΟΝ. ἔπειγον. ΠΑΡΕΟΝΤΩΝ. τῶν παραμενόντων, καὶ ταχέως μὴ σκεπομένων. ΥΠΕΡΩΙΟΝ. ἀνώγεον οἴκημα. ΛΕΞΟΜΑΙ. κατακοιμηθήσομαι. ΣΤΟΝΟΕΣΣΑ. στεναγμῶν αἰτία. ΚΟΜΙΖΕ. ἐπεμελεῖτο. ΟΥΤΕΟ. τινός. ΦΙΛΟΜΗΛΕΙΔΗ. ὁ φιλομηλείδης. ὡς φιλομήλου υἱός. ὁ γὰρ πάτροκλος οὐ δυνατὴ δηλονότι ὡς φιλομήλας υἱός. ὅτι τε τὰ ἀπὸ μητέρων οὐ σχηματίζει ὁ ποιητής, καὶ ὅτι τὸ ἐπιφερόμενον οὐκ οἰκεῖον ἦν ἐπὶ πατρόκλου. ΚΑΔΔ᾽ ΕΒΑΛΕ ΚΡΑΤΕΡΩΣ. ΚΕΧΑΡΟΝΤΟ ΔΕ ΠΑΝΤΕΣ ΑΧΑΙΟΙ. καὶ ἐν ἰλιάδι δὲ λέγει. νῦν τις ἐνηείης πατροκλῆος δειλοῖο μνησάσθω. ΕΡΠΩΝ. κατ᾽ ὀλίγον προσερχόμενος. ΕΦΡΑΣΑΜΗΝ. ἐθεασάμην. ἔγνων. ΕΓΕΓΩΝΕΟΝ. ἐσήμαινον, ἔλεγον. ΔΕΙΠΝΗΣΤΟΣ. βαρυτόνως μὲν ἡ τοῦ δείπνου ὥρα. ὀξυτόνως δὲ τὸ δεῖπνον. ΕΝΤΥΝΟΜΕΘΑ. εὐτρεπισόμεθα. ΟΤΡΥΝΟΝΤΟ. παρεσκευάζοντο. ΡΥΤΗΡΑ. φύλακα, σταθμῶν δὲ τῶν ἐπαύλεων. ΧΑΛΕΠΑΙ. δύσκολοι. κακαὶ τῶν δεσποτῶν αἱ ἀπειλαί. ΑΝΑΚΤΩΝ. δεσποτῶν. ΟΜΟΚΛΑΙ. ἀπειλαί. ΜΕΜΒΛΩΚΕ ΜΑΛΙΣΤΑ ΗΜΑΡ. τὸ πλεῖστον τῆς ἡμέρας παρελήλυθε. ΠΟΤΙ ΕΣΠΕΡΟΝ ΡΙΓΙΟΝ. πρὸς ἑσπέραν μᾶλλον χειμών ἐστί. ΡΙΓΙΟΝ. χειμών, ψύχος. ΤΕΤΜΗΜΕΝΟΝ. κεκομμένον. ΣΚΗΡΙΠΤΕΣΘΑΙ. ἐπερείδεσθαι. ΑΡΙΣΦΑΛΕΑ. τραχύν, σκληρόν, σφαλερὸν

πάνυ



πάνυ δυνάμενον, δύσβατον, ὀλισθηρόν. ὥστε κινδυνεύειν καταπεσεῖν, οὐδόν δὲ νῦν ἀντὶ τοῦ τὴν ὁδόν. ΘΥΜΑΡΕΣ. εὐάρεστον. ΛΕΥΓΑΛΕΩ. εὐτελεῖ. ΣΚΗΠΤΟΜΕΝΟΝ. ἐπερειδόμενον. ΕΣΤΟ. ἐνεδέδυτο. ΙΘΑΚΟΣ ΚΑΙ ΝΗΡΙΤΟΣ Η ΔΕ ΠΟΛΥΚΤΩΡ. πτερελάου παῖδες ἴθακος καὶ νήριτος ἀπὸ διὸς ἔχοντες τὸ γένος, ᾤκουν τὴν κεφαλληνίαν. ἀρέσαν δὲ αὐτοῖς τοῦτο, καταλιπόντες τὰ σφέτερα ἤθη, παραγίνονται εἰς τὴν ἰθάκην. καὶ τόπον ἰδόντες εὖ πεφυκότα εἰς συνοικισμὸν διὰ τὸ τῶν παρακειμένων ὑψηλότερον εἶναι, καὶ κατοικήσαντες δεῦρο, τὴν ἰθάκην ἔκτισαν, καὶ ἐκ μὲν τοῦ ἰθάκου, ἡ νῆσος ἐπωνομάσθη ἰθάκη. τὸ δὲ παρακείμενον ὄρος ἐκ τοῦ νηρίτου νήριτον. ἡ δὲ ἱστορία παρὰ ἀκουσιλάῳ. ΑΜΦΙ ΔΕ ΑΡΑ ΑΙΓΕΙΡΩΝ ΥΔΑΤΟΤΡΕΦΕΩΝ ΗΝ ΑΛΣΟΣ. ἥλιος ῥόδῃ μιχθεὶς τῇ ἀσωποῦ, παῖδας ἴσχει, φαέθοντα, καὶ λαμπετίην, καὶ αἴγλην, καὶ φαέθουσαν, ἀνδρωθεὶς δὲ ὁ φαέθων ἤρετο τὴν μητέρα τίνος εἴη πατρός, πυθόμενος δὲ ὡς ἡλίου παρεγίνετο ἐπὶ τὰς τοῦ πατρὸς ἀνατολάς. γνωρισθεὶς δὲ οὕτως ἐδεῖτο τοῦ πατρὸς ἐπ᾽ ὀλίγον αὐτῷ συγχωρῆσαι τὸ ἅρμα καὶ τοὺς ἵππους, ὅπως κατοπτεύσειε τὸν κόσμον. ὁ δὲ ἥλιος ἀκούσας, παρ᾽ αὐτὰ μὲν ἀντέλεγεν. εἰδὼς ἃ πείσεται. σφόδρα δὲ αὐτῷ ἐγκειμένῳ συγχωρεῖ διδάξας. ὅτι δὲ μεταίχμιον ἐπιβὰς ἐκεῖνος τοῦ ἅρματος ἀτάκτως ἤλαυνεν, ὥστε ταπεινῶν τὰ πάντα

*Ithaca & nerit[...] unde*

*Phaethontis fab.*

*δεῦρο. i. huc*

τὰ πάντα ἐπὶ τῆς γῆς φρύγειν. καὶ τὴν ἀφροσύνης ἐπισχεῖν αὐτὸν κεραυνῶσαι τὸν Δία, καταπεσόντος δὲ αὐτοῦ μετὰ τῆς θείας φλογὸς ἐπὶ τὸν ἠριδανὸν ποταμὸν καὶ φθαρέντος, αἱ ἀδελφαὶ παραγενόμεναι κατὰ τὸν τόπον τοῦ κελτικοῦ πελάγους, ἐθρήνουν ἡμέρας ἀδιαλείπτως καὶ νυκτός. ὅθεν κατελεήσας ὁ Ζεὺς ταύταις ἀνάμνησιν ἐντρίψειν τῶν κακῶν, μεταμορφοῖ αὐτὰς εἰς αἰγείρους αἵτινές εἰσι δένδρα. λέγεται δὲ καὶ ἐντεῦθεν ἀπογεννᾶσθαι τὸν ἤλεκτρον τῆς ἀρχαίας οἰμωγῆς, ἀποδακρυόντων δὲ τοῦτον καρπὸν ἀπὸ τοῦ δένδρου. ἡ δὲ ἱστορία παρὰ τοῖς τραγικοῖς. ΑΙΤΙΖΩΝ. αἰτῶν. ΑΚΟΛΟΥΣ. ψωμούς, οὓς οὐκ ἄντις κωλύσῃ διὰ τὴν βραχύτητα. ΑΟΡΑΣ. οἱ μὲν χωρὶς τοῦ σ, τὰ ξίφη παρὰ τὸ ἄορ. οἱ δὲ μετὰ τοῦ σ τρίποδας ἄορας. οἱ μὲν τὰς ἀπὸ τῶν ἀγώνων λαμβανομένας ἆθλα γυναῖκας λέγει γάστρα ἢ τρίπους ἢ γυνὴ ἢ ἄορας. οἱ δέ, τοὺς τρίποδας τοὺς ὦτα ἔχοντας δι' ὧν αἴρεσθαι δύνανται. ΔΟΙΗΣ. παράσχοις. ΥΓΟΤΡΕΦΕΩΝ. τῶν ὕδατι τρεφομένων. ΟΔΙΤΑΙ. ὁδοιπόροι. ΜΕΤΕΠΡΕΠΟΝ. ἐπίσημοι ἦσαν. ΝΟΜΗΕΣ. ποιμένες. ΕΚΠΑΓΛΟΝ, ΚΑΙ ΑΙΚΕΣ. δεινῶς ὑβριστικῶς. ΗΓΗΛΑΖΕΙ. ἄγει. ΜΟΛΟΒΡΟΝ. τὸν ἐπαίτην τὸν γαστρίμαργον. ΑΜΕΓΑΡΤΕ ΣΥΒΩΤΑ. ἢ ὦ περὶ βώτην ἀφθόνητε, ὃ δηλοῖ τὸ καλῶς πράττειν. ἢ ὦ οὐκ

ἄντις

ἄορας



ἄντις φθονήσειε τοῦ συβώτου. δίον ἄξιε τοῦ συφορβοῦ. ΠΤΩΧΟΝ. ἐπαίτην. ΔΑΙΤΩΝ ΑΠΟΛΥΜΑΝΤΗΡΑ. λυμεῶνα τῶν εὐωχιῶν, ἢ οἱ τὰ καθάρματα προσφερόμενοι τῶν εὐωχιῶν. ΠΟΛΛΗΣΙ. πολλαῖς. ΦΛΙΗΣΙ. ταῖς παραστάσεσι τῆς θύρας. ΘΛΙΨΕΤΑΙ. αἰολικῶς θλιβήσεται ὃς οὐκ ἐκβήσεται τῶν φλιῶν. ΟΥ ΔΕ ΕΙΞΕΙ. εἰώθασι δὲ οἱ πτωχοὶ προσκλίνεσθαι ταῖς θύραις ἢ προστρίβεσθαι. ΣΗΚΟΚΟΡΟΝ. ἐπιμελητὴν ἐπαύλεων. ἢ τὸν σαίροντα τοὺς σηκούς, σηκοὶ δὲ λέγονται αἱ μὲν μάνδραι καὶ οἱ τόποι ἔνθα συγκλείονται αἱ αἶγες καὶ τὰ πρόβατα. ΘΑΛΛΟΝ. πᾶν τὸ ἐκ γῆς φυέν, ἢ τὰ φυλλάδα. πᾶς γὰρ κλάδος δένδρου θαλλὸς προσαγορεύεται ὑπὸ τῶν ἀττικῶν δὲ μόνος ὁ τῆς ἐλαίας. ΦΟΡΗΝΑΙ. φέρειν κομίζειν. ΘΟΡΟΝ. ὀρόν, ἀντὶ ὀρρόν. τὸ ὑδατῶδες καὶ ἐφθαρμένην ὑπόστασιν τοῦ γάλακτος. ἢ τὸ ἄπηκτον γάλα. τὸ ὑπολειπόμενον ὑδατῶδες. ἐπιγουνίδα τὴν τοῦ σώματος εὐεξίαν ἀπὸ μέρους τοῦ κατὰ τὸ γόνυ δέρματος τὸ πᾶν ἐσήμαινεν. ἢ τὸ ὑπεράνω τοῦ γόνατος. ΠΤΩΣΣΩΝ. πτωχεύων. ΒΟΣΚΕΙΝ. τρέφειν. ΑΝΑΛΤΟΝ. ἀπλήρωτον. ΑΜΦΙ ΚΑΡΗ. τινὲς μὲν ἀμφοτέρωθεν οἱονεὶ κεφαλὰς ἔχοντα. ἀμφίνομον δὲ κατὰ παράθεσιν ἀναγινώσκειν ἀμφὶ κάρη, περὶ τὴν κεφαλήν. ΣΦΕΛΑ. τὰ ὑποπόδια ἢ τὰ ἐντινάγματα τὰ δυνάμενα σφάλαι. ὃ ἐστὶ κινῆσαι. ΣΦΕΛΑ.

τὰ ἀμ-

σηκοὶ

θαλλός

π. μάνδραι

τὰ ἀμφοτέρωθεν ἐξοχὰς καὶ ἐπαναστάσεις ἔχοντα. ἢ ἴσως παρὰ τὸ ἀπὸ σφηνῶν συμπῆχθαι. σφέλα, τὰ ἀμφοτέρωθεν ἐξοχὰς καὶ ἐπαναστάσεις ἔχοντα ἢ ἴσως παρὰ τὸ ἀπὸ σφηνῶν συμπῆχθαι, σφῆνες δὲ τὰ μικρὰ ξύλα. σφέλλα ἢ τὰ μικρὰ ὑποπόδια. ΠΑΛΑΜΑΩΝ. τῶν χειρῶν. ΠΛΕΥΡΑΙ ΑΠΟΤΡΙΨΟΥΣΙ. ἐμφατικῶς, ὅτι αἱ τούτου πλευραὶ ἀποτρίψουσι τὰ ὑποπόδια. ΑΜΦΟΥΔΟΣ. περὶ τὸ ἔδαφος. ΕΡΕΙΣΑΣ. πλησιάσαι ποιήσας. ΕΠΕΤΟΛΜΗΣΕΝ. ὑπέμεινεν. ΝΥΜΦΑΙ ΚΡΗΝΑΙΑΙ. ταύταις προσεύχεται ἤτοι καθὸ ὁ ἄγροικος ὤν, ἢ ὅτι τότε τῇ κρήνῃ προσῄει. ΑΓΛΑΙΑΣ. τοὺς καλλωπισμούς. ΔΙΑΣΚΕΔΑΣΕΙΕΝ. διασκορπίσει. ΑΙΠΟΛΟΣ. αἰγονόμος. ΚΥΩΝ. ἀναιδής. ΚΙΟΝΤΑΣ. πορευομένους. ΚΑΘΙΖΕΝ. ἐκαθέζετο. ΕΞ ΕΤΕΡΩΝ ΕΤΕΡ' ΕΣΤΙΝ. διὰ τούτων βούλεται δηλοῦν ὡς μονοξένων τῶν βασιλείων ὄντων ἀλλὰ πολυξένων. ΕΠΙΣΚΗΤΑΙ. μετ' ἐπιμελείας διακεκόσμηται. ΘΡΙΓΚΟΙΣΙ. στεφάναις, περιβόλοις. ΕΥΕΡΚΕΕΣ. ἀσφαλεῖς. εἰ γὰρ εὐεργέες, καλῶς εἰργασμέναι. ΥΠΕΡΟΠΛΙΣΑΙΤΟ. ἤτοι ὑπερηφανήσει. ἢ εὐχερῶς ἐπιβουλεύσει. ΑΝΗΝΟΘΕΝ. ἀνέρχεται. ΦΟΡΜΙΓΞ. κιθάρα. ΗΠΥΕΙ. ἐπήχει. ΑΝΟΗΜΩΝ. ἀνόητος. ΔΥΣΕΟ. εἴσελθε. ΥΠΟΛΕΙΨΟΜΑΙ. ἀπολειφθήσομαι. ΒΑΛΗ. τύψει, πλήξει. ΒΟΛΑΩΝ. βλημάτων. ΤΟΛΜΗΘΕΙΣ. ὑπομενητικός. ΕΥΖΥΓΟΙ. εὖ συνεζευγμέναι, καὶ

σφῆνες σφῆνα



ναι, καὶ ἡρμοσμέναι. ΟΠΛΙΖΟΝΤΑΙ. παρασκευάζονται. ΑΝ ΔΕ ΚΥΩΝ. πῶς τὸ μεταμορφούμενον ἐπιγινώσκει. ὅτι παρὰ τοὺς ἀνθρώπους, καὶ τὰ ἄλογα ζῶα, μᾶλλον ἀντιλαμβάνεται. καὶ ἐκ τῆς ὀδμῆς αὐτὸν ἐπέγνω. ἀλλὰ μετὰ τοσαῦτα ἔτη πῶς ἔζη. ἀριστοτέλης φησὶν τέσσαρα καὶ εἴκοσι ζῶν ἔτη κύνα. ΕΣΧΕΝ. ἀνέτεινεν. ΑΡΓΟΣ. ὄνομα κύριον τοῦ ὀδυσσέως κυνός. ΑΓΙΝΕΣΚΟΝ. ἀπῆγον. ΠΡΟΚΑΣ. δορκάδων εἶδος, ἢ ἐλάφων. ἢ τὰ ἔκγονα τῶν ἐλάφων. ΑΠΟΘΕΤΟΣ. ἀνεπιμέλητος. ΚΕΧΥΤΟ. χύδην ἔκειτο. ΑΓΟΙΕΝ. ἀπάγοιεν. ΤΕΜΕΝΟΣ. χωρίον. ΚΟΠΡΙΣΟΝΤΕΣ. κοπρίσαι ὀφείλοντες. ΕΝΙΠΛΕΙΟΣ. πλήρης. ΦΥΝΟΡΑΙΣΤΕΩΝ. τῶν κροτώνων. τινὲς δὲ λέγουσιν ἄλλα ζῶα ἐγγίνεσθαι, ἃ λέγεσθαι κυνοραῖσται κροτώνων, ῥαίουσι γὰρ τοὺς κύνας πίνοντες τὸ αἷμα αὐτῶν, εἰσὶ δὲ ταῦτα τὰ καλούμενα τριβίκια. ΕΣΥΝΕ. ἐκολάκευσεν. ΚΑΒΒΑΛΕΝ. κατέβαλεν ἐπέκλινεν. ΔΥΝΗΣΑΤΟ. ἠδυνήθη. ΕΡΕΕΙΝΕΤΟ. ἐπηρώτησεν. ΘΑΥΜΑ. ἔκπληξις. ΕΙΔΕΙ. τῇ μορφῇ. ΤΡΑΠΕΖΗΕΣ. οἱ περὶ τὰς τραπέζας ὄντες. ΑΓΛΑΙΗΣ. καλλονῆς. ΚΝΩΔΑΛΟΝ. κυρίως μὲν τὸ θαλάσσιον θηρίον, τὸ κῆτος. νῦν δὲ θηρίον ὑπὸ κυνῶν ἁλισκόμενον. ΕΧΕΤΑΙ. συνέχεται. ΚΑΚΟΤΗΤΙ. βλάβῃ, νόσῳ. ΑΛΛΟΘΙ ΠΑΤΡΗΣ. ἀντὶ τοῦ ἐπὶ ξένης. ΑΚΗΔΕΕΣ. ἀμελεῖς. ΟΥΚ ΟΜΕΟΥΣΙΝ.

ἐπιμελείας

Aristotelis

κνώδαλ

ἐπιμελείας οὐκ ἀξιοῦσιν. ΑΡΕΤΗΣ. τῆς ἑκουσίου πρὸς τὰ ἔργα ὁρμῆς. ΑΠΑΙΝΥΤΑΙ. ἀφαιρεῖται. ΔΟΥΛΕΙΟΝ ΗΜΑΡ. ἡ δουλεία. ΠΡΟΤΙΘΕΙ. παρετίθει. ΚΑΝΕΟΥ. κανισκίου. ΕΔΥΠΗΤΟ. εἰσῆλθεν. ΜΕΛΙΝΟΥ. ἀπὸ μελίας ξύλου γενομένου. ΚΛΙΝΑΜΕΝΟΣ. προσανακλιθείς. ΚΥΠΑΡΙΣΣΙΝΩ. ἀπὸ κυπαρίσσου γενομένου. ΞΕΣΕΝ. εἰργάσατο. ΕΠΙΟΙΕΝ. πρὸς ἑαυτόν. ΟΥΛΟΝ. ὅλον, καὶ ἔκλειψιν τοῦ υ. ΠΕΡΙΚΑΛΛΕΟΣ. πάνυ καλοῦ. ΕΚΑΝΔΑΝΟΝ. ἐχώρησαν. ΠΡΟΙΚΤΗ. μεταίτῃ, παρὰ τὸ ἱκετεύειν καὶ προσαιτεῖν. ΔΙΔΟΙ. δίδωσιν. ΟΛΒΙΟΝ ΕΙΝΑΙ. ἀπὸ κοινοῦ ποιήσον. ΑΕΙΦΕΛΙΗΣ. εὐτελοῦς. ΑΥΘΕΠΟΔΩΝ. προπάροιθεν. ΑΕΙΚΕΛΙΗΣ ΕΠΙ ΠΗΡΗΣ. ἐπάνω τῆς πήρης. ἁπλώσας δὲ τὴν πήραν ἀντὶ τραπέζης, ἐπάνω ἔθηκεν. ΩΣ ΟΤΕ. μέχρις οὗ. ΠΥΡΝΑ. πύρινα σιτία. ΑΓΕΙΡΟΙ. συναθροίσοι. ΑΘΕΜΙΣΤΟΙ. ἄδικοι. ΑΠΑΛΕΞΗΣΕΙΝ. ἀποκωλύσειν. ΚΑΚΟΤΗΤΟΣ. τοῦ θανατικοῦ κινδύνου. ΑΙΤΗΣΩΝ. ἐπαιτήσαι ὀφείλων. ΕΝΔΕΞΙΑ. ἀπὸ τοῦ δεξιοῦ μέρους. ΕΛΕΑΙΡΟΝΤΕΣ. ἐλεοῦντες. ΑΡΙΓΝΩΤΕ. ἐπίσημε, ἄγαν ἔκδηλε ὅτι συμβώτης ὑπάρχεις. ΑΛΗΜΟΝΕΣ. πλανῆται. ΟΝΟΣΑΙ. νῦν ἀντὶ τοῦ ὠφελεῖ. ΠΟΘΙ. πόθεν. ΔΗΜΙΟΕΡΓΟΙ. δημιουργοί, τεχνῖται. ΚΑΚΩΝ. τῶν νόσων. ΘΕΣΠΙΝ. θεῖον θαυμαστόν. ΚΑΙΤΟΙ. κεκλημένοι. ΤΡΥΖΟΝΤΑ. καταπονήσοντα. ΑΜΕΙΒΕΟ. δὲ ἀμοιβῆς ἀποκρίνου. ΕΙΩΘΕ. ἔθος ἔχει. ΕΡΕΘΙΖΕΜΕΝ.





παροξύνειν. ΑΝΑΓΚΑΙΩΣ. ἀναγκαστικῶς. ΟΡΕΞΕΙΑΝ. δοίην. ΤΡΕΙΣ ΜΗΝΑΣ ΑΠΟΠΡΟΘΕΝ ΟΙΚΟΣ ΕΡΥΚΟΙ. οὐκ ἂν ἐπὶ τρεῖς μῆνας προέλθοι αἰτήσων. ΥΠΕΦΗΝΕΝ. ἔξω εἵλκυσε. φανερὸν ἐποίησεν. ΥΠΕΧΕΕΝ. ἐπετίθει. ΠΡΟΙΚΟΣ. διὰ δωρεᾶς, δόσεως. ΚΛΕΙΟ. δοξάσω, ὑμνήσω. ΑΛΗΤΗ. πλανωμένῳ, πτωχῷ. ΟΙΣΙΤ ΕΥΖΩΟΥΣΙ. δι' ὧν καλῶς ζῶσι. ΑΛΑΠΑΞΕ. κατέφθειρε, πένητα ἐποίησε. ΠΟΛΥΠΛΑΓΚΤΟΙΣΙ. πολλὰ πλανωμένοις. ΔΜΗΤΟΡΙ ΙΑΣΙΔΙ. καὶ ἐν ἰλιάδι, πολλοὶ ὑπὲρ βασιλέας ἦσαν. ΤΟ Δ'ΙΚΟ. ἐνταῦθα παραγέγονα. ΠΡΟΙΚΤΗΣ. μεταίτης, ἐπαίτης. ΕΠΙΣΧΕΣΙΣ. κώλυσις, πρόφασις. ΕΛΕΗΤΥΣ. ἔλεος, οἶκτος. ΟΥ Δ'ΑΛΛΑ ΔΟΙΗΣ. ὁ μὲν ἀρίσταρχος δασέως ἀνέγνω, καὶ ἀπέδωκε τοὺς ἄλλας. καλλίστρατος δὲ ψιλῶς, οὐδ' ἄλλα ἐκδεχόμενος τὰ κόπρια. ἃ παρὰ τοῦ δεῖνος οὐδ' ὧν κεῖται, οὐδ' ὃς δὲ ὁ βατής. ΠΡΥΜΝΟΤΑΤΟΝ. ἔσχατον. ΣΦΗΛΕΝ. ἔσφηλεν, ἔσεισεν. ΕΥΠΛΕΙΗΣ. πάνυ πεπληρωμένης. ΒΛΗΕΤΑΙ. βληθείη. ΕΡΥΣΩΣΙ. ἑλκύσωσιν. ΑΠΟΔΡΥΦΩΣΙΝ. ἀποδείρωσιν. ΤΕΛΕΘΟΝΤΕΣ. γινόμενοι, φαινόμενοι. ΕΠΙΣΤΡΟΦΩΣΙΝ. ἐπέρχονται. ΕΥΝΟΜΙΗΝ. εὐνεμεσίαν. καθ' ἣν εὖ νεμόμεθα καὶ διατελοῦμεν. ΕΠ'ΑΡΗΣΙΝ. ἐπὶ ταῖς εὐχαῖς. ΑΛΗΤΕΥΕΙ. νῦν ἀντὶ τοῦ ἐπαιτεῖ. ΑΧΡΗΜΟΣΥΝΗ. ἀπορία, ἔνδεια. ΕΝΕΠΛΗΣΑΝ. ἐκόρεσαν.

Aristarch⁹

Callistrat⁹

ΕΠΙ ΟΙ. πρὸς ἑαυτὸν. ΠΡΟΣΠΤΥΞΟΜΑΙ. καὶ προσδέξομαι. γράφεται φθέγξομαι. ΘΕΛΓΟΙΤΟ. εὐφραίνοιτο. ΤΟ ΔΊΚΕΤΟ. ἐνταῦθα παρεγένετο. ΠΡΟΚΥΛΙΝΔΟΜΕΝΟΣ. πλανώμενος. ΕΨΙΑΑΣΘΩΝ ΔΕ. ἀντὶ τοῦ παιζέτωσαν, διαλεγέσθωσαν. ΟΜΗΝ. τὴν αὐτήν. ΑΝΕΔΕΓΜΕΘΑ. ἀνεδεξάμεθα. ΕΙΡΕΣΘΩ. ἐρωτησάτω. ΑΣΣΟΤΕΡΩ. ἐγγυτέρω. ΒΑΝΤΑ. ἐπιβάντα, εἰσελθόντα. ΕΞΑΙΣΙΟΝ. μεγάλως. ΑΙΔΟΙΟΣ. καὶ ὁ αἰδούμενος. ΟΙΟΙΤΟ. νομίσοι, ὑπολάβοι. ΔΕΙΕΛΙΗΣΑΣ. πρὸς τὴν δειλινὴν ὥραν παραγινόμενος. τουτέστι τὴν μεσημβρίαν, ἢ τὴν ἑσπερινὴν διατρίψας. ἔνιοι δὲ τὴν δειλινὴν τροφὴν αἰτῶν. καὶ Καλλίμαχος φησί. δείελον αἰτίζουσιν. ἄγουσι δὲ χεῖρας ἀπ' ἔργου τὸ πρὸς τῇ δειλινῇ τροφὴν αἰτοῦντες οὐ δεόντως. προειρήκαμεν γὰρ ὅτι οἱ ἀρχαῖοι τρισὶ τροφαῖς ἐχρῶντο. ΔΕΙΕΛΟΝ ΗΜΑΡ. τὸ τῆς δειλινῆς ὥρας.

τέλος τοῦ ρ.



ΕΙΣ ΤΗΝ Σ. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΠΤΩΧΟΣ. ἐπαίτης. ΠΑΝΔΗΜΙΟΣ. ὁ κατὰ τὸν δῆμον ἐπαιτῶν. καὶ δι' ὅλης τῆς πόλεως ἐπιών. ΓΑΣΤΕΡΙ ΜΑΡΓΗ. γαστριμαργίᾳ μαινομένῃ. ΑΖΗΧΕΣ. διηνεκές, ἀδιάλειπτον. ΙΡΟΝ. παρὰ τὸ εἴρειν. ΕΙΚΕ. ὑπεχώρει. ΔΙΩΚΕΤΟ. ἐδίωκεν. ΕΠΙΛΛΙΖΟΥΣΙ. τοῖς ὄμμασι διανεύουσιν. ΑΝΕΛΟΝΤΑ. ἀντὶ τοῦ ἀνελόμενον, λαβόντα. ΧΕΙΣΕΤΑΙ. χωρήσει. ὅθεν καὶ χειὰς τὰς καταδύσεις τῶν ὄφεων. ΟΛΒΟΝ ΔΕ ΘΕΟΙ ΜΕΛΛΟΥΣΙΝ ΟΠΑΖΕΙΝ. ἐοίκασι δὲ οἱ θεοὶ δωρητικοὶ εἶναι εὐδαιμονίας, ὥστε οὐ φαίνονται ἡμῖν ἵλεῳ. ΟΠΑΖΕΙΝ. παρέχειν, δωρεῖσθαι. ΠΡΟΚΑΛΙΖΕΟ. προκαλοῦ. ΧΟΛΩΣΕΙΣ. ὀργισθῆναι ποιήσεις. ΦΥΡΣΩ. μολυνῶ. ΕΠΙΤΡΟΧΑΔΗΝ. ἐσπουδασμένως. ΑΓΟΡΕΥΕΙ. διαλέγεται. ΚΑΜΙΝΟΙ. καμινευτρίᾳ φρυγούσῃ κριθάς. ἔστι δὲ ἡ εὐθεῖα καμινώ. ΚΟΠΤΩΝ. πλήσσων τύπτων. ΛΗΙΒΟΤΕΙΡΗΣ. τῆς κατεσθιούσης τὸ λήιον, ὅ ἐστι τὸ σιτοφόρον χωρίον. ἐὰν γὰρ εὑρεθῇ σῦς ἀλλότριον σπόριμον πεδίον βοσκομένη, ἐξοδοντίζεται. ΕΠΙΓΝΩΩΣΙ δὲ, ἀντὶ

τοῦ θεάσωνται. ΜΑΡΝΑΜΕΝΟΥΣ. μαχομένους. ΠΑΝΘΥΜΑΔΟΝ. εὐθύμως. πάσῃ τῇ ψυχῇ, ἄγαν ὀργίλως. ΟΚΡΙΟΩΝΤΟ. ἐξετραχύνοντο, διεφέροντο, διεπληκτίζοντο. ΟΙΗΝ. ὁποίαν. ΤΕΡΠΩΛΗΝ. τέρψιν. ΕΡΙΖΕΤΟΝ. φιλονεικοῦσιν. ΑΛΛΗΛΟΙΙΝ. πρὸς ἀλλήλους. ΞΥΝΕΛΑΣΣΟΜΕΝ. συμβάλωμεν. ΚΑΚΟΕΙΜΟΝΑΣ. κακὰ ἱμάτια περιβεβλημένους. ΑΓΗΝΟΡΕΣ. καὶ οἱ ἄγαν ἀνδρεῖοι. ΓΑΣΤΕΡΕΣ ΑΙΔ ΑΙΓΩΝ. τὰς φυσικὰς λέγει, οἰκεῖον δὲ τὸ ἆθλον τοῖς διὰ γαστέρα δυστυχοῦσιν. ΚΑΤΘΕΜΕΘΑ. κατεθέμεθα. ΜΕΤΑΔΑΙΣΕΤΑΙ. συνευωχηθήσεται. ΗΝΔΑΝΕ. ἤρεσκε. ΔΟΛΟΦΡΟΝΕΩΝ. ἀπατῶν. ΔΑΜΑΣΕΙ. τύψει, δείρει. ΞΕΙΝΟΔΟΚΟΣ. ὁ τοὺς ξένους ὑποδεχόμενος. ΕΠΙΔΑΙΝΕΙΤΟΝ. συγκατατίθενται. ΗΛΔΑΝΕ. ηὔξανεν. ΑΓΑΣΑΝΤΟ. ἐθαύμασαν. ΑΙΡΟΣ. Ἶρος ὀνομασθείς. ΕΠΙΣΠΑΣΤΟΝ. ἑκούσιον ἀπὸ τῶν ὀρνίθων τῶν δελεαζομένων καὶ ἐπισπωμένων ἑαυτοῖς τὸν ὄλεθρον. ΒΟΥΓΑΙΕ. μεγάλως ἐπαιρόμενε. βοῶν ἔργα ποιῶν. ΕΧΕΤΟΝ. Ἔχετος βασιλεὺς ἦν τῆς ἠπείρου. Εὐχήνορος παῖς ὠμὸς καὶ ἀπότομος. ὃς καὶ τὴν θυγατέρα Μετώπην, ἢ Ἀμφισσαν ὑπὸ Αἰχμοδίκου φθαρεῖσαν πηρώσας, ἠνάγκαζε σιδηρᾶς ἀλεῖν κριθάς, λέγων τότε ἀποδώσειν τὰς ὄψεις, ὅτε ἀλέσει τὰς κριθάς. τὸν δὲ Αἰχμόδικον ἐπὶ ἑστίασιν καλέσας ἠκρωτηρίασε, καὶ τὰ αἰδοῖα αὐτοῦ ἀπέκοψεν. ὕστερον μέντοι

Echeti historia



μέντοι μανείς, καὶ τῶν ἰδίων ἐμφορηθεὶς σαρκῶν ἀπέσβη. ΤΑΜΗΣΙ. κόψει. ΕΞΕΡΥΣΑΣ. ἐξελκύσας. ΕΛΑΣΕΙ. πλήξει βαλών. ΑΝΑΣΧΟΜΕΝΩ. ἀνατείναντες. ΦΟΙΝΙΟΝ. ἐρυθρόν, πυρρόν. ΣΥΝΔΗΛΑΣΕ. συνέκρουσε. ΓΕΛΩ ΕΚΤΑΝΟΝ. ἀπέθανον ὑπὸ γέλωτος. ΕΝΤΑΥΘΟΙ. ἐνταῦθα. ἐν τούτῳ τῷ τόπῳ. ΑΠΕΡΥΚΩΝ. ἀποκωλύων. ΓΕΛΟΩΝΤΕΣ. γελῶντες. ΑΛΗΤΕΥΕΙΝ. πλανᾶσθαι. ἢ μεταιτεῖν. ΑΝΑΛΤΟΝ. ἀκόρεστον ἀνάξομεν, ἀναχθῆναι ποιήσομεν. ΚΛΕΗΔΟΝΙ. κληδόνι, φήμῃ. ΘΗΚΕΝ. παρέθηκεν. ΕΜΠΛΕΙΗΝ. πεπληρωμένην. ΑΝΑΞΟΜΕΝ. ἀπαγάγωμεν. ΕΣΠΕΡΟΠΙΣΩ. εἰς τὰ μετὰ ταῦτα. ΕΧΕΑΙ. ἔχῃ, κατέχῃ. ΔΟΥΛΙΧΙΗΑ. τὸν ἀπὸ Δουλίχου. ΕΡΗΤΗ. δεινῷ, εἰπεῖν. ἢ λογίῳ, παρὰ τὰ ἔπη. ΕΕΙΣΕΣΘΑΙ. ὑπομεῖναι. ΟΦΡ' ΑΡΕΤΗΝ ΠΑΡΕΧΩΣΙ. καὶ τοῖς ἀγαθοῖς παρέχουσιν εὐδαιμονίαν. ὁμοίως τὸ ἀρετῶσι δὲ λαοί. ΛΕΚΑΖΟΜΕΝΟΣ. μὴ θέλων. ΤΕΛΕΟΥΣΙ. ποιοῦσιν ἐπιφέρουσι. ΦΕΡΕΙ. ὑποφέρει. ΤΟΙΟΣ ΓΑΡ ΝΟΟΣ ΕΣΤΙΝ. οἱ μὲν φιλόσοφοι ἐκδέχονται ὅτι οἷον ἂν ᾖ τὸ κατάστημα τοῦ ἀέρος, τοιαύτην καὶ τὴν ἡμέραν διατελοῦσιν οἱ ἄνθρωποι. ὁ δὲ ποιητὴς λέγει, ὁποῖα ἂν ᾖ τὰ προσπίπτοντα, τούτοις ἐξομοιούμεθα. ΕΜΕΛΛΟΝ. ἐῴκειν, ἐνομιζόμην. ΜΗΧΑΝΟΩΝΤΑΣ. ἐπινοοῦντας. ΑΠΕΣΣΕΣΘΑΙ. ἀπεῖναι. ΑΝΤΙΑΣΕΙΑΣ. συναντήσειας. ΡΕΤΑΣΕΙΕΝ.

ΤΑΣΕΙΕΝ. ἐκπλήξειεν οὐκ ἀλαζονικῶς ἢ πρόσεσιν
ἡ πηνελόπη, ἀλλ᾽ ὅπως μὴ βιασθῇ προνοουμένη, καὶ
ἐλπιδοποιοῦσα τῶν δοκεῖν τινὶ συνοικῆσαι. ΤΙ-
ΜΗΕΣΣΑ. τιμιωτέρα. ΑΧΡΕΕΙΟΝ. δίον οὐκ ἐκ διαθέσε-
ως. ΕΠΑΙΝΕΙΝ. συντίθεσθαι. ΦΡΟΝΕΟΥΣΙ. βουλεύον-
ται φρονοῦσι. ΠΕΝΘΗΜΕΝΑΙ. πενθεῖν, θρηνεῖν. ΑΚΡΙ-
ΤΟΝ. ἀδιαλείπτως. ἢ πολὺ διηνεκῶς. ΗΡΩ. ἤχου.
ΑΛΟΙΦΙ. ἐλαίῳ. ΑΓΛΑΙΗΝ. τὸ κάλλος. ΑΛΕΞΟΥΣΑ.
λέγουσα. ΚΛΙΝΤΗΡΑ. τῇ κλίνῃ. ΚΑΛΛΕΙ. νῦν τὰ μύ-
ρα. ΚΑΘΗΡΕΝ. ἔχρισεν, ἤλειψεν. ΦΥΘΗΡΕΙΑ. ἡ ἀφρο-
δίτη. ΠΑΣΣΟΝΑ. παχυτέραν. ΦΘΟΓΓΩ ΕΠΕΡ-
ΧΟΜΕΝΑΙ. μετὰ φωνῆς ἐπιοῦσαι. ΑΙΝΟΠΑΘΗ. δει-
νοπαθῆ. ΚΩΜΑ. ὕπνος. ΦΘΙΝΥΘΩ. φθείρω. ΕΡΩ. ἔρωτι.
ΕΘΕΛΧΘΕΝ. ἐκηλήθησαν. ΚΕΡΔΕΑ. συνέσεις.
ΕΝΩΜΑΣ. ἐκίνεις, ἀντὶ τοῦ ἐνενόεις. ΗΒΗΣΜΕ-
ΤΡΟΝ. τὸ ἀκμαῖον τῆς ἡλικίας. ΑΕΙΚΙΣΘΗ ΜΕ-
ΝΑΙ. αἰκισθῆναι, ὑβρισθῆναι. ΡΥΣΤΑΚΤΥΟΣ. ἑλκυ-
σμοῦ, αἰκίας. ΓΕΛΟΙΤΟ. ἔσαι. ΑΡΩΓΟΙ. βοηθοί. ΙΑ-
ΣΟΝ ΑΡΓΟΣ. ἴασος βασιλεὺς πελοποννήσου. ἄργος
δὲ νῦν, τὴν πελοπόννησον νῆσον. ἢ καὶ ὅλην τὴν ἑλ-
λάδα ἀπὸ τοῦ μεσαιτάτου. ΔΑΙΝΥΑΤΟ. εὐωχοῖντο.
ΠΕΡΙΕΣΣΙ. ὑπερέχεις. ΗΕΝ. ἀπήει, ἐπορεύετο. ΑΜΦΙ-
ΠΟΛΕΥΟΙ. διέποι, θεραπεύοι. ΑΧΘΟΜΑΙ. λυποῦμαι.
ΕΠΕΣΣΕΥΕΝ. ἐπήγαγε. ΚΑΙ ΓΑΡ ΤΡΩΑΣ ΦΑ-
ΣΙ. πιθανῶς ἐλπιδοποιεῖ τοὺς μνηστῆρας. ὅτι ἐν
τοῖς ἄλλοις

Iasus rex peloponnesi



τοῖς ἄλλοις εἰκὸς ἀνῃρῆσθαι αὐτόν. ΡΥΤΗΡΑΣ ΟΙ-
ΣΤΩΝ. τοξότας. ΙΠΠΩΝ ΕΠΙΒΗΤΟΡΑΣ. ἱππικούς.
ΕΚΡΙΝΑΝ. διέκριναν διεχώρισαν. ΑΝΕΣΕΙ. ἐάσει,
ἀναπέμψει. ΜΕΜΝΗΣΘΑΙ. νῦν ἐπιμελεῖσθαι. ΓΕΝΕΙΗ-
ΣΑΝΤΑ ΙΔΗΑΙ. ἐν ᾧ προτρέπει, ἐν τούτῳ ἀπο-
τρέπει, γέρων γὰρ τότε ἐγίνετο. ΓΗΜΑΣΘΑΙ. γα-
μηθῆναι. ΛΙΠΟΥΣΑ. καταλιποῦσα. ΝΥΞ Δ᾽ ΕΣΤΑΙ.
σκότος γενήσεται. ΑΝΤΙΒΟΛΗΣΕΙ. συντελεσθήσε-
ται. ἤδη γὰρ πρὸς αὐτῷ τῷ τέλει εἰμί. ΟΥΛΟ-
ΜΕΝΗΣ ΜΕΘΕΝ. ἀπολλυμένης μᾶλλον. ἢ προδού-
σης τὴν κοίτην τοῦ ἀνδρός. ΟΥΚ ΗΔΕ ΔΙΚΗ. οὐχ
οὗτος ὁ τρόπος. ΠΑΡΟΙΘΕΝ. ἐν τῷ πρὸ τούτου χρό-
νῳ. ΕΡΙΣΩΣΙ. φιλονεικήσωσιν. ΤΩΝ ΜΕΝ ΔΩ-
ΡΑ ΠΑΡΕΛΚΕΤΟ. εἰ μὲν ὑπὲρ ἓν παρείλκετο, παρολ-
κὼν ἐλάμβανεν. εἰ δὲ διηρημένως παρὰ τούτων
ἐλάμβανε καὶ ἀνεπλήρου τὰ ἀναλώματα. ΠΑΡΕΛ-
ΚΕΤΟ. παρέσπα. ΕΝΕΙΚΑ. ἐνεγκεῖν. ΔΕΞΑΣΘΑΙ. ἀν-
τὶ τοῦ δέξαι. ΠΕΡΟΝΑΙ. πόρπαι. ΚΛΗΙΣΙ. κατακλεί-
σιν. εἰς ἃς καθίεσαν τὰς περόνας. ΕΥΓΝΑΜΠΤΟΙΣ.
καλῶς ἐπικεκαμμέναις. ΟΡΜΟΝ. τὸν κατὰ τοῦ
τραχήλου περικείμενον χρυσοῦν κόσμον. ΕΡΜΑ-
ΤΑ. δῶρα. ΤΡΙΓΛΗΝΑ. τρίκορα, κόσμια. ἐν ᾧ τὰ
τριόφθαλμα τρίκορα. ΜΟΡΟΕΝΤΑ. τὰ μετὰ πολ-
λοῦ μόρου, καὶ κακοπαθείας κατεσκευασμένα.
ΠΟΛΥΚΤΟΡΙΔΑΟ. πολύκτορος παιδός. ΙΣΘΜΙΟΝ.

ἰσθμός

περιτραχήλιον, ἔνθεν καὶ περίσθμια, διάφορον δὲ τοῦ ὅρμου, τὸ μὲν γὰρ προσέρχεται τῷ τραχήλῳ, ὁ δὲ ὅρμος κεχάλασται. ἰσθμὸς δὲ ὁ τράχηλος, ἀπὸ τοῦ εἰσιέναι τὴν τροφὴν δι' αὐτοῦ. ΛΑΜΠΤΗΡΑΣ. ἐσχάρας μετεώρους. ἢ τοὺς χυτρόποδας ἐφ' ὧν ἔκαιον. ΘΗΚΑΝ. ἐπέθηκαν. ΦΑΕΙΜΟΙΕΝ. λάμποιεν. ΚΕΚΕΑΣΜΕΝΑ. ἐσχισμένα. ΜΕΤΕΜΙΣΓΟΝ. συνανεμίγνυον. ΑΜΟΙΒΗΔΙΣ. ἀναμέρος στροφαλίζεται. ΠΕΙΚΕΤΕ. ξαίνετε. ΚΟΜΙΣΣΕ. μετ' ἐπιμελείας ἔθρεψε. ΣΧΕΚΕ. εἶχεν. ΜΙΣΓΕΣΚΕΤΟ. συνεμίγνυτο. ΤΑΛΑΝ. ἄθλιε. ΕΚΠΕΠΑΤΑΓΜΕΝΟΣ. ἐκπεπληγμένος τὰς φρένας, ἄφρων. ΧΑΛΚΗΙΟΝ. χαλκέως οἶκον. ΛΕΣΚΗΝ. δημόσιον οἴκημα, διὸν λέσχην παρὰ τὸ ἐν αὐτῷ τοὺς μὴ ἔχοντας οἰκήματα λέχη ποιεῖσθαι. ἢ παρὰ τὸ λεσχαίνειν ἐν αὐτῷ. ὅ ἐστιν ὁμιλεῖν. ΑΛΥΕΙΣ. χαίρεις, γαυριᾷς. ΑΝΑΣΤΗ. ἀγωνίσκεται. ΦΟΡΥΞΑΣ. μολύνας. ΓΕΛΩ. γέλωτα ἀττικῶς. ΟΥΚ ΑΘΕΕΙ. οὐκ ἄνευ θεοῦ. ΕΜΠΗΣ. νῦν ἀντὶ τοῦ ὅμως. ΑΝΕΛΟΙΜΗΝ. ἀναλάβοιμι. ΑΡΚΙΟΣ. ἱκανός. ΑΙΜΑΣΙΑΣ. τοὺς περιβόλους τῶν τοίχων, τοὺς χάλικας. ΛΕΓΩΝ. οἰκοδομῶν, ἐκ συλλέκτων λίθων. ΠΤΩΣΣΕΙΝ. πτωχεύειν. ΠΟΙΗ. ὁ δημητριακὸς χόρτος. ΚΕΚΟΡΗΟΤΟΙ. κεκορεσμένοι. ΗΛΙΚΕΣ. ὁμήλικες. ΙΣΟΦΟΡΟΙ. ἴσως φέροντες, καὶ ἕλκοντες. ΤΕΤΡΑΓΥΟΝ. τέσσαρας ἔχον γύας, γύον δὲ μέ-

λέσχη

γύον

τρον



τρον γῆς. ΔΙΗΝΕΚΕΑ. τὴν ὑπὸ μιᾶς ὁρμῆς σχιζομένην. ΠΡΟΤΑΜΟΙΜΗΝ. διακόψαιμι. ΟΡΜΗΣΕΙΕΝ. ἐγείρῃ κινήσῃ. ΜΙΓΕΝΤΑ. μιχθέντα, ἀντὶ τοῦ συνελθόντα. ΤΑ ΘΥΡΕΤΡΑ ΦΕΥΓΩΝ ΤΙΣ ΣΤΕΙΝΟΙΤΟ. οὕτως ταρασσόμενος διὰ τῶν θυρῶν φυγῆς, ὡς δοκεῖν στενοχωρεῖσθαι. ΣΦΕΛΑΣ. τὸ ὑποπόδιον. ἢ τὸ βῆμα, τὸ σφῆλαι δυνάμενον. ΠΡΟΧΟΟΣ. ἐξέσης. ΜΕΘΕΗΚΕΝ. ἐποίησεν. ΔΑΙΜΟΝΙΟΙ. θαυμάσιοι ἐπὶ κακῷ. ΔΙΩΚΩ Δ' ΟΥ ΤΙΝΑΣ ΕΓΩΓΕ. ἵνα παραμείνωσι καὶ ἀναιρεθῶσιν. ΦΥΝΤΕΣ. ἐνδακόντες. ΧΑΛΕΠΑΙΝΟΙ. εἰς ὁρμὴν κινήσοι. ΣΤΥΦΕΛΙΖΕΤΕ. διώκετε, ὑβρίζετε. ΑΔΟΝΤΑ. ἀρέσκοντα. ΕΠΑΡΞΑΣΘΩ. ἀπὸ τοῦ πρώτου ἀρξάσθω. ΚΑΤΑΚΕΙΟΜΕΝ. καθευδήσομεν. ΤΗΛΕΜΑΧΩ ΜΕΛΕΜΕΝ. ἐπιμελείας ἀξιοῦσθαι ὑπὸ τηλεμάχου. ΕΠΙΣΤΑΔΟΝ. ἐπιστάμενος. ΕΙΣ ΕΧΕΤΟΝ ΒΑΣΙΛΗΑ ΒΡΟΤΩΝ ΔΗΛΗΜΟΝΑ ΠΑΝΤΩΝ. ἔχετος, ἦν μὲν υἱὸς βουχέτου, ἀφ' οὗ καὶ ἐν σικελίᾳ πόλις βούκετος καλεῖται. σικελῶν δὲ τύραννος, λέγεται τοῦτον τοὺς μὲν ἐγχωρίους κατὰ πάντα τρόπον σίνεσθαι, τοὺς δὲ ξένους ἀναιρεῖν λαμβανόμενον, τοσαύτην δὲ κακίαν ἔχειν, ὡς καὶ τοὺς μακρὰν οἰκοῦντας ὅτε θέλοιεν σφόδρα τινὰ τιμωρῆσαι, καὶ ξένῳ περιβαλεῖν θανάτῳ ἐκπέμπειν ^ αὐτόν. πολλὰς γὰρ μηχανὰς ἐξευρεῖν τοῦτον

Bucetus
V. Siciliae

αἰκίας.

ἢ πρὸς

αἰκίας. ὅθεν τὸν λαὸν οὐχ ὑπομένειν τὴν πικρὰν ταύτην τυραννίδα, λίθοις δὲ αὐτὸν ἀνελεῖν. ἡ δὲ ἱστορία παρὰ μνασέᾳ καὶ μαρσύᾳ.

Mnaseus Marsyas

τέλος τοῦ σ.

## ΕΙΣ ΤΗΝ Τ. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΥΠΕΛΕΙΠΕΤΟ. ὑπελείφθη, ἔμενεν. ΧΡΗ ΤΕΥΧΕΑ. οἱ ἀστερίσκοι, ὅτι ἐνθάδε καλῶς ὅτε ἑώρακε τὰ ὅπλα. ΚΑΤΑΘΕΜΕΝ. καταθεῖναι. ΕΚ ΔΕ ΚΑΛΕΣΣΑΜΕΝΟΣ. ἔξω δὲ καλέσας. ΕΠΙΦΡΟΣΥΝΑΣ ΑΝΕΛΟΙΟ. φρόνιμος γένῃ. ΚΗΔΕΣΘΑΙ. ἐπιμελεῖσθαι. ΑΕΡΓΟΝ. ῥάθυμον. ΟΥΚ ΕΙΑΣ. οὐ συνεχώρεις. ΠΡΟΒΛΩΣΚΕΜΕΝ. προϊέναι προέρχεσθαι. ΧΟΙΝΙΚΟΣ ΑΠΤΗΤΑΙ. τροφὰς λαμβάνει. τό, τε μετροῦν καὶ τὸ μετρούμενον. ΕΙΛΗΛΟΥΘΩΣ. ἐλθών. ΚΛΗΙΣΣΕΝ. ἔκλεισεν. ΑΝΑΙΞΑΝΤΕΣ. ἀνορμήσαντες. ΕΙΣΦΟΡΕΟΝ. εἰσέφερον. ΧΡΥΣΕΟΝ ΛΥΧΝΟΝ. τὴν δᾷδα κυρίως. τὸν δὲ παρ' ἡμῖν καλούμενον λύχνον τοὺς ἥρωας χρωμένους ὁ ποιητὴς οὐκ εἰσάγει, καὶ οὔτε ἡσίοδος μέμνηται. ὀρθῶς δὲ πεποίηκε τὴν ἀθηνᾶν φρόνη-

De usu lychni nota





σιν οὖσαν καθαρὰν αὐτῷ παρέχειν τὸ φῶς. καὶ οἰκείως διὰ τὸν ἄσβεστον ἀθήνησι λύχνον. ΘΑΥΜΑ. ἔκπληξιν. ΜΕΣΟΔΜΑΙ. τὰ μεταξὺ τῶν κιόνων διαφράγματα οἵτινες ἦσαν περὶ τοὺς τοίχους, τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν. ΥΨΟΣ ΕΧΟΝΤΕΣ. εἰς ὕψος ἔχοντες. ΙΣΧΑΝΕ. κάτεχε. ΑΥΤΗ ΤΟΙ ΔΙΚΗ ΕΣΤΙ ΘΕΩΝ. οὗτος ὁ τρόπος τὸ ὡς βούλονται φαίνεσθαι. ΥΠΟΛΕΙΨΟΜΑΙ. μενῶ. ΠΡΟΣΦΥΕΑ. προσπεφυκυῖαν ἡνωμένην. ΗΡΕΟΝ. ἀφηροῦντο. ΝΗΗΣΑΝ. ἐσώρευσαν. ΘΕΡΕΣΘΑΙ. θερμὴν ποιεῖν. ΛΑΒΕ. ἀπόλαυσον. ΔΑΛΩ. τῇ λαμπάδι. ΔΑΙΜΟΝΙΗ. θαυμασία. ΕΠΕΧΕΙΣ. ὑπόκεισαι. ΟΥ ΛΙΠΟΩ. τῇ πιμελῇ οὐ λελίπασμαι. ΝΟΣΤΙΜΟΣ. ἀνακομισθῆναι δυνάμενος. ΑΠΟΛΛΩΝΟΣ ΓΕ ΕΚΗΤΙ. κουροτρόφος γὰρ ὁ θεός. ΑΤΑΣΘΑΛΛΟΥΣΑ. ὑβρίζουσα. ΕΡΔΟΥΣΑ. πράττουσα. ΣΗ ΚΕΦΑΛΗ ΑΝΑΜΑΞΕΙΣ. πάντως ἑαυτῇ προστρίψῃ ἢ ἀναλείψει. ΗΔΗΣΘΑ. ᾔδεις, ἠπίστασο. ΠΥΚΙΝΩΣ. ἀντὶ τοῦ πάνυ. ΑΕΙΚΕΛΙΟΝ. εὐτελῆ. ΝΕΙΚΕΟΙ. κακολογοίη. ΕΥΔΙΚΙΑΣ. δικαιοσύνας. ΑΝΕΧΗΣΙ. ἄνω ἔχει, αὔξει. ΒΡΙΘΗΣΙ. πεπλήρωται. ΕΥΗΓΕΣΙΗΣ. ἀπὸ εὐδαιμονίας. ἢ ἀπὸ εὐαρχίας παρὰ τὸ εὖ ἡγεῖσθαι. κακῶς δ' οἱ σὺν τῷ ε γράφοντες εὐεργεσίης. ΑΡΕΤΩΣΙΝ. ἐν ἀρετῇ καὶ ἐν δαιμονίᾳ διάγωσιν. ΝΕΜΕΣΗΣΕΤΑΙ. μέμψεται. ΔΑΚΡΥΠΛΩΕΙΝ. δακρύων πληθύνειν.

μεσόδμοι

ΤΟΝ ΕΜΟΝ ΒΙΟΝ ΑΜΦΙΠΟΛΕΥΟΙ. τοῦ ἐμοῦ βίου προνοοῖτο. ΑΕΧΑΖΟΜΕΝΩΝ. ἀκουσίων, μὴ βουλομένων. ΤΟΛΥΠΕΥΩ. κατεργάζομαι, μηχανῶμαι. ΑΛΛΥΕΣΚΟ. ἀνέλυον. ΟΥΚ ΑΛΕΓΟΥΣΑΣ. φροντίδα μὴ ποιουμένας. ΟΜΟΚΛΗΣΑΝ. ὁμοῦ πάντες ἐπέπληξαν. ΟΠΑΖΟΙ. παρέχοι. ΠΑΛΑΙΦΑΤΟΥ. παλαιὰ φατιζομένης περὶ ἧς παλαιὰ μυθεύεται. οἱ γὰρ παλαιοὶ ὑπελάμβανον τοὺς πρὸ ἑαυτῶν ἐκ δρυῶν καὶ πετρῶν γεγενῆσθαι διὰ τὸ τὰς τικτούσας εἰς τὰ στελέχη καὶ σπήλαια ἐντεθέναι τὰ παιδία. ἔστι δὲ ὁ λόγος οὐ γὰρ δὴ ἐκείνων εἶ σύ. εἰς πιθανὸν δὲ τοὺς πάλαι ἀνθρώπους ἐν ταῖς ἐρημίαις τὰς μίξεις ποιεῖσθαι πλησίον δρυῶν ἢ πετρῶν. τινὲς δὲ παλαιφάγου ἐπειδὴ οἱ παλαιοὶ ἐβαλανοφάγουν. παρὰ καὶ φηγὸς φαγός τις οὖσα. ΑΠΟΛΗΞΕΙΣ. ἀποπαύσῃ. ΑΧΕΕΣΣΙ. λύπαις. ΔΩΣΕΙΣ. ἐμβάλῃς. ΑΠΕΗΣΙΝ. ἄπεισι. ΠΙΕΙΡΑ. λιπαρά. ΠΕΡΙΡΡΥΤΟΣ. ὑδρηλή. ΠΟΛΛΟΙ ΑΠΕΙΡΕΣΙΟΙ. ἐπήνεγκε τὸ πολλοὶ τὸ ἀπειρέσιοι αὐξήσεως ἕνεκεν. ΕΝΕΝΗΚΟΝΤΑ ΠΟΛΗΕΣ. ἐν ἰλιάδι ἑκατόμπολιν τὴν κρήτην λέγει. οὐχ ὡρισμένως ἑκατὸν πόλεις ἐχούσαν, ἀλλὰ ἀντὶ τοῦ πολλάς. ἔνιοι δὲ φασὶν ἰδομενέα κατὰ τὸν ἐξ ἰλίου ἀνάπλουν ἀπελαυνόμενον τῆς κρήτης ὑπὸ λεύκου ὄντα παῖδα καταλελοίπει φύλακα τῆς βασιλείας δέκα πόλεις πορθῆσαι, μετὰ δὲ τὰ ἡρωϊκὰ αἱ δέκα πόλεις προσεκτίσθησαν.

Φηγὸς unde

Creta hecatompolis an fit



προσεκτίσθησαν. ΑΛΛΗ Δ᾽ ΑΛΛΩΝ ΓΛΩΣΣΑ. προσωκόνησεν ἵνα μή τις αὐτὸν ἐλέγξῃ διὰ τὸ μὴ χρήσασθαι τῇ διαλέκτῳ αὐτοῦ. ΕΝ ΜΕΝ ΑΧΑΙΟΙ. μετὰ τὰ ἰλιακά, ταλθύβιος ἐκ μυκηνῶν ἤγαγεν ἀποικίαν. ΕΤΕΟΚΡΙΤΕΣ. οἱ αὐτόχθονες κρῆτες. ἢ οἱ ἰθαγενεῖς. ΤΡΙΧΑΙΚΕΣ. τριχῆ διαιρεθέντες. οἱ μὲν γὰρ εὔβοιαν κατῴκησαν, οἱ δὲ πελοπόννησον, οἱ δὲ κρήτην. ἀπολλώνιος δὲ τοὺς πολεμικοὺς λέγει, ἀπὸ τοῦ ἀΐσσοντας καὶ ἐπισείοντας τὰς κόμας ἐν τῇ περικεφαλαίᾳ πολεμικῇ, ἴσον τῷ κορυθάϊκι. εἰσὶ δὲ οἳ τοῦ τριλόφου, οἱ δὲ τοὺς ὀρχιστὰς ἀποδιδόασι. ΔΙΟΙ. οἱ εὐγενέστατοι. ΕΝΝΕΩΡΟΣ. οἱ μὲν ὅτι διὰ ἐννέα ἐτῶν τῷ πατρὶ συνιὼν Διὶ παρ᾽ αὐτοῦ ἐμάνθανεν ἅτινα εἴη δίκαια. οἱ δὲ ὅτι ἐννεαετὴς ὢν βασιλεύειν ἤρξατο. οἱ δὲ ὅτι ἐπὶ ἐννέα ἔτη ἐβασίλευσεν, ὁμιλητὴς γενόμενος τοῦ διός. οἱ δὲ ὅτι ἐπὶ ἐννέα ἔτη παρὰ τῷ πατρὶ ἐπαιδεύθη. φασὶ δὲ ἕτεροι, ὡς ταῖς τῶν βασιλέων γνώμαις οὐ ῥᾳδίως πείθονται οἱ ὑποτεταγμένοι. ἀνιόντα ἔσω αὐτὸν εἰς τὴν ἴδην διὰ ἐννεαετίας συνθεῖναι νόμους, καὶ φέροντα διαβεβαιοῦσθαι ὡς ὑπὸ τοῦ διὸς εἶεν δεδομένοι. ΤΗΣΙ Δ᾽ ΕΝΙ ΚΝΩΣΟΣ. μεγάλη πόλις. ἐνθάδε μίνως ἐννέωρος βασίλευεν διὸς μεγάλου ὀαριστής. μυθολογεῖται τὸν εὐρώπης τοῦ διὸς μίνωα ἐν κρήτῃ οἰκοῦντα διὰ ἐννεαετίας ἀφικνεῖσθαι

πρὸς

Apollon

De Minoe

πρὸς τὸν πατέρα παιδευθησόμενον. καὶ ὡς παρὰ σοφιστοῦ μανθάνειν τὰ δέοντα. οὐ μὴν ἀλλὰ καὶ τοῦ χρόνου τὰς ἀποδείξεις διδόναι ὧν μεμαθήκοιεν ἐν τῇ προτέρᾳ ἐννεαετηρίδι παρὰ τοῦ διός. ὅθεν καὶ τῶν πάντων αὐτῶν βασιλέα καταστῆσαι. τῇ τε γνώμῃ καὶ τῇ κρίσει διενεγκεῖν, ὥστε ἐν ᾅδου δικαστὴν γενέσθαι τῶν ἀδίκων ψυχῶν. ἡ δὲ ἱστορία παρὰ πλάτωνι. ΟΑΡΙΣΤΥΣ. ὁμιλητής. ΚΛΥΤΟΣ. ὁ ἐκλυόμην ἤγουν ἐκαλούμην ὀνόματι. ΑΙΘΩΝ. ὄνομα κύριον. ΠΑΡΑΠΛΑΓΞΑΣΑ. ἀποπλανήσασα. ΑΜΝΙΣΩ. ἀμνισὸς πόλις καὶ ποταμὸς κρήτης. ΕΙΛΙΘΥΙΗΣ. τῆς ἀφορισμένης ταῖς τικτούσαις θεᾶς. ΜΕΤΑΛΛΑ. ἐπεζήτει. ΔΕΚΑΤΗ Η ΕΝΔΕΚΑΤΗ. ψευδόμενοι ἐπὰν λέγωσι τί μὴ εἰδέναι ἀληθῶς, πιθανώτερον δοκοῦσιν εἶναι. ΕΞΕΙΝΙΣΑ. φιλικῶς ὑπεδεξάμην. ΦΙΛΕΩΝ. φιλοφρονούμενος. ΔΗΜΟΘΕΝ. ἐκ τῆς πόλεως. ΙΕΡΕΥΣΑΣΘΑΙ. ἱερεῦσαι. ΠΛΗΣΑΙΤΟ. πληρώσειαν, κορέσειαν. ΠΕΣΕΝ. ἀντὶ τοῦ ἐπαύσατο. ΕΤΥΜΟΙΣΙ. τοῖς ἀληθέσιν. ΙΣΚΕ ΨΕΥΔΕΑ ΠΟΛΛΑ ΛΕΓΩΝ ΕΤΥΜΟΙΣΙΝ ΟΜΟΙΑ. τινὲς βούλονται τὸ ἔλεγον σημαίνειν. ἄλλοι δὲ τὸ ἴσκε τὸ εἴκαζεν, ὡμοίου. τὸ γὰρ ὅλον πολλὰ ψευδῆ λέγων εἴκαζεν ὥστε ὅμοια εἶναι ἀληθέσιν. ἀπὸ τοῦ εἴδω, ὃ μέλλων εἴσω. ΚΑΤΑΧΕΥΗ. ἄγαν ἐκχέει. ΠΛΗΘΟΥΣΙ. πλημμυροῦσι. ΠΑΡΗΙΑ. αἱ παρειαί. ΚΕΡΑ. τόξα, ἵνα

Amnisus. V. cretae

ξα, ἵνα



ξα, ἵνα ἢ τεταμένους εἶχε τοὺς ὀφθαλμοὺς ὥσπερ τόξα. ἢ ἄλλως τὴν φύσιν τοῦ κέρατος περιέλαβεν, σκληρὸν γάρ. ΤΑΡΠΗ. ἐκορέσθη, ἐτέρφθη. ἢ ἐξετράπη τοῦ γόου. ΠΟΛΥΔΑΚΡΥΤΟΙΟ. πολλῶν δακρύων αἰτίου. ΑΜΕΙΒΟΜΕΝΗ. ἐξ ἀμοιβῆς ἀποκρινομένη. ΠΕΙΡΗΣΕΣΘΑΙ. διάπειραν λήψεσθαι. ΞΕΙΝΙΣΑΣ. ὑπεδέξω. ΟΠΟΙ ΑΣΣΑ. ὁποῖα ἅτινα. ΑΜΦΙΣ ΕΟΝΤΑ. χωρὶς ὄντα, ἀπόντα. ΩΣ ΜΟΙ ΙΝΔΑΛΛΕΤΑΙ ΗΤΟΡ. ὥσμοι ἀναφέρει ἡ ψυχή. ὡς διαμέμνηται. ΠΟΡΦΥΡΕΗΝ ΟΥΛΗΝ. ἤτοι ὁλοπόρφυρον. ἢ τρυφερὰν. ΕΧΕ. ἀντὶ τοῦ περιεβέβλητο. ΠΕΡΟΝΗ. πόρπη. ΑΥΛΟΙΣΙ. ῥάβδοις εὐθείαις, εἰς ἃς κατακλείονται αἱ περόναι. ΔΙΔΥΜΟΙΣΙ. διπλαῖς, ἢ συμφυέσι περόναις. ΔΑΙΔΑΛΟΝ. κατασκεύασμα ποικίλον. ΠΡΟΤΕΡΟΙΣΙ. τοῖς ἐμπροσθίοις. ΕΛΛΟΝ. νεκρόν, νεογνὸν ἔλαφον. ΛΑΩΝ. ὁ μὲν ἀρίσταρχος ἀπολαύων, ἀπολαυστικῶς ἔχων. ὁ δὲ κράτης λάων φησίν, ἀντὶ τοῦ βλέπων ὅθεν κατὰ στέρησιν ἀλαὸς ὁ τυφλός, οἱ δέ φασιν ἀφῃρῆσθαι τὸ υ. ἵνα ᾖ ὑλάων. ἢ ἀπελαύνων. ΘΑΥΜΑΖΕΣΚΟΝ. ἐξεπλήττοντο. ΛΑΕ. οἱ μὲν ἐπεβλέπετο. οἱ δὲ ἀπολαυστικῶς ἤσθιεν. ΣΙΓΑΛΟΕΝΤΑ. ἁπαλόν. ΛΟΠΟΝ. λέπιον εἴρηται δὲ πρὸς τὸ ἰσχνὸν καὶ εὔτονον, παρὰ τὸν ὑμένα τοῦ λεπίσματος. ΚΑΤΑ ΙΣΧΑΛΕΟΙΟ. κατ' ἰσχνοῦ, καὶ λεπτοῦ. ΤΕΡΜΙΟΕΝΤΑ. οἱ μὲν τέλειον

Crates

συναποτερμαίζε-

περιμαλιζόμενον ὅλῳ τῷ σώματι. ποδήκη. οἱ δὲ σύμμετρον. καὶ μήτε ἐλλείποντα. μήτε ὑπέρμετρον. ΓΥΡΟΣ ΕΝ ΩΜΟΙΣΙ. περιφερὴς ἢ στρογγύλους ἔχων τοὺς ὤμους. ἢ κυρτός. ὁ τρόπος εἰκονισμός. ΑΡΤΑΙ. ἀσφαλῆ, βέβαια. ΑΝΑΓΝΟΥΣΗ. γνωρισάσῃ. ΑΝΑΙΡΕΟ. καταφθείρου. ΑΓΥΡΤΑΖΕΙΝ. ἀθροίζειν. ΕΤΕΡΟΝ Γ ΕΤΙ ΒΟΣΚΟΙ. ἐλλείπει γένος. ΚΡΥΦΗΔΟΝ. κρύφα, λαθραίως. Η ΜΕΝ ΤΗ. τούτῳ τῷ τρόπῳ. ΣΗΜΑΝΤΟΡΕΣ. οἱ κελευόμενοι δεσπόται. ΚΑΤΘΕΤΕ. ἀντὶ τοῦ στρώσατε. ΘΑΛΠΙΟΩΝ. θαλπόμενος, θερμαινόμενος. ΛΟΕΣΣΑΙ. λοῦσαι. ΠΕΡΕΙΜΙ. ὑπερβάλλω. ΑΥΣΤΑΛΕΟΣ. αὐχμῶν. ΔΑΙΝΥΗ. εὐωχεῖσθαι μέλλεις. ἄνθρωποι δὲ μινυνθάδιοι τελίουσι, τοῦτο πρὸς τὴν εὐφημίαν εἴρηκε. καὶ ἀναφέρεται ἐπὶ τὸ κλέος. ὀλιγοχρόνιοι γὰρ ὑπάρχοντες οἱ ἄνθρωποι, ὀφείλουσιν εὖ πράττειν ἐν τῷ βίῳ. καὶ φήμην ἀγαθὴν περὶ ἑαυτῶν ἀπολείπειν. ΕΨΙΟΩΝΤΑΙ. καθάπτονται, καὶ λοιδοροῦνται. ἢ ἐπιχαίρουσι, καὶ ἐφίδονται. ΦΟΡΕΟΥΣΙ. διαδιδόασι, διαφημίζονται. ΝΟΣΦΙΣΑΜΗΝ. ἐχωρίσθην. ΔΟΛΙΧΗΡΕΤΜΟΙΟ. μεγάλης, ἐπιμήκους. ΚΕΙΩ. κοιμηθήσομαι. ΙΑΥΟΝ. ἀνεπαυόμην. ΑΕΣΣΑ. ἐκοιμήθην. ΟΥ ΔΕ ΓΥΝΗ ΠΗΔΟΣ ΑΨΕΤΑΙ. διὰ τὸ ὑβριστικὸν τῶν γυναικῶν. ΕΙ ΜΗ ΤΙΣ ΓΡΗΥΣ ΕΣΤΙΝ. ἀθετοῦνται οἱ τρεῖς. πρῶτον μὲν ὅτι ἀδύνατον τὴν δυναμένην ἐπιγνῶναι. εἶτα δὴ καὶ γελοιόν τι εἴ τις

δὴ τέ



δὴ τέτληκε. τίς ὁ φθόνος τῶν σπουδαίων. ΤΗΛΕΔΑΠΩΝ. πόρρωθεν ἀφιγμένων. ΠΥΚΙΝΑ. συνετά. ΟΛΙΓΗ ΠΕΛΕΟΥΣΑ. ὀλίγον ἰσχύουσα, ἀσθενοῦσα. ΣΟΙΟ. τοῦ σοῦ. ΚΑΤΕΣΧΕΘΕ. κατεῖχε. ΕΨΕΙΟΩΝΤΟ. καθήπτοντο, ἐλοιδοροῦντο. ΚΥΝΕΣ. ἀναιδεῖς. ΝΙΖΕΙΝ. πλύνειν. ΤΩ ΣΕ ΠΟΔΑΣ ΝΙΨΩ. διό σου νίψω τοὺς πόδας. ΟΡΩΡΕΤΑΙ. τετάρακται. ΤΑΛΑΠΕΙΡΙΟΙ. ταλαίπωροι. ΙΚΕΛΩ. ὁμοίους. ΑΛΛΗΛΟΙΙΝ. ἀλλήλοις. ΛΕΒΗΤΑ. νῦν τὴν λεκάνην. ΕΞΑΠΕΝΙΖΕΝ. ἀπένιπτεν. ΕΠΗΦΥΣΕΝ. ἐπήντλησεν. ΛΑΒΟΥΣΑ. κατασχοῦσα. ΟΥΛΗΝ. τὸ ὑγιασθὲν τραῦμα. ΑΜΦΡΑΣΣΑΙΤΟ. ἐπιγνῷ. ΑΜΦΑΣΤΑ. ἔκδηλα, προφανῆ. ΠΑΡΝΗΣΣΟΝΔΕ. εἰς τὸν παρνασσόν, παρνασσὸς δὲ ὄρος δελφῶν. ΕΚΕΚΑΣΤΟ. ἐνίκα. ΠΟΛΥΑΡΗΤΟΣ. μετὰ πολλῶν εὐχῶν γενόμενος. ΟΔΥΣΣΑΜΕΝΟΣ. μισηθείς. ἢ ὀργὴν ἀναγών. ἢ βλάψας. ΕΠΩΝΥΜΟΝ. φερώνυμον. ΗΒΗΣΑΣ. ἐν ἀκμῇ ἡλικίας γενόμενος. ΑΜΦΙΘΕΗ. ἀντικλείας μήτηρ. ΠΕΡΙΦΥΣΑ. περιπλακεῖσα. ΠΡΟΣΕΒΑΝ. ἀντὶ τοῦ ἀνῆλθον. ΠΤΥΧΑΣ. τὰς ἀποκλίσεις. ΒΗΣΣΑΝ. τὴν πρόσβασιν τοῦ ὄρους. ΗΙΣΣΑΝ. ἐπορεύοντο. ΛΟΧΜΗ. συνδένδρῳ τόπῳ. ΔΙΑΗ. διέπνει. ΕΠΗΣΑΝ. ἐπήρχοντο. ΛΟΦΙΗΝ. τένοντα. ΗΛΙΘΑ. γίνεται ἐκ τοῦ ἀλίζω τὸ συναθροίζω, ἀθροίσεως ἐπίρρημα. σημαίνει τὸ ἀθρόως. τάττεται δὲ καὶ ἀντὶ τοῦ ματαίως, ὅθεν ἐπέχεον.

Parnass
M. P. II.

Σ. I. ἠλίθια

ἤλιθα χρῆσιν, ἀντὶ τοῦ ματαίως. ΓΟΥΝΟΣ ΥΠΕΡ.
ὑπὲρ ἄνω τοῦ γόνατος. ΔΙΗΦΥΣΕ. διέκοψε, διέσχισεν.
ΕΠΟΙΔΗ Δ' ΑΙΜΑ. διοκλῆς ἐπαοιδὴν παρέδωκε
τὴν παρηγορίαν, ἤκαιμον γὰρ εἶναι ταύτην, ὅταν τὸ
πνεῦμα τοῦ τεθραμμένου πρόσεχες ᾖ. ὃ ἐὰν ᾖ προ-
σηρτημένον τῷ παρηγοροῦντι. ὡς καὶ δι' ἑτέρων.
ἀλλὰ σὲ μὴ θεράπων πολύτροπε τῷ. ἔσχεθον δέ, ἀν-
τὶ τοῦ ἔπαυσαν. ΠΟΡΟΝΤΕΣ. δόντες, παρασχόντες.
ΕΠΙΜΑΣΣΑΜΕΝΗ. ἀντὶ τοῦ ἐφαψαμένη. ΧΑΡΜΑ
ΚΑΙ ΑΛΓΟΣ. σοφοκλῆς, χάρμα ὑφέρπει δάκρυον ἐκ-
καλούμενον. ΠΕΦΡΑΔΕΕΙΝ. ἐπιδεῖξαι, εἰπεῖν. ΕΤΡΑ-
ΠΕΝ. ἔτρεψεν. ΦΑΡΥΓΟΣ. τοῦ στόματος. ΕΦΡΑΣΘΗΣ.
ἐπέγνως. ΑΦΕΞΟΜΑΙ. ἀπόσχωμαι φείσομαι. ΕΞΩ. ἐν
ἑαυτῇ κατάσχω. ΚΑΤΑΛΕΞΩ. ἑκάστην εἴπω. ΝΗΛΙ-
ΤΕΙΣ. λίαν ἁμαρτωλαί. ἄλλοι ἀπέδοσαν τοῦ νη
ἐπιτατικοῦ ὄντος. ὡς ἐν τῷ νήχυτος ὄρνηξ. ἄμει-
νον δὲ τὰς ἀναμαρτήτους συγκειμένης τῆς λέξεως
ἐκ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ἀλιταίνειν. ἢν ἢ
ὅσαι ἁμαρτάνουσαι, καὶ ὅσαι οὔ. ΘΕΡΣΟΜΕΝΟΣ. θερ-
μανθησόμενος. ΟΝ ΤΙΝΑ Γ' ΥΠΝΟΣ ΕΛΗ. ὅτιον ἐμὲ
μὲν γὰρ οὐχ αἱρεῖ. ΚΟΙΤΟΣ. ἀντὶ τοῦ ὕπνος. ΠΥΚΙ-
ΝΑΙ. συνεχεῖς. ΜΕΛΕΔΩΝΑΙ. μέριμναι. ΩΣ Δ' ΟΤΕ
ΠΑΝΔΑΡΕΟΥ ΚΟΥΡΗ. διαφόρως τοῖς νεωτέροις οὐχ
ἡ πανδίονος, εἰ μὴ ἄρα διώνυμος ἦν πανδάρεως
ὁ μέροπος μιλησίου τὸ γένος. γίνονται δὲ ἀρ-

μοθόης

Sophocl



μοθόης τρεῖς θυγατέρες, ἀηδών, κλεοθήρα, μερόπη. οὗτος
κύνα κλέψας χρυσοῦν ἡφαιστότευκτον ἔμψυχον
ἐκ κρήτης ἐκ τοῦ διὸς τεμένους, παρεκατέθετο ταν-
τάλῳ. διὸς δὲ καὶ ἑρμοῦ ἀπαιτοῦντος αὐτόν,
ὤμοσεν ὁ τάνταλος μὴ ἔχειν. ὅθεν ὁ ζεὺς κατέ-
στρεψεν αὐτῷ σίπυλον τὸ ὄρος. τὸν μὲν οὖν κύ-
να ζεὺς δι' ἑρμοῦ ἀπέλαβεν. ὁ δὲ πανδάρης ἔφυ-
γεν εἰς ἀθήνας. κἀκεῖθεν εἰς σικελίαν, ἔνθα διε-
φθάρη μετὰ τῆς γυναικός. συνέβη δὲ τῶν θυγα-
τέρων αὐτοῦ κλεοθήρην μὲν καὶ μερόπην, ὡραίας
γενομένας, ἁρπασθῆναι ὑπὸ ἀνέμων, καὶ παραδο-
θῆναι ἐρινύσιν ὑπηρετεῖν. ἀηδὼν δὲ ἡ πρεσβυ-
τάτη ζήθῳ γαμηθεῖσα τῷ διὸς μὲν παιδί, ἀμ-
φίονος δὲ ἀδελφῷ, ἴτυλον ἔσχε παῖδα. φθονοῦ-
σα δὲ τῇ ὁμονύμφῳ τῇ ἀμφίονος γυναικὶ
νιόβῃ τῇ ταντάλου. τινὲς δὲ ἱππομεδούσῃ πλείο-
νας ἐχούσῃ παῖδας. ὧν ὁ ἄριστος ἦν ἀμαλδεύς
ἐπεβούλευεν τούτῳ καὶ τῶν ἀνεψιῶν συντρεφο-
μένων, ὅθεν καὶ συγκοιμᾶσθαι συνέβη κρύφα
παρῄνεσεν τὴν ἐνδοτέρω κοίτην ἐλέσθαι ὅπως
ἐπιβάλλοντος αὐτῇ νύκτωρ ὁ ἀμαλδεὺς γένηται.
καὶ τοῦ πάθους αὐτὴν σφόδρα καταλαβόντος,
ηὔξατο πᾶσι θεοῖς μεταστῆναι ἐξ ἀνθρώπων. καὶ
ἠλλάγη εἰς τὸ ὁμώνυμον χλωρίς. ἤτοι ἐν χλω-
ροῖς ὄρνεον διατρίβουσα. ἢ ἅμα τοῖς χλωροῖς

Σ.2. φαινομένη,

Merope

φαινομένη, ἔαρος γὰρ φαίνεται. ἢ διὰ τὸ χρῶμα, καὶ παρὰ Σιμωνίδῃ δὲ χλωραύχενες λέγονται αἱ ἀηδόνες. ΠΟΛΥΗΧΕΑ. πολλὰς μεταβολὰς ποιουμένην. ΚΟΥΡΟΝ. παῖδα. ΧΑΛΙΦΡΩΝ. κεχαλασμένας ἔχων τὰς φρένας. ἀσύνετος καὶ ἄφρων. ἐναντίος τῷ πυκινὰ φρεσὶ μήδε' ἔχοντι. ἔνιοι δὲ χαλίφρονα τὸν ἀκρατόφρονα. χάλις γὰρ ὁ οἶνος ὁ ἀναχαλῶν τὰς φρένας. ἀκρατόφρονα. ἐναντίον ἔσω τὸ φρεσὶ γὰρ κέχρηται οὐκ ἀγαθῇσι. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς χαλαφροσύνας γὰρ ἔμ' ἔχουσι. δηλοῦται διὸν ἀφροσύνα ἀντὶ τοῦ ἐξελθεῖν. ΥΠΟΚΡΙΝΑΙ. ἀντὶ τοῦ κρίνον. ΕΞ ΥΔΑΤΟΣ. ἔξω καὶ χωρὶς ὕδατος. ΑΓΚΥΛΟΧΕΙΛΗΣ. ἐπικαμπῆ ἔχων χείλη. ΗΞΕ. ἔκλασεν. ΕΚΕΧΥΝΤΟ. ἔκειντο. ΑΕΡΘΗ. ἐπήρθη. ΕΥΠΛΟΚΑΜΙΔΕΣ. εὔκοσμοι ἀπὸ μέρους. ΒΡΟΤΕΗ. ἀνθρωπίνη. ΥΠΑΡ. τὸ μεθ' ἡμέραν φαινόμενον ἐνύπνιον. ΥΠΟΚΡΙΝΑΣΘΑΙ. ἀποκρίνασθαι. ΑΠΟΚΛΙΝΟΝΤΑΙ. ἔξω τῆς ἀληθείας εἰπόντα. ΑΜΗΧΑΝΟΙ. πρὸς οὓς μηχανὴν εὑρεῖν οὐκ ἔστιν. ΤΕΛΕΙΕΤΑΙ. τελειοῦται καὶ πληροῦται. ΑΚΡΙΤΟΜΥΘΟΙ. ἄκριτα καὶ ἀδιάτακτα καὶ ἀδιάσαντα λέγοντες. Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων. οἱ μὲν φασὶ κερατίνην πύλην συνεκδοχικῶς τοὺς ὀφθαλμούς. κερατοειδὴς γὰρ ὁ πρῶτος χιτὼν τοῦ ὀφθαλμοῦ. ἐλεφαντίνην δὲ σῶμα καὶ ἔσωθεν ἐλεφαντοχρῶτας τοὺς ὀδόντας. ἐκ δὲ

τούτων



τούτων πιστότερα εἶναι τὰ ὁρώμενα τῶν λεγομένων. καὶ ὅτι διὰ μὲν κέρατος διόν τε καὶ ἰδεῖν. διὰ δὲ ἐλέφαντος οὔ. ἢ ὅσα ἄν τις ἐν πλησμονῇ τροφῆς ἴδοι, ταῦτα εἶναι ψευδῆ. κερατίνην μὲν τὴν ἀληθῆ, τὸ ἔτυμα κραίνειν καὶ τελειοῦν. ἐλεφαντίνην δὲ τὴν ψευδῆ. ἐλεφήρασθαι γὰρ τὸ παραλογίσασθαι καὶ ἀπατῆσαι. οὐ δ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων. τινὲς δὲ οὕτως ἀπέδοσαν. κερατίνην μὲν τὴν ἀληθῆ καὶ διαφανῆ καὶ λάμπουσαν. ἐλεφαντίνην δὲ τὴν ψευδῆ καὶ ἀσαφῆ καὶ συγκεχυμένην. οἱ δὲ φασὶν κέρασιν ἀπεικάζειν τοὺς οὐρανίους ὀνείρους, οἵτινες καὶ ἀληθεύουσι, διὰ τὰ κέρατα εἰς ὕψος ἀνατείνειν, ἐλέφαντι δὲ τοὺς χθονίους. τὰ γὰρ τῶν ἐλεφάντων κέρατα κάτω νεύει. διττοὺς δὲ οἶδεν ὀνείρους. ἐπὶ μὲν γὰρ τῶν οὐρανῶν φησίν. ἢ καὶ ὀνειροπόλον καὶ γὰρ τ' ὄναρ ἐκ Διός ἐστιν. ἐπὶ δὲ τῶν χθονίων, πὰρ δ' ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην. ἠδὲ παρ' ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων. ΤΕΤΕΥΧΑΤΑΙ. κατεσκευασμέναι εἰσί. ΕΛΕΦΑΙΡΟΝΤΑΙ. ἐξαπατῶσιν. ΕΤΥΜΑ. ἀληθῆ. ΑΠΟΣΧΗΣΕΙ. πόρρω καθέξει. ΠΕΛΕΚΕΑΣ. τὰ σιδήρια τε ξυπημένα. ΙΣΤΑΣΚΕ. ἵστα. ΔΡΥΟΧΟΥΣ. κυρίως μὲν τοὺς πασσάλους, ἐφ' ὧν τὴν τρόπιν τῶν καινουργουμένων πλοίων. ἐξῆς δὲ μάλιστα οὗτοι τίθενται. ἕνεκα τοῦ ἴσην γενέσθαι τὴν ναῦν. νῦν δὲ ἐφ' ὧν ἐτίθει τοὺς

 πελέκιας.

πελέκιας. ΔΙΑΡΡΙΠΤΑΣΚΕ. ἔρριπτεν, ἐτόξευεν. ΡΗΙΔΑΤΑ. ῥᾳδίως εὐκόλως. ΔΙΟΙΣΤΕΥΣΕΙ. τοξεύσει, διαπεράσει. ΕΠΟΙΜΗΝ. ἀκολουθήσαιμι. ΝΟΣΦΙΣΑΜΕΝΗ. καταλιποῦσα. ΑΝΑΒΑΛΛΕ. ὑπερτίθου. ΧΥΘΕΙΗ. ἐπιχυθῇ ἐπέλθῃ. ΘΕΝΤΩΝ. ἀποθεμένων, δηλονότι τῶν θεραπαινῶν. ΠΑΡΝΗΣΟΣ ΤΑΧΑ ΔΕ ΙΚΑΝΟΝ ΠΤΥΧΑΣ ΗΝΕΜΟΕΣΣΑΣ. Φιλωνὶς ἡ Δηΐονος θυγάτηρ οἰκοῦσα τὸν Παρνασσὸν ἐν αὐτῷ παρελέχθη καὶ Ἀπόλλωνι. εἶχε γὰρ τὸ κάλλος ἐράσμιον ἐπὶ τοσοῦτον, ὥστε καὶ τοὺς θεοὺς ζηλοτυποῦντας κατὰ τὸ αὐτὸ θελῆσαι μισγεσθῆναι. εἶτα ἐκ μὲν τοῦ Ἀπόλλωνος γίνεται Φιλάμμων ἀνὴρ σοφιστής, ὃς καὶ πρῶτος ἔδοκε χοροὺς συστήσασθαι παρθένων. ἐκ δὲ τοῦ Ἑρμοῦ, Αὐτόλυκος, ὃς οἰκῶν τὸν Παρνασσὸν πλεῖστα κλέπτων ἐθησαύριζεν. εἶχε γὰρ ταύτην τὴν τέχνην παρὰ τοῦ πατρός, ὥστε τοὺς ἀνθρώπους ὅτε κλέπτοι τι λανθάνειν καὶ τὰ θρέμματα τῆς λείας ἀλλοιοῦν εἰς ὃ θέλοι μορφῆς. ὥστε πλείστης αὐτὸν δεσπότην γενέσθαι λείας. ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ. Τῇ Νυκτέως Ζεὺς μίγνυται, ἐξ ἧς Ζῆθος γίγνονται καὶ Ἀμφίων. οὗτοι τὰς Θήβας οἰκοῦσι πρῶτοι καὶ καλοῦνται Διὸς κοῦροι λευκόπωλοι. γαμεῖ δὲ Ζῆθος μὲν Ἀηδόνα τὴν τοῦ Πανδαρέου, τῇ δὲ γίνεται Ἴτυλος καὶ Νηΐς. Ἴτυλον δὲ ἡ μήτηρ Ἀηδὼν ἀποκτείνει διὰ νυκτὸς δοκοῦσα εἶναι τὸν Ἀμφίονος παῖδα, ζηλοῦσα τὴν τοῦ

προειρημένου

*Philamo. Autolyc. Pherecy. Luscinia fabu.*



προειρημένου γυναῖκα, ὅτι αὐτῇ μὲν ἦσαν ἓξ παῖδες, αὐτῇ δὲ δύο. ἐφορμᾷ δὲ ταύτῃ ὁ Ζεὺς ποινήν. ἡ δὲ εὔχεται ὄρνις γενέσθαι. καὶ ποιεῖ αὐτὴν ὁ Ζεὺς ἀηδόνα. θρηνεῖ δὲ ἀεί ποτε τὸν Ἴτυλον, ὥς φησι Φερεκύδης.

*Pherecy*

τέλος τοῦ τ.

## ΕΙΣ ΤΗΝ Υ. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΕΥΝΑΖΕΤΟ. ἀνεπαύετο. ἑαυτῷ εὐνὴν παρεσκεύαζεν. ΚΑΜΜΕΝ. κατὰ μέν. ΑΔΕΨΗΤΟΝ. ἀνέργαστον, ἀμάλακτον. ΟΡΙΝΑΙΤΟ. ἐθυμοῦτο. ΥΛΑΚΤΕΙ. συνεχῶς ἐκινεῖτο. ΑΠΑΛΗΣΙΝ. ἁπαλαῖς. ΒΕΒΩΣΑ. ἑστῶσα. ΑΓΝΟΙΗΣΑΣΑ. ἀγνοούμενον ἰδοῦσα. ΑΓΑΛΟΜΕΝΟΥ. ἄγαν θαυμάζοντος ἢ χαλεπαίνοντος. ΗΝΙΠΑΠΕ. ἐνουθέτησεν. ΚΑΘΑΠΤΟΜΕΝΟΣ ΦΙΛΟΝ ΗΤΟΡ. καταστέλλων τὴν ἀπόστασιν ποιούμενος εἰς τὴν ψυχήν, ὥστε αὐτῆς ἅψασθαι τὰ λεγόμενα. ΕΝ ΠΕΙΣΗ. ἀντὶ τοῦ κατὰ χώραν οὐκ ἔστιν. ἦν ἐν ἀνέσει, ἀλλ᾽ ἐν δεσμοῖς ἔμενεν, ἢ ἐν οἷς ἐπέπειστο καὶ ἐγνώκει. οἷον οὐκ ἔμελλεν αὐτῷ. ΤΕΤΛΗΥΙΑ. καρτεροῦσα. ΝΩΛΕΜΕΩΣ. συνεχῶς. ΕΛΙΣΣΕΤΟ. ἐκυλίετο

 ἐστρέφετο.

ἐστρέφετο. ΑΙΟΛΛΗ. ποικίλως στρέφη ἢ κινεῖ. ΕΓΓΡΗΣΕΙΣ. γρηγορέσεις. ΑΟΛΛΕΕΣ. ἀντὶ τοῦ πολλοί. ΛΟΧΟΙ. τῶν πολεμίων συστήμων. ΑΡΗΣ. νῦν ὁ σίδηρος. ΕΛΕΤΩΣΑΝ. καὶ ὕπνος. ἀντὶ τοῦ κοιμήθητι. ΑΝΙΗ. καὶ τὸ φυλάσσειν. ἀνία ἐστὶ, τὸ δι' ὅλης νυκτὸς ἀγρυπνεῖν. ΑΨΟΡΡΟΥ ΩΚΕΑΝΟΙΟ. τοῦ κύκλῳ περινοστοῦντος τὴν γῆν καὶ ἀψ πάλιν ἐπὶ τὰ αὐτὰ ἀνακυκλουμένου. ΚΑΚΩΝ Δ' ΥΠΟΔΥΣΕΑΙ. κάκωσιν ὑπεισέλθης. ΗΔΗ. παραυτίκα. ΕΜΑΡΠΤΕ. κατέλαβεν. Η ΚΑΙ ΕΠΕΙΤΑ. νῦν ἀντὶ τοῦ παραυτίκα. ΗΕΡΟΕΝΤΑ ΚΕΛΕΥΘΟΝ. τὸν ἀέρα ἢ τὴν ἄδην. ΠΡΟΧΟΗΣ. τοῖς ῥεύμασιν. ΑΙ ΔΕ ΛΙΠΟΝΤΟ ΟΡΦΑΝΑΙ. προσέθηκε τὸ κεφάλαιον. ὕστερον γὰρ συνέβη. καὶ γὰρ οὐκ ὀρφανὰς αὐτὰς ἀνεστρέψατο ἡ ἀφροδίτη. ἀλλὰ πρὸ τῆς ὀρφανείας. τὸ δὲ ἑξῆς τοῦ λόγου, τῆσι τοκῆας μὲν φθίσαν θεοί. ἀφροδίτη δὲ πρὸς δία αἰτήσουσα αὐταῖς γάμον παρεγένετο. ἐν δὲ τούτῳ ἅρπυιαι αὐτὰς ἀνηρείψαντο. δι' ἔλεον δὲ αὐτὰς αἱ θεαὶ ἀνεστρέψαντο, ἀγνοοῦσαι τὸ πεπραγμένον. μόνος γὰρ ὁ ζεὺς οἶδε μοῖραν τε ἀμμορίην τε ὁμοίως. ΜΗΚΟΣ Δ' ΠΟΡΕ. κουροτρόφος γὰρ ἡ θεός. καὶ ἀδελφὸς ἀπόλλων. ΜΟΙΡΑΝ. εὐμοιρίαν εὐδαιμονίαν. ΑΜΜΟΡΙΗΝ. κακομοιρίαν. ὅ ἐστι κακομοιρίαν. ΣΤΥΓΕΡΗΣΙΝ. συγνότητος αἰτίαις. ΑΜΦΙΠΟΛΕΥΕΙΝ. ἀνδρῶν. ΑΝΕΚΤΟΝ. ἀνασχετόν. ΕΠΕΛΗΣΕΝ. λήθην ἐπήγαγεν.

Curotro phos



ἐπήγαγεν. ΣΥΝΕΛΩΝ. συναγαγών. ΘΥΡΑΣΕ ΦΕΡΩΝ. ἐνταῦθα οἱ μνηστῆρες. ΦΗΜΙΝ. κληδόνα, οἰωνόν. ΦΑΣΘΩ. εἰπάτω. ΥΨΟΘΕΝ ΕΚ ΝΕΦΕΩΝ. πῶς δὲ ὤν φησὶν, ἡ λέξις οὐδέποτε νέφος ἐστί. νῦν τὸν τόπον ἔφη ἀττικῶς. ἐν ᾧ εἴωθε συνίστασθαι τὰ νέφη. ἢ τῶν χρυσῶν νεφῶν ἃ ἦν ἐν οὐρανῷ. ἀλλ' ὃ γὰρ ἄκρῳ ΟΛΥΜΠΩ ὑπὸ χρυσέοισι νέφεσιν. ΕΙΑΤΟ ψιλῶς ἦν ἢ ἦσαν. ΕΠΕΡΡΩΟΝΤΟ. ἐρρωμένως ἐνήργουν. ΤΕΥΧΟΥΣΑΙ. ποιοῦσαι. ΑΛΕΙΑΤΑ. τὰ ἐκ τῶν πυρῶν ἄλευρα. ΑΛΑΣΣΑΝ. ἤλεσαν. ΕΒΡΟΝΤΗΣΑΣ ΑΠ' ΟΥΡΑΝΟΥ. οὕτως ἡ λέξις φησὶν κατὰ τὴν κοινὴν ὑπόνοιαν. ἢ ὅτι τὰ ὑψηλὰ τοῦ ὀλύμπου ἐπ' οὐράνια ἐστί. ΤΕΩ. τινί. ΚΡΗΗΝΟΝ. ἐπιτέλεσον. ΕΛΟΙΑΤΟ. μεταλάβοιεν. ΑΛΕΙΤΑΣ. τοὺς ἡμαρτηκότας. ΕΥΝΗΘΕΝ. ἐκ τῆς εὐνῆς. ἢ κοίτης. ΑΚΗΔΗΣ. ἀτημέλητος. ΕΚΠΛΗΓΔΗΝ. ἐκπληκτικῶς ἢ ἀκρίτως. καὶ ὡς ἂν τύχη. ἐμπελάζουσα τοῖς πράγμασι. ΣΙΤΟΥ Δ' ΟΥΚ ΕΤΕΦΗ. κατὰ τὸ σιωπώμενον ἐκδεκτέον τοῦτο. ΕΠΙΕΣΘΑΜΕΝ. ἐπεσκεπάσαμεν. ΑΓΡΕΙΤΕ. συναθροίζεσθε. ΚΟΡΗΣΑΤΕ. σαρώσατε. εἴρηται δὲ κατὰ ἀντίφρασιν, ὡς καὶ τὸ σάρον ὄφελμα καλεῖται οὐκ αὔξοντι, ἀλλὰ τοὐναντίον παραινούμενος καὶ μειοῦν. ΠΕΙΠΝΥΣΑΣΑΙ. σπουδαίως ἐνεργήσασαι. ΡΑΣΘΑΤΕ. ῥάνατε. ΑΜΦΙ ΜΑΣΑΣΘΕ. ἀπομάξετε. ἐπεὶ καὶ πᾶσιν ἑορτή. ταύτην τὴν ἡμέραν ἑορτὴν, καὶ

νουμηνίαν παρατίθησιν Ἀπόλλωνος ἱεράν. ἵνα τῶν ἀνδρῶν περὶ τῆς ἑορτῆς καταγινομένων, εὔκαιρον ἔχῃ τὸ ἐπιτίθεσθαι μνηστῆρσι. ΝΕΜΕΣΘΑΙ. διατρίβειν. ΜΑΛΛΟΝ ΕΙΣΟΡΟΩΣΙ. προσηνῶς ὁρῶσιν. ΟΥ Δ' ΑΙΔΟΙΣ ΜΟΙΡΑΝ ΕΧΟΥΣΙ. οὐ δὲ ὀλίγον αἰδοῦνται. ΠΑΝΤΩΣ. παντὶ τρόπῳ. ΓΕΥΣΑΣΘΑΙ. πειρασθῆναι. ΕΙΣΙ ΔΕ ΚΑΙ ΑΛΛΟΘΙ. οὐ διαπαντὸς ἀλλ' ἐπὶ τὴν ἑορτὴν τοῦ Ἀπόλλωνος. ΠΟΡΘΜΗΕΣ. οἱ παραφέροντες. ΔΥΟΩΣΙΝ. εἰς κάκωσιν μεταβάλλουσιν. ΕΠΕΩ ΔΗ ΓΕΙΝΕΑΙ. καθὸ ὁ πατὴρ ἀνδρῶν τε θεῶν τε. ΓΕΙΝΕΙ. γεννήσεις. ΙΔΙΟΝ. ἱδρῶσα ἠγωνίασα. ΛΑΙΦΕΑ. ῥάκη ἢ λεπτὰ ἱμάτια. ΥΠΟΣΤΑΧΥΟΙΤΟ. ἐπαύξοιτο. ΑΓΙΝΕΜΕΝΑΙ. ἄγειν κομίζειν. ΠΟΛΛΑ ΕΠΙΔΙΝΕΙΤΑΙ. ἐν τοῖς στήθεσιν ἀνακυκλεῖ ὁ λογισμὸς, πολλὰς στροφὰς λαμβάνειν. ΠΙΝΥΤΗ. σύνεσις. ΟΥ Δ' ΙΕΡΕΥΟΝ ΟΙΣ. παρατηρητέον ὅτι μόνους τοὺς μνηστῆρας θεοῖς θύοντας οὐκ οἴδαμεν. ΔΗΜΙΟΣ. δημόσιος. ΕΡΙΣΧΕΤΕ. κατάσχετε. ΕΝΙΠΗΣ. ἐπιπλήξεως. ἐνιπὴ ἡ διὰ λόγων ἐπίπληξις καὶ ἀπειλή, ἀπὸ τοῦ ἐνέπω. ΟΣ Δ' ΗΤΟΙ ΚΤΕΑΤΕΣΣΙ ΠΕΠΟΙΘΩΣ. ἠθικῶς δείκνυσιν ὁ ποιητὴς ὅτι οὐδὲν συλλαμβάνει πλοῦτος πρὸς σωφροσύνην. ΑΠΕΜΒΕΙΝ. στερίσκειν. ΔΩ. παρέχω. ΛΟΕΤΡΟΧΟΩ. σεσηρὸς ἐπ' ὀλέθρῳ. φησὶν τὸν ἡφαιστότευκτον ὑπὸ Διὸς Εὐρώπῃ δοθέντα φύλακα τοὺς ἐπιβαίνοντας τῇ Κρήτῃ ἰδίως τιμωρεῖσθαι.



τιμωρεῖσθαι. πηδῶντα γὰρ εἰς πῦρ καὶ θερμαίνοντα τὸ στῆθος περιπτύσσεσθαι αὐτούς. ὧν καιομένων ἐκεῖνον σεσηρέναι. ἔνιοι δὲ γίνεσθαι λέγουσιν, ἐν Σαρδοῖ τῇ νήσῳ σέλινον τοιοῦτον, ὃ τοὺς φαγόντας ξένους μετὰ σπασμοῦ σεσηρότας ἀπόλλυσθαι ποιεῖ. Τίμαιος δέ φησι τοὺς γεγηρακότας τῶν γονέων ἄγειν αὐτοὺς πρὸς βόθρον καὶ καταβάλλειν εἰς αὐτόν. τοὺς δὲ ὡς μακαρίως ἀποθνήσκοντας γελᾶν. ἄλλοι δὲ ἄλλως. ἄμεινον δὲ τὸ ἐπὶ καταμωκήσεως προσποιητὸν γέλωτα. παρὰ τὸ σεσηρέναι, ὅ ἐστιν ἀνοίγειν τὰ χείλη. ΑΕΙΚΕΙΑΣ. αἰκίας ἀπρεποῦς. ΦΑΙΗΝ. εἴποιμι. ΣΦΩΙΝ. αὐτοῖς. ΤΟ ΔΕ ΚΕΡΔΙΟΝ. τὸ μὴ βαλεῖν. ἐπεὶ αὐτὸς ἀπήρκεσε. ἢ τὸ βαλεῖν τὸν ξένον αἱρεῖται τὸ κέρδιον. ΡΥΣΤΑΖΟΝΤΑΣ. ῥυστάζειν ἐστὶ τὸ ΜΕΤΑ ΒΙΑΣ ΕΛΚΕΙΝ. παρὰ τὸ ἐρύω, ῥύω. ΝΟΣΤΗΣΕ. ἐπανῆλθεν. ΥΠΟΤΡΟΠΟΣ. ὑποστρέψας. ΝΕΜΗΑΙ. καρπίζῃ. ΔΙΑΤΡΙΒΩ. κωλύω. ΑΝΑΓΚΑΙΩ. ἀναγκαστικῷ. ΠΑΡΕΠΛΑΓΞΕΝ. ἐξηπάτησεν. ΑΙΜΟΦΟΡΥΚΤΑ. αἵματι μεμολυσμένα. ΕΙΛΥΑΤΑΙ. κεκαλυμμένα εἰσίν. ΔΕΔΗΕ. διεγήγερται. ΔΕΔΑΚΡΥΝΤΑΙ. δακρύων πεπλήρωνται. ΕΡΡΑΔΑΤΑΙ. περιέρρανται. ΗΕΛΙΟΣ ΔΕ ΟΥΡΑΝΟΥ ΕΞ ΑΠΟΛΩΛΕΝ. οὐχ ὡς ἐκλείψεως γεγενημένης, ἀλλ' ὅτι τοῖς μνηστῆρσιν ὁ ἥλιος ἐκλελοίπει. διέρχεται δὲ εὐτόνως ἐκ τῆς οἰκίας οἰκονομικῶς.

Sardoni
cus risus

οἰκονομικῶς. ΑΧΛΥΣ. ἀορασία. ΑΦΡΑΙΝΕΙ. μωραίνει. ΓΕΛΟΩΝΤΕΣ. γελωτοποιούμενοι, καταγελῶντες. ΚΑΚΟΞΕΙΝΟΤΕΡΟΣ. κακῶν ξένων ὑποδοχεύς. ΕΠΙΜΑΣΤΟΝ. ἐπιμαστεύοντα καὶ ἐπιζητοῦντα. ΕΜΠΑΙΟΙ. ἔμπειροι. ΕΣ ΣΙΚΕΛΟΥΣ. ἐγινώσκετο ἄρα τὰ κατὰ τοὺς σικελοὺς. οὐκ εἰκὸς οὖν ἐκεῖ τὴν πλάνην γεγονέναι. διαφέρουσι δὲ σικελιῶται σικελῶν. οἱ μὲν γὰρ ἕλληνες, οἱ δὲ βάρβαροι. ΠΡΟΣΕΔΕΡΚΕΤΟ. προσέβλεπε. ΚΑΤ' ΑΝΤΗΣΙΝ. ἀντικρὺς τοῦ ἀνδρῶνος. ἐν τῇ γυναικωνίτιδι. ΜΕΝΟΕΙΚΕΣ. δαψιλὲς πολύ. ΑΧΑΡΙΣΤΕΡΟΝ. ἀηδέστερον. ΩΣ Δ' ΟΤΕ ΠΑΝΔΑΡΕΟΥ ΚΟΥΡΑΣ ΑΝΕΛΟΝΤΟ ΘΥΕΛΛΑΙ. ΤΗΣΙ ΤΟΚΗΑΣ ΜΕΝ ΦΘΙΣΑΝ ΘΕΟΙ. ΑΙ Δ' ΕΛΙΠΙΤΟ ΟΡΦΑΝΑΙ ΕΝ ΜΕΓΑΡΟΙΣΙ. ΚΟΜΙΣΕ ΔΕ ΔΙ' ΑΦΡΟΔΙΤΗ ΤΥΡΩ ΚΑΙ ΜΕΛΙΤΙ ΓΛΥΚΕΡΩ ΚΑΙ Η ΔΕΙ ΟΙΝΩ. ΗΡΗ ΔΕ ΑΥΤΗΣΙ ΠΕΡΙ ΠΑΣΕΩΝ. ΔΩΚΕ ΓΥΝΑΙΚΩΝ ΕΙΔΟΣ ΚΑΙ ΠΙΝΥΤΗΝ. ΜΗΘΟΣ Σ' ΕΠΟΡΘ' ΑΡΕΜΙΣ ΑΓΝΗ. πανδάρεως ὁ μέροπος καὶ νύμφης ὀρεάδος παῖς μιλήσιος τὸ γένος, γήμας ἁρμοθόην τὴν ἀμφιδάμαντος, ἴσχει παῖδας τρεῖς. ἀηδόνα, καὶ κλεοθήραν, καὶ μερόπην. ἃς τρέφουσιν ἀφροδίτη καὶ ἀθηνᾶ καὶ ἥρα. πανδάρεως δὲ παραγενόμενος εἰς κρήτην, κλέπτει τὸν τοῦ διὸς κύνα. καὶ αὐτὸν οὐκ ἤνεγκεν εἰς μίλητον δείσας τὸν δία. παρὰ

ταντάλου

A
a
D
Siceli — siceliotae

Merope uide an sit haec de qua Arist. plutar. Italj



ταντάλου δὲ εἰς φρυγίαν κατατίθεται φάμενος ἄγειν ἐκ φοινίκης τοῦτον. ὁ δὲ τάνταλος δεξάμενος ἐφύλασσεν. ἔπειτα κελεύσαντος διὸς ἑρμῆν ἐρευνᾶν τὸν κύνα παραγίνεται πρὸς τάνταλον. ὁ δὲ ἀρνεῖται καὶ ὄμνυσι τὸν δία καὶ τοὺς ἄλλους θεοὺς, μὴ συνειδέναι τι περὶ τοῦ κυνός. ὁ δὲ ἑρμῆς εὑρίσκει αὐτὸν παρ' αὐτῷ. ὡς δὲ ὁ πανδάρεως ἐπύθετο φεύγει ἐκ τῆς πατρίδος σὺν τῇ γυναικὶ ἁρμοθόῃ. καὶ ταῖς θυγατράσιν ἀγάμοις οὔσαις κλεοθήρᾳ τε καὶ ἀηδόνι τε καὶ μερόπῃ εἰς ἀθήνας. ἐκ δὲ ἀθηνῶν εἰς σικελίαν. ὁ δὲ ζεὺς αὐτὸν ἰδὼν κτείνει σὺν τῇ γυναικί. ταῖς δὲ θυγατράσιν αὐτοῦ τὰς ἁρπυίας ἐφορμᾷ. αἱ δὲ ἀνελόμεναι. ἐρινύσιν αὐτὰς διδόασιν δουλεύειν. οὐ μὴν ἀλλὰ καὶ νόσον αὐταῖς ἐμβάλλει ζεύς. καλεῖται δὲ αὕτη κύων. ΟΥ ΓΑΡ ΔΗ ΜΝΗΣΤΗΡΕΣ ΑΠΑΙΣΣΟΝΤΑΙ ΜΕΓΑΡΟΙΟ. ἀλλὰ μάλα εἰρηναῖον σε ἐπεὶ καὶ πᾶσιν ἑορτή, τὴν νεομηνίαν, πάντων τῶν θεῶν νομίζουσιν εἶναι. ταύτην γὰρ οἱ πρόγονοι τοῖς θεοῖς ἀνέθεσαν, διὰ τὸ πρώτην αὐτὴν εἶναι τοῦ μηνός. πάσας τε τὰς ἀρχάς. προσῆψαν αὐτοῖς ὀρθῶς ποιοῦντες. τοὺς γὰρ ἁπάντων ἄρχοντας τοὺς ὁμοίους δεῖ γεραίρειν, καὶ τῶν σίτων τὰς ἀπὸ ἀρχὰς πᾶσι τοῖς θεοῖς ἀπονέμομεν. τῷ δὲ ἀπόλλωνι ταύτην εἶναι νομίζειν τὴν ἡμέραν εἰκότως τὸ πρῶτον φῶς

Meropis historia

Canis morbus

τὸν φῶς παρὰ αἰτιωτάτῳ τοῦ πυρός. ἐκάλουν τε αὐτὸν καὶ νεομήνιον. ἡ ἱστορία παρὰ Φιλοχόρῳ. ΜΕΙΔΗΣΕ ΔΕ ΘΥΜΩ ΣΑΡΔΙΟΝ ΜΑΛΑ ΤΟΙΟΝ. οἱ τὴν σάρδον κατοικοῦντες ἀπὸ καρχηδονίων ὄντες, χρῶνται νόμῳ τινὶ βαρβαρικῷ καὶ πολὺ τῶν ἑλλήνων διηλλαγμένῳ. παρὰ γὰρ κρόνῳ θύουσιν ἡμέραις τισὶ τεταγμέναις οὐ μόνον τῶν αἰχμαλώτων τοὺς καλλίστους, ἀλλὰ καὶ τῶν πρεσβυτέρων τοὺς ὑπὲρ ἑβδομήκοντα ἔτη γεγενημένους. τούτοις δὲ θυομένοις, τὸ μὲν δακρύειν αἰσχρὸν εἶναι δοκεῖ καὶ δειλόν, τὸ δὲ ἀσπάζεσθαι καὶ γελᾶν ἔσχατον. καὶ προϊόντων ἀνδρῶδές τε καὶ καλόν. ὅθεν φασὶ καὶ τὸν ἐπὶ κακῷ προσποιητὸν γέλωτα κληθῆναι σαρδόνιον. ἡ δὲ ἱστορία παρὰ Δήμωνι.

Τέλος τοῦ υ.



# ΕΙΣ ΤΗΝ Φ. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

ΤΗ Δ' ΑΡ ΕΠΙ ΦΡΕΣΙ ΘΗΚΕ. ὁ δὲ ἀντὶ τοῦ δὲ τίθησι ἡ δέ. τόξον. ἵνα ἐὰν μὲν πλείους ἐντείνωσι, στασιάσωσιν. ἐὰν δὲ μηδεὶς ἀνάσιοι τῆς μνηστείας φανῶσιν. ΚΛΗΜΑΚΑ ΔΥΨΗΛΗΝ. τὴν αὐταῖς γυναικωνίτιδος εἰς τὴν ἀποθήκην ἵνα τὴν κλεῖν λάβῃ. ΕΣΧΑΤΟΝ. νῦν δὲ ἐνδότατον. ΠΟΛΥΚΜΗΤΟΣ. ὑφ' ὧν πολλὰ κάμνουσιν. ΕΝΘΕΝ ΔΕ ΤΟΞΟΝ ΕΚΕΙΤΟ. προνοητικῶς οὐκ ἐν τῷ ἀνδρῶνι ἵνα μὴ ὑπὸ τοῦ καπνοῦ ἡ νευρὰ ῥαγῇ. κώπη δὲ ἐλέφαντος ἐπῆεν. ἡ λαβὴ τοῦ ξίφους ἡ κόπτειν δυναμένη. παρὰ δὲ κοπὴ ἀναβιβασμῷ καὶ τροπῇ κώπη. καὶ ἡ τῶν ἐρετῶν κώπη λέγεται παρὰ τὸ κόπτειν τὸ ὕδωρ. ΛΑΚΕΔΑΙΜΟΝΙ. νῦν ἐν τῇ χώρᾳ. ΤΥΧΗΣΑΣ. συντυχών. ΕΠΙΕΙΚΕΛΟΣ. ὅμοιος. ΜΕΣΣΗΝΗ. τῇ μεσσηνιακῇ χώρᾳ ἥτις ἦν μέρος τῆς λακεδαίμονος πρὸ τῆς τῶν ἡρακλειδῶν καθόδου. ΟΙΚΩ ΕΝ ΟΡΤΙΛΟΧΟΙΟ. ἐν φράσει. ΜΕΤΑ ΧΡΕΙΟΣ. διὰ ὄφλημα. ΑΕΙΡΑΝ. νῦν ἥρπασαν. ΕΞΕΣΙΗΝ. δημοσίαν ἔκπεμψιν. ΠΑΙΔΝΟΣ. παῖς νέος. ΜΕΓΑΛΩΝ ΕΠΙΣΤΟΡΑ ΕΡΓΩΝ.

μεγαλουργόν

μεγαλουργὸν ἐπὶ μεγάλοις ἔργοις ἱστορούμενον, ἐπιστήμονα. ΜΕΓΑΣ ΕΥΡΥΤΟΣ. ἐπὶ τοξικῇ. ΑΡΧΗΝ ΞΗΝΟΣΥΝΗΣ. ἀρχὴν ποιούμενον ξενίας. ΠΡΟΣΚΗΔΕΟΣ. διὰ ποιότητος κηδεμονικῆς, ἔχειν πρὸς ἀλλήλους. ΟΣΟΙ ΤΟΞΟΝ ΕΔΩΚΕ. τρίτον εἴρηκε τὴν δόσιν ἐπεὶ διὰ μέσου τινὰ παρενέθηκε. ΗΡΕΙΤΟ. ἐλάμβανεν. ΚΕΣΚΕΤΟ. ἔκειτο. ΑΠΕΛΥΣΕ ΚΟΡΩΝΗΣ. τὸ κλεῖθρον ἑκατέρωθεν ἐξήρτητο πρὸς κρίκον ὥστε δι' οὗ διελκομένου εἰς τοὐναντίον ἀνοίγεσθαι. ΚΟΡΩΝΗΣ. κρίκου κόρακος. ΑΝΕΚΟΠΤΕΝ. ἀνέκρουεν ἄνωθεν. ΟΧΗΑΣ. νῦν τὰς λεγομένας βαλάνους τὰς ἐν τῷ λεγομένῳ χελωνίῳ κατ' ἀντικρὺ τῆς κλειδός. ἃς περιάγοντες καὶ ἀνοίγοντες. ΓΩΡΥΤΩ. τῇ θήκῃ τοῦ τόξου. ΟΓΚΙΟΝ. ἔστι μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις. σημαίνει δὲ ἀγγεῖον σιδηροῦν ἐν ᾧ ἔγκειντο οἱ ὄγκοι. ὄγκοι δέ εἰσιν οἱ πώγωνες τῶν ἀκίδων. ἐν ἄλλοις, ὡς δὲ ἴδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας. συνεκδοχικὸν τῶν ὄγκων ἀγγεῖον. ὡς κρεῖον τὸ κρεοδόχον ἀγγεῖον. ὀγκίον οὖν ἡ θήκη τῶν ἀκίδων. εἴρηται δὲ παρὰ τὸ ὀγκώδες εἶναι. ΤΟΙΟ. τοῦ ἰδίου. ΕΧΡΑΕΤΕ. ἐβιάσασθε ἐβαρήσατε. ΜΥΘΟΥ. νῦν διὰ στάσεως. ὅθεν καὶ ἀνακρέων· τοὺς ἐν τῇ σάμῳ ἁλιεῖς ὄντας στασιαστάς φησιν. μυθηταί δ' ἀννήσῳ μεγίστῃ διέπουσιν ἱρὸν ἄστυ. ἀντὶ τοῦ στασιασταὶ μυθηταί. ΕΠΙΣΧΕΣΙΗΝ. νῦν σημαίνει

κρίκου κόραξ

ὄγκοι

ὄγκοι

κρέον

Αναιτέ- ον

κρέον τὸ κρεοδόχον ἄγγεον



μαίνει πρόφασιν. ἐπὶ μόνης δὲ χρεία τῶν προφασιζομένων εἰς τὸ ψεύδεσθαι καὶ τὸ μὴ ἀληθεύειν. ἐν ἀλκαίῳ ὅς οὐδ' ἔτι μυνάμενος ἀλλὰ τὸ νόημα, ἀντὶ τοῦ προφασιζόμενος, ἀλλαχοῦ ἀποστρέπων τὸ ἑαυτοῦ νόημα. ΤΟ ΔΕ ΦΑΙΝΕΤ' ΑΕΘΛΟΝ. τὸ ἐμὲ γῆμαι. ΘΗΣΩ. προτίθημι. ΔΥΟΚΑΙΔΕΚΑ ΠΑΝΤΩΝ. εἰ γὰρ ἐν μέσοις ἐστὶ τὸ βέλος ἔξαθλος ἦν, ὡς ἐλλείπων τῇ δυνάμει. ΕΦΗΜΕΡΙΑ ΦΡΟΝΕΟΝΤΕΣ. τὸ παραυτίκα μόνον φρονοῦντες, οὐ προνοοῦντες τοῦ μέλλοντος τόξα. νῦν τὴν σύμπασαν σκευήν. ΑΑΑΤΟΝ. ἐπιβλαβῆ, ἢ ἄνευ βλάβης. ΜΕΤΑ. ἀντὶ τοῦ ὑπάρχει. ΑΤΙΜΑ. ὑβρίζειν. ΜΗΝΗΣΙ. προφάσεσιν. ΜΥΣΑΝΤΑ ΤΑ ΟΜΜΑΤΑ ΣΚΕΠΕΣΘΑΙ. τί χρὴ δρᾶν. τούτου δὲ χάριν προφασίζονται ἵνα ἐπιμείνωσιν. οἱ δὲ κατασιωπῶντες παρὰ τὸ μύειν τὸ στόμα. ΠΑΡΕΛΚΕΤΕ. ὑπερτίθεσθε. ΑΠΟΤΡΩΠΑΣΘΕ. ἀποτρέπεσθε. ΤΑΝΙΣΤΥΟΣ. διὰ στάσεως τοῦ ἐντανυσμοῦ. ΣΙΔΗΡΟΥ. τῶν πελέκεων. ΑΝΑΞΕ. συνεπίλωσεν. ΟΠΩΠΕΙ. θεασάμενος ἦν. ΠΕΙΡΗΤΙΖΕ. διάπειραν ἐλάμβανε. ΠΕΛΕΜΙΖΕΝ. ἔκαμπτεν. ΚΟΡΩΝΗ. τῷ ἄκρῳ τοῦ τόξου. ΟΡΝΥΣΘΕ. ἀνίστασθε. ΕΠΙΔΕΞΙΑ. ἐκ τοῦ δεξιοῦ μέρους. ΟΘΕΝ Τ' ΕΠΙΟΙΝΟΧΕΥΕΙ. εὔλογον ἐστὶν εἰσιόντος εἰς τὸν ἀνδρῶνα ἐν δεξιᾷ κεῖσθαι τὸν κρατῆρα. ΜΥΧΑΙΤΑΤΟΣ. ἐνδότατος. ΕΧΘΡΑΙ. μισηταί. ΑΤΡΙΠΤΟΙΣ. ἀήθεσ. ΚΕΚΑΔΗΣΕΙ. στερήσει χωρίσει.

Alcaeus

ΕΔΝΟΙΣΙ ΔΙΖΟΜΕΝΟΣ. πλήθει ἕδνων ζητῶν. βία γὰρ καὶ ῥώμη οὐ λήψεται. ῬΥΤΗΡΑ ΒΙΟΙΟ. ἑλκυστῆρα τόξου. ΚΗΙΟΝ. καῦσον. ΕΙΚΕ. ἄγαγε κόμισον. ΘΑΛΠΟΝΤΕΣ. θερμαίνοντες. ΒΙΗΣ ΕΠΙΔΕΕΣ. δυνάμεως ἐνδεεῖς, ἤτοι τῆς τόξου, ἢ τῆς ὀδυσσέως. ΕΠΕΙΧΕ. ἐπέσχετο. ὁ ἀντίνοος ἐπεῖχε καὶ ἐκώλυσεν αὐτοὺς πρὸς τὸ παρὸν χρήσασθαι τῷ τόξῳ. φαίνεται δὲ ὁ ἀντίνοος ἑξῆς λέγων μὴ δεῖν τε εἶναι τὸ τόξον. ἑορτῆς οὔσης τοῦ τοξικοῦ θεοῦ καὶ εὐρύμαχος πείθεται τῷ δ' ἐξ οἴκου βῆσαι. εἰς τὸ πρόδομον ἐξῆλθον πιθανῶς ἐπεὶ μακρῷ πρόσθεν ὁ ἀντίνοος φησὶν κλαίετον ἐξελθόντες καὶ ἅμα ἵνα τῷ ὀδυσσεῖ συμβάλωσιν. ΠΟΙΟΙ ΚΕ ΕΙΤΕ. τὸ πλῆρες ποῖοί κε εἴητε. τὸ δὲ ἐπισημαινόμενον περὶ ἂν εἴητε κατὰ τὴν γνώμην. ΕΝΕΙΚΑΙ. ἐνέγκοι ἀγάγοι. ΔΥΝΑΜΙΣ ΚΑΙ ΧΕΙΡΕΣ ΕΠΟΝΤΑΙ. τῇ δυνάμει καὶ χεῖρες ἀκολουθοῦσιν. ΣΦΩΙΝ. ὑμῖν. ΥΠΟΤΡΟΠΟΝ. ἐξ ὑποστροφῆς. ΕΥΓΝΩΤΟΝ. ἀσφαλῶς γνωρίσητε. ΑΠΟΕΡΓΑΣΘΕΝ. ἀφεῖλεν, ἀπεκάλυψεν. ΚΛΗΙΣΑΙ. ἐπικλεῖσαι. ΕΝ ΕΡΚΕΣΙ. τοῖς τειχίοις. ΠΡΟΒΛΩΣΚΕΙΝ. προϊέναι ἔξω. ΙΗΛΑΙ. ἐπιβαλεῖν. ΣΕΛΑ. τῇ φλογί. ΕΛΕΓΧΕΙΗ. ἀδοξία. ΤΟΙΟ ΘΕΟΙΟ. τοῦ θεοῦ τοῦ ἐπὶ τοῦ τόξου. ΚΑΤΑΘΕΙΟΜΕΝ. ἀποθώμεθα. ΕΞΟΧΟΙ. ὑπερέχουσαι. ΕΠΕΙ ΚΑΙ ΤΟΥΤΟ ΕΠΟΣ. ὁ ἀντίνους, πρὸς γὰρ τὸ δεύτερον τὸ πρότερον. ΕΠΙΤΡΕΨΑΙ ΔΕ ΘΕΟΙΣΙΝ.

εἶξαι



εἶξαι καὶ συγχωρῆσαι τῇ ἑορτῇ. ΑΛΗ. πλάνη. ΑΚΟΜΙΣΤΙΗ. τὸ ἀνεπιμέλητον εἶναι διαφέρουσι. ΥΠΕΡΦΙΑΛΟΙΣΙ. νῦν τοῖς κατ' ἀρετήν. ῬΗΙΔΙΟΣ. γνώμην. ΤΡΩΕΙ. τιτρώσκει βλάπτει. ΧΑΝΔΟΝ. ἀθρόως ἐν κεχηνότως. ΑΙΣΙΜΑ. δεόντως. ΟΙΝΟΣ ΚΑΙ ΚΕΝΤΑΥΡΟΝ ΑΓΑΚΛΕΙΤΟΝ. εὐρυτίων ὁμῶς μοῦ ἕνα τῶν ἐν τῷ πειρίθου γάμῳ κενταύρων ἀπολλομένων τὸν εὐρυτίωνα λέγει, ὅτε τὴν ἀδράστου θυγατέρα λέγω δὴ ἱπποδάμειαν πειρίθους πρὸς γάμον ἀγόμενος ἐκάλεσε καὶ τοὺς συγγενεῖς λαπίθας κενταύρους. ὑπὸ μέθης δὲ οἱ κένταυροι προαχθέντες τῶν λαπιθῶν, ἁπάξαι τὰς γυναῖκας ἐπεχείρησαν. οἱ δὲ ὀργισθέντες ἀνεῖλον τοὺς κενταύρους. βακχυλίδης δὲ διάφορον οἴεται τὸν εὐρυτίωνα. φησὶν γὰρ ἐπιξενωθέντα δεξάμενος ἐν ἤλιδι ὑβριστικῶς ἐπιχειρῆσαι τῇ τοῦ ξενοδοχοῦντος θυγατρί, καὶ διὰ τοῦτο ὑπὸ ἡρακλέους ἀναιρεθῆναι κυρίως τοῖς οἴκοις ἐπιστάντος. ΑΜΗΣΑΝΤΕΣ. κόψαντες. ΑΑΣΘΕΙΣ. βλαβείς. ΟΧΕΩΝ. ὑποφέρων ἢ ἔχων καὶ βαστάζων. ΑΕΣΙΦΡΟΝΙ. φρενοβλαβεῖ. ΕΠΙΤΥΟΣ. μεταθέσεως. ΗΦΙ. τῇ ἑαυτοῦ. ΠΙΘΗΣΑΣ. πιστεύσας θαρρήσας. ΤΟΥ ΕΙΝΕΚΑ. τούτου χάριν, ὅτι οὕτως ἐμὲ ἄξεται. ΟΥ ΔΕ ΕΟΙΚΕ. τοῦτο ὑμᾶς ἐννοεῖν. ΔΙΑ Δ' ΗΚΕ. διέπεμψε, διεπέρασεν. ΕΥΠΗΓΗΣ. εὐπαγής. ΝΗΣΟΙΣΙ ΠΡΟΣ ΗΛΙΔΟΣ.

Cétauro rú. fa

Bacchyli

ταῖς περὶ τὸ δειλίχιον. ΚΑΘΑΠΑΞ. καθόλου. τοῦτο δὲ οὕτως ἔχει παρὰ τῷ ποιητῇ ἀπὸ τῆς προκειμένης λέξεως λήγουσης εἰς ξ. καὶ ἡ ἑξῆς ἄρχεται ἀπ' αὐτοῦ. ΠΛΑΓΚΤΗ. παραπλὴξ τὴν διάνοιαν πεπλανημένη. ΙΛΗΚΗΣΙ. ἵλεως γένηται. ΟΠΛΟΝ. σχοινίον. ΒΙΒΛΙΝΟΝ. κανναβινον. οἱ δὲ τὸ ἐκ παπύρου. ΑΝΑΣΤΡΟΦΩΝ. ἀναστρέφων. ΠΕΙΡΩΜΕΝΟΣ. καταμανθάνων. ΙΠΕΣ. θηρία ἐσθίοντα τὰ κέρατα παραπλήσια κώνωψι. κατενόει δὲ μὴ ἄρα ἄλωκα αὐτῷ γένηται καὶ ἑτέρᾳ δέον χρήσασθαι μηχανῇ. ΘΗΚΤΗΡ. θαυμαστικός, ἔμπειρος. ΕΠΙΚΛΟΠΟΣ. ἐπιθυμητὴς ὀρεκτικὸς κλέπτης. κλέπτειν γὰρ τὸ ἐπιθυμεῖν. καὶ κλέπτης ὁ ἐπιθυμητὴς τῶν ἀλλοτρίων. ΕΦΟΡΜΑΤΑΙ. προτεθύμηται, τοσοῦτον ὀνήσεως ἀντιάσειεν ὁ νοῦς. εἴθε καὶ ἐπὶ τοσοῦτον ὄνησιν ἂν βούλεται λάβοι. ἢ οὕτως. εἴθε τοσοῦτον μετάσχοι ὡς οὐ δυνήσεται ἐνταῦσαι. ΟΝΗΣΙΟΣ. ὠφελείας ἢ τῆς βρώσεως ἣν εἰλήφει παρὰ τῶν μνηστήρων. ΝΕΩ. ἀντὶ τοῦ καινοῦ. ΚΑΛΛΟΠΙ. κολλάβῳ, εἴρηται δὲ παρὰ τὸ κόλλα. ΑΨΑΣ. ἐκδήσας. ΕΝΤΕΡΟΝ ΟΙΟΣ. τὴν χορδὴν. ΧΡΩΣ. ἡ χροιά. ΤΙΤΙΣΚΟΜΕΝΟΣ. κατασοχαζόμενος. ΕΤΡΑΠΕΤΟ. ἐτράπη ἠλλοιώθη. ΚΟΙΛΗΣ. βαθείας διὰ τὸ γεγλύφθαι. ΠΗΧΕΙ. τῷ τοῦ τόξου κέρατι. ΠΡΩΤΗΣ ΣΤΕΙΛΕΙΗΣ. ἀπὸ πρώτης γὰρ ὅ τι τῶν πελέκεων διηνεκῶς ἔλθεν. ΧΑΛΚΟΒΑΡΗΣ. ὁ ἀπὸ σιδήρου ἰσχυρός. ΕΛΕΓΧΕΙ.



ΧΕΙ. ἐπονείδιστον τίθησιν. ΟΝΟΝΤΑΙ. ἐκφαυλίζουσιν. ΝΥΝ Δ' ΩΡΗ ΚΑΙ ΔΟΡΠΟΝ. παρέλκει τὴν διάνοιαν αὐτῶν. τὸ μὲν ὅλον δεῖπνον, ἀντὶ τοῦ θανάτου. τὸ δὲ ἑψιάασθαι ἀντὶ τοῦ οἰμώζειν. ΕΨΙΑΑΣΘΑΙ. τέρπεσθαι. ΑΜΦΕΘΕΤΟ. ἐπέθηκεν ηὐτρέπισεν. ΔΩΔΕΚΑ ΙΦΙΤΟΣ ΑΥΤΑΙ. ἴφιτος εὐρύτου μὲν παῖς, οἰχαλιεὺς δὲ τὸ γένος ἀπολλομένων αὐτῷ τῶν ἵππων περιῄει τὰς πέριξ ἐθνῶν πόλεις εἴπου φανεῖεν. πολυΐδου δὲ τοῦ μάντεως εἰπόντος αὐτῷ μὴ παραγίνεσθαι εἰς τίρυνθα χάριν ζητήσεως, οὐ γὰρ εἶναι συμφέρον. λέγεται παρακούσαντα παραγενέσθαι. τὸν δὲ ἡρακλέα μηχανῇ τινι καὶ στρατηγίᾳ συνεφελκυσάμενον αὐτὸν ἄγειν εἰς ὑψίκρημνον τεῖχος, καὶ καταστρέψαι. διὰ τὸ πρὸς αὐτὸν ἔχειν ἔγκλημα καὶ τὸν πατέρα ὅτι τελευτήσαντι αὐτῷ τὸν ἆθλον. τὴν ἰόλην γαμεῖν οὐκ ἔδωκαν. ἀλλ' ἀτιμάσαντες ἀπέπεμψαν. λέγεται δὲ ὡς ἀγανακτήσας ὁ ζεὺς ἐπὶ τῇ ξενοκτονίᾳ. προσέταξεν ἑρμῇ λαβόντα τὸν ἡρακλέα πωλῆσαι δίκην τοῦ φόνου. τὸν δὲ εἰς λυδίαν ἀγαγόντα τῇ τῶν τόπων βασιλευούσῃ ὀμφάλῃ δοῦναι τριῶν τιμηθέντα ταλάντων, ἡ ἱστορία παρὰ φερεκύδῃ. ΕΞ ΟΥ ΚΕΝΤΑΥΡΟΙΣΙ ΚΑΙ ΑΝΔΡΑΣΙ ΝΕΙΚΟΣ ΕΤΥΧΘΗ. ΟΙ ΤΕ ΑΥΤΩ ΠΡΩΤΟΝ ΚΑΚΟΝ ΕΥΡΕΤΟ. ἰξίων ὁ δίος παῖς λαπίθης τὸ γένος. κοινωνὸς γὰρ τῶν θεῶν τραπέζης

γενόμενος. καὶ πιὼν πολὺ τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας, ἀγάμενος, οὐχ ὅπως αὐτὸς ἀμοιβὰς τῆς ὑπὲρ εὐεργεσίας ἐσκέπτετο. ἀλλὰ διὰ τῆς ἐμφύτου κακίας, ἐπείραζε τὸν τῆς Ἥρας γάμον. ὑποπτεύσασα δὲ ἡ θεὸς, ἀνήνεγκε τῷ Διὶ τὴν Ἰξίονος λύσσαν. ὁ δὲ ἐνθυμούμενος ζηλῶ πάλιν τοῦτο ταύτην δρᾶν διαβάλλουσαν τοὺς ὑπ' αὐτοῦ γεγενημένους, ἔκ τινος ὅμως ἐπιτεχνήσεως τῆς Ἰξίονος ἐπειρᾶτο γνώμης. σκοπῶν δὲ εὗρε τὸ ἀληθές. νεφέλην γὰρ Ἥρᾳ παρεικάσας, μόνην ἐν τῷ θαλάμῳ τοῦ Ἰξίονος κατέλιπεν. ὁ δὲ ὡς Ἥραν ἐβιάσατο. τοῦτο οὖν ὁ Ζεὺς ἀγανακτήσας ἴσῳ θανάτῳ περιέβαλε τιμωρίᾳ. γευσάμενον γὰρ αὐτὸν τῆς ἀμβροσίας, οὐκ ἦν αὐτὸν ἀποθανεῖν. ἀλλὰ τροχοὺς ποιήσας ὑποπτέρους ἔδησε τὸν Ἰξίονα πρὸς τὰς τῶν τροχῶν κνημίδας. καὶ εἴασε κατὰ τὸ σφαιροειδοῦς φέρεσθαι βοῶντα. ὡς τοὺς εὐεργέτας ἀμείβεσθαι προσῆκεν. γίνεται δὲ ἐκ τῆς νεφέλης παῖς Ἰξίονος διφυής. τὰ μὲν κατώτερα μέρη τοῦ μηροῦ ἔχων, αἱ γὰρ νεφέλαι ἵπποις ἐοίκασι. τὰ δὲ ἀνώτερα μέρη ἀπὸ τοῦ ὀμφαλοῦ μέχρι τῆς κεφαλῆς τοῦ πατρὸς Ἰξίονος. φρόνιμος δὲ οὗτος κατὰ μανικωτάτην ἀκόλαστον εἶχε τὴν ὁρμὴν πρὸς τὰς συνουσίας. ᾤκει γοῦν τῆς πατρὸς ἀκολασίᾳ καὶ πολλάκις ἐπλησίαζε ταῖς κατὰ τὸ Πήλιον ἵπποις. ἐντεῦθεν λέγεται τὸ τῶν κενταύ-

Ixionis & cétaurorú fabula

ρων.



ρων ἀναφῦναι γένος. ὅθεν ἐπὶ τὸν Πειρίθουν ἐπίκλησιν Ἰξίονος υἱὸν ὄντα λαμβάνειν ἤθελε γύναιον παρὰ τῶν συγγενῶν κενταύρων τὴν βάσιν. τοῦ προὔχοντος αὐτὸν παρθένον Ἱπποδάμειαν. ἡ ἱστορία παρὰ Πινδάρῳ.

Pindar

τέλος τοῦ φ.

## ΕΙΣ ΤΗΝ Χ. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΝ.

ΑΥΤΑΡ Ο ΓΥΜΝΩΘΗ ΡΑΚΕΩΝ. τὰ ῥακώδη ἀπεδύσατο ἐσθῆτα. οὐχ ὅλως ἀλλὰ τῶν περὶ τοῦ καὶ ῥακωδῶν τὰ σκέποντα τὰ ἀναγκαῖα ἔχων. ἐξῆς γὰρ οὖν ἡ Εὐρύκλεια φησίν. μὴ δ' οὕτω ῥάκεσι πεπυκασμένος εὐρέας ὤμους ἕσταθι. ΙΘΥΝΕΤΟ. ἐπιτηδείας ἐτόξευεν. ΑΜΦΩΤΟΝ. τὸ ἐξ ἑκατέρων τῶν μερῶν ὦτα ἔχον. ΕΠΙΣΧΟΜΕΝΟΣ. ἐπιλαβόμενος. ΑΥΛΟΣ ΑΙΜΑΤΟΣ. τὸ ἐξακόντισμα ὁ κρουνὸς τοῦ αἵματος. πᾶν γὰρ τὸ στενὸν ἔλεγον. ὅθεν καὶ τοὺς στενοὺς ποταμοὺς ἐναύλους. ΤΟΞΑΖΕΑΙ. τοξεύων ἐπιτυγχάνεις. ΝΕΙΣΘΑΙ. ἐλθεῖν ἐπανήξειν. ΚΑΤΕΚΕΙΡΑΤΕ. κατεδαπανᾶτε. ΥΠΕΜΝΑΑΣΘΕ. ὑπεφθείρετε λεληθότως

ἐναυλ

 ἐμνηστεύεσθε.

ἐμνηστεύεσθε. περὶ δὲ τῆς ἐπιβουλῆς τοῦ τηλεμάχου οὐκ ὠνείδιζεν ἴσως. ἐπεὶ προβεβουλευμένοι ἠμύνοντο. ἔφη πειρήσω ὥς κε ὕμμι κακὰς ἐπὶ κῆρας ἰάλλω. ἰάλλω ἀντὶ τοῦ ἠγνοήσατε. ΕΣΕΣΘΑΙ. ἀναγνωστέον ἦν ἢ δείσαντες ἔσεσθαι. ΕΠΙΠΛΕΝ. συνέστησεν. ΑΜΦΙΣ ΑΓΟΝΤΕΣ. χωρὶς ἕκαστον διδόντες. ΕΕΙΚΟΣΑΒΟΙΟΝ. εἰκοσιβοῶν ἄξιον. ΠΑΡΑΚΕΙΤΑΙ. πρόκειται εἰς αἵρεσιν. ΤΟΞΑΣΕΤΑΙ. τοξεύσει. ΦΑΣΓΑΝΑ ΤΕ ΣΠΑΣΑΣΘΕ. δὲ ξιφοβόρους ἢ οἱ παλαιοί. ΑΝΤΙΣΧΕΣΘΕ. προβάλλεσθε. ΕΧΩΜΕΝ. ἐπίωμεν. ΠΕΡΙΡΗΔΕΙΣ. περικλασθεὶς ἢ περιῤῥαγεὶς. ἢ περιῤῥυόμενος. ἢ περιῤῥυεὶς. ἢ περιφερής. ΔΙΝΩΘΕΙΣ. ἐπιστραφείς. ΟΔΥΣΣΗΟΣ ΕΕΙΣΑΤΟ. ὡς ἐπὶ ὀδυσσέα ὥρμησεν. ΦΘΗ. προέλαβεν. ΤΗΛΕΜΑΧΟΣ ΚΑΤΟΠΙΣΘΕ. ἐγγὺς τοῦ ὀδυσσέως γενόμενον τὸν ἀμφίνομον παραλλάξας κατὰ τοῦ νώτου ἔβαλεν. πιθανῶς δὲ πρώτην ἀριστείαν τηλεμάχου διέθετο. ἐν ᾗ τὸν πατέρα διέσωσεν. ΑΠΟΡΟΥΣΕΝ. ἀφώρμησεν. ΕΛΑΣΕΙΕΝ. πλατεῖ τῷ ξίφει πλήξειεν. ΠΡΟΠΡΗΝΕΙ. κατὰ στόμα τῷ ξίφει ὀρθὸς εἰς τοὔμπροσθεν μὴ ἀνατείνας ἀλλὰ νύξας ὑπτίως. οἱ μὲν γὰρ νύττοντες πλατὺ ἔχουσι τὸ ξίφος. οἱ δὲ πλήττοντες πλάγιον. ΑΜΦΙΒΑΛΕΥΜΑΙ. καθοπλίσομαι. ΤΕΤΕΥΧΗΣΘΑΙ. κεκαθωπλίσθαι. ΟΙΣΑΙ. κόμισον. ΟΡΣΟΘΥΡΗ. ἐν τῷ τοῦ οἴκου ἐναντίῳ τοίχῳ θύρα ἦν δι' ἧς εἰς τὸν θάλαμον ἀναβῆναι ἔνθα τὰ ὅπλα





ἔκειτο. εἶπεν δὲ οὕτως. ἐπεὶ ὑψηλοτέρα ἦν, ἐφ' ἣν ἦν ὀροῦσαι καὶ ἀναθορεῖν. ΛΑΥΡΗΝ. στενὴν ὁδὸν δι' ἧς οἱ λαοὶ ῥέουσι καὶ φεύγουσι οἱονεὶ ἄμφοδον. ΕΙΣΑΙ. καλῶς ἡρμοσμέναι. ΕΦΟΡΜΗ. ἔξοδος. ἦν δὲ ἑνὸς μόνου ἔξοδος ἐν τῷ ἀντικρὺς τῆς εἰσόδου τοίχῳ τοῦ ἀνδρῶνος. ἐν τῇ δεξιᾷ γωνίᾳ ἦν ὀρσοθύρα ἥτις εἰς τὴν λαύραν ἔφερεν. ἡ δὲ λαύρα στενωπός ἐστι παρακείμενος ἔξωθεν τοῦ ἐν δεξιᾷ τοίχου ἐν ᾧ καὶ ὁ θάλαμος, οὐ πηνελόπης. ἀλλ' ἐν ᾧ τὰ ὅπλα ἔκειτο. αὕτη δὲ ἡ λαύρα ἔξοδον ὡς εἰς τὸν πρόδομον εἶχεν. ἑνὸς δὲ ἦν ἔξοδος ὀρσοθύρα. λαύρα θάλαμον ἀνδρῶν. ΟΥΔΟΣ. πρόδομος. ΣΤΟΜΑ. ἀρχή. ΡΩΓΑΣ. ῥήγματα θυρίδας ἢ τὰς τῆς οἰκίας ὑπερῴας διόδους. ΕΞΕΛΕΝ. ἐξήγαγεν. ΑΜΒΡΟΤΟΝ. ἀντὶ τοῦ ἔπταισα. ΑΓΚΛΙΝΑΣ. ἀνοίξας. ΦΡΑΣΑΙ. κατανόησον. ΣΦΩΙ. ὑμεῖς οἱ δύο. ΣΑΝΙΔΑΣ Δ' ΕΚΔΗΣΑΙ. τὸ ἑξῆς σφῶϊν ἀποστρέψαντες σειρὴν δὲ πλεκτὴν ἐπ' αὐτοῦ πειρήναντε κίονα ὑψηλὴν ἐρύσαι σανίδας δ' ἐκδῆσαι. ἢ ὄπισθεν κλείσατε τὰς θύρας μετὰ ταῦτα. ΣΕΙΡΗΝ. πλέγμα σχοινίον. ΠΕΙΡΗΝΑΝΤΕΣ. ἐκδήσαντες. ΕΡΥΣΑΙ. ἀναρτῆσαι. ΑΖΗ. εὐρῶτι ἢ ξηρασίᾳ. ΚΟΥΡΙΖΩΝ. νέος ὤν. ΦΟΡΕΕΣΚΕ. ἔφερεν, ἐβάσταζεν. ΚΟΥΡΙΞ. ὁ μὲν ἀρίσταρχος τῆς κόμης ἐπιλαβόμενοι. ὁ δὲ κράτης κουρὶξ ὁ νεανίσκος. ΤΡΥΦΑΛΕΙΑ. περικεφαλαία, τρίφαλλα τις οὖσα ἢ τρεῖς φάλους ἔχουσα.

γρ. σκώπτων



ΕΔΡΟΝ. ἐδέσματα. ΦΥΛΑΞΕΙΣ. παρατηρήσεις. ΚΑΤΑ-
ΛΕΓΜΕΝΟΣ. καθεύδων. ΕΠΙΘΕΝΤΕ. κλείσαντες.
ΟΙΟΜΕΝΟΣ. ἀντὶ τοῦ πεπιστευμένος. ΠΑΡΑΙΠΕ-
ΠΙΘΗΣΙΝ. πείσῃ. ΚΤΕΩΜΕΝ. ἀνέλωμεν. ΚΡΑΑΤΙ.
τῇ κεφαλῇ. ΤΙΣΕΙΣ. ἀποδώσεις. ΕΝΔΟΘΙ. ἐν τῷ
οἴκῳ. ΑΥΤΑ ΜΝΗΣΤΗΡΩΝ ΟΛΟΦΥΡΕΑΙ. νῦν ἀπο-
δειλιᾷς. ἡ ὑποκρίνῃ ὑποδεέστερος γίνῃ. ἢ ἐλλείπει ἡ
περί. ἵν᾽ ᾖ περὶ μνηστήρων. ΑΓΜΑΤΑ. αὐχήσεις. ΛΕΙ-
ΠΟΝΤΑΙ. καταλειφθήσονται. ΛΙΓΔΗΝ. ὥστε ἐπιλῆξαι. ὅ
ἐστι ἐπιψαῦσαι ἐπιπολαίως μόνον τοῦ ἔξωθεν ἐπι-
φανείου τοῦ σώματος. ΠΟΛΥΘΕΡΣΙΔΗ. πολυθέρσου
παῖ. ΦΙΛΟΚΕΡΤΟΜΕ. ὁ τὸν φίλον σκώπτων. ΜΕ-
Γ᾽ ΕΙΠΕΜΕΝ. ἀντὶ τοῦ καυχήσασθαι. ΕΠΙΤΡΕΨΑΙ. ἐπι-
τροπὴν ποιῆσαι. ΑΛΥΤΕΥΟΝΤΙ. μεταιτοῦντι. ΗΡΙΠΕ
ΔΕ ΠΡΙΝΗΣ. οὗτος ἐπ᾽ αὐτῷ πίπτει τῶν πλαγίων.
ΕΠΤΟΙΗΣΘΗΝ. ἐν εὐλαβείᾳ καὶ φόβῳ ἐγένοντο.
ΑΓΕΛΑΙΑΙ. νομάδαι αἱ ἀγελαῖαι. ΟΙΣΤΡΟΣ. ὁ λεγόμε-
νος μύωψ. ἔστι δὲ ζῶον ὑπόχαλκον τὴν μορφήν. ὅπερ
ἐὰν εἰσέλθῃ εἰς τὰ ὦτα τῶν βοῶν ἐξοιστρεῖν ἀναγκά-
ζει τοὺς βόας. καὶ Καλλίμαχος βοὺς στόμ᾽ οὔτε μύω-
πα βοῶν καλέουσιν ἀμορβοί. ΕΔΟΝΗΣΕΝ. ἐκίνησεν.
ἐτάραξεν. ΚΡΑΤΩΝ. αὕτη ἡ γενικὴ ἀπὸ εὐθείας τὸ
κράτα. ὡς μῆλα. ὥσπερ οὖν μήλων οὕτως κρά-
των. σημαίνει δὲ τῶν κεφαλῶν τῷ οὐκ ἂν θάνατον
τε δυσηλεγέα προφύγοιεν. εὐλόγως τὸν εἰδότα μὴ
ἀναιρεῖ.

Oestrus

Φιλοκέρτομος. ὁ τὸν
φίλον σκώπτων. nota
pro theocrito



ἀναιρεῖ. εἴτε γὰρ μὴ ἦν μάντις ἀληθής, ἀλλ᾽ ἐσκέπτε-
το ἄξιος ἀποθανεῖν, καὶ γὰρ οὗτος εἷς τῶν μνηστήρων.
εἴτε προήδει ὡς τὰ μέλλοντα ἔμενε μετ᾽ αὐτῶν.
ΣΠΕΣΘΑΙ. ἀκολουθῆσαι. ἀπὸ τοῦ ἕπεται τὸ ἀπαρέμ-
φατον ἕπεσθαι. καὶ πλεονασμῷ τοῦ σ. ἕπεσθαι ὅμως.
ἅμα σπέσθαι. ΕΟΙ. αὐτῷ ἤγουν ἀκολουθῆσαι. ΔΥΣΗ-
ΛΕΓΕΑ. δυσκοίμητον. ΟΦΡΑ. ὅπως δή. ΤΕΡΠΙΑΔΗΣ.
τέρπιος παῖς. ἢ ὁ τέρπων. ΚΗΑΝ. ἔκαυσαν. ΠΡΟ-
ΣΑΙΞΑΣ. προσορμήσας. ΑΥΤΟΔΙΔΑΚΤΟΣ. ἐκ φύ-
σεως δεδιδαγμένος. ΚΗΔΕΣΚΕΤΟ. ἐφρόντιζεν.
ἐπεμελεῖτο. ΝΕΟΔΑΡΤΟΝ. νεωστὶ ἐκδαρέν. ΠΕΡΙΣΘΕ-
ΝΕΩΝ. ἤτοι περιουσίας ἰσχύων. ΕΙΡΟΙΣΘΑ. εἴποις.
ΚΑΚΟΕΡΓΙΗΣ. κακῆς πράξεως. ΕΖΕΣΘΕ. καθέ-
ζεσθε. ΠΟΛΥΦΗΜΟΣ. πολλοὺς εὐφημῶν. ἢ πολλοὺς
φημίζων. ΟΤΤΕΟ. ὑπὸ ἂν. ΥΠΟΚΛΟΠΕΟΙΤΟ. ὑπο-
κλέπτοιτο. ΠΟΛΥΩΠΩ. πολλὰς τρύπας ἔχοντι τῷ
δικτύῳ. ΚΙΝΗΣΑΣ. κόψας κρούσας. ΠΑΛΑΙΓΕΝΕΣ.
πρεσβῦτα. ΟΛΟΛΥΞΑΙ. εὔξασθαι. ΟΥΧ ΟΣΙΗ. οὐ δί-
καιον. ΑΝΑΙΔΕΙΗΣ ΕΠΕΒΗΣΑΝ. ἐπὶ πολὺ τῆς ἀναι-
δείας ἐπῆλθον. ΜΗΠΩ ΤΗΝ Δ ΕΠΕΓΕΙΡΕ. ἐκώλυ-
σεν γὰρ ἂν κολασθῆναι τὰς δούλας. ΕΙΣ Ε. πρὸς
ἑαυτόν. ΑΡΧΕΤΕ. ἄρξασθε. ΘΟΛΟΥ. κυκλοτεροῦς οἰ-
κήματος, ἀπὸ τοῦ περιθεῖν. εἰς ὃ τὰ καθ᾽ ἑκάστην ἡ-
μέραν εἰς χρῆσιν πίπτοντα. ΑΠΕΤΙΘΕΝΤΟ. οἷον κρα-
τῆρας καὶ ἐκπώματα, καὶ τὰ ὅμοια. ΚΤΕΙΝΕΜΕΝΑΙ.
κτείνειν.

θόλος
tholus
la boti
Uesia

τὸ πλεῖον. ΕΡΕΙΔΟΥΣΑΙ, ἐπιθλίψασαι. ΛΙΣΤΡΟΙΣΙ, τοῖς ξυστῆρσιν ἀπὸ τῆς λειάνσεως. ΕΙΛΕΟΝ, ἀπέκλειον. ΣΤΕΙΝΕΙ, στενῷ τόπῳ. ΕΡΚΕΙ, νῦν ἀντὶ τοῦ δικτύῳ. ΘΑΜΝΩ, δασεῖ φυτῷ. ΑΥΛΙΝ, κοίτην. ΘΕΙΟΝ, θεῖον. ΑΚΟΣ, ἴαμα. ΘΕΕΙΩΣΩ, καθάρω. ΘΗΙΟΝ, θεῖον ἄπυρον. ΔΙΕΘΕΙΩΣΕΝ, περιήγνισεν. ΑΙΝΟΜΕΝΑΙ, ἐπιλαμβανόμεναι. ΗΤΟΙ Ο ΚΑΛΟΝ ΑΛΕΙΣΟΝ ΑΝΑΙΡΗΣΕΣΘΑΙ ΕΜΕΛΛΕΝ ΧΡΥΣΕΟΝ ΑΜΦΩΤΟΝ. ΚΑΙ ΔΗ ΜΕΤΑ ΧΕΡΣΙΝ ΕΝΩΜΑ ΟΦΡΑ ΠΙΟΙ ΟΙΝΟΙΟ. ΦΟΝΟΣ ΔΕ ΟΙ, ΟΥΚ ΕΝΙ ΘΥΜΩ ΜΕΜΒΛΕΤΟ τίς κοίοιτο μετ' ἀνδράσιν. Διονύσιος ὁ θρᾷξ ἐν ταῖς μελέταις, ἵνα φησὶν τὸ πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. ἀφ' οὗ παροιμίαν διαδεδόσθαι. προστιθέμενος δὲ Ἀντίνοος τὸ πῶμα βάλλεται. λέγει δὲ ἀριστοτέλης περὶ τῆς παροιμίας οὕτως, ἀγκαῖος ὁ Ποσειδῶνος καὶ ἀστυπαλαίας σάμιος ὢν τὸ γένος, ἔχων ἱκέτην ἀπὸ κρήτης, ἐκέλευσεν αὐτῷ προσφέρειν πρὸ τὸν πίνειν. εἰπόντος δὲ αὐτοῦ ὡς οὐ δυνήσεται πιεῖν, ὅθεν ἐντεῦθεν αἱ ἄμπελοι τυγχάνουσιν. αὐτὸς ὁ ἀγκαῖος κατακροτομήσας τοὺς θαλλόντας, ἔλαβε τὴν κύλικα καὶ προσέθετο. λέξαντος δὲ ἐκείνου πολὺ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. ἄφνω συνέβη θρέμμα συὸς μεγάλου ἐπιβαρῆσαι τοῖς τοῦ ἀγκαίου χωρίοις. ἀκούσαντα δὲ αὐτὸν, ἀπὸ τῶν χειλέων τὴν κύλικα καταθεῖναι καὶ δραμεῖν ὡς τὸν ἄγριον ὗν.

*Dionysi thracis* — *Aristoteles* — *Ancaei & apri fa*

συμβαλόντα



συμβαλόντα δὲ τῷ κάπρῳ τελευτῆσαι. ἔνθα φησὶν καταντῆσαι τὴν παροιμίαν. ΟΙ ΔΕ ΦΕΒΟΝΤΟ ΚΑΤΑ ΜΕΓΑΡΙ ΒΟΕΣ ΩΣ ΑΓΕΛΑΙΑΙ. ΤΑΣ ΜΕΝ ΤΕ ΑΙΟΛΟΣ ΟΙΣΤΡΟΣ ΕΦΟΡΜΗΘΕΙΣ ΕΔΟΝΗΣΕΝ. ὁ οἶστρος ἀπογεννᾶται ἐκ τῶν ἐν τοῖς ποταμοῖς πλαγίων ζωαρίων τῶν ἐπιπλεόντων τὰ ὕδατα. διὸ καὶ πλεῖστα περὶ αὐτὰ γίνονται. ὁ δὲ μύωψ ἐκ τῶν ξύλων ἐγγεννᾶται. καὶ καλλίμαχος περὶ τοῦ μύωπος βόσσοον, ὅντε μύωπα βοῶν καλέουσιν ἀμορβοί. εἰσὶ δὲ οὗτοι πολέμιοι τοῖς βουσίν. ὅταν δὲ κατὰ τὴν λαπάραν αὐτοὺς δρύψωσιν, εὐθέως ἀπολιμπάνουσι τὴν νομὴν σοβηθέντες. ἔστι δὲ ὁ μὲν οἶστρος μυίᾳ παραπλήσιος, κέντρον ἔχων εὐμεγεθὲς ἐκ τοῦ στόματος καὶ φωνὴν μεγάλην βομβάδη. ὁ δὲ μύωψ παρόμοιος τῇ κυνομυίᾳ· τὸ τε κέντρον ἔλαττον ἔχει τοῦ οἴστρου. ἱστορεῖ περὶ τούτων ἀριστοτέλης ἐν τοῖς περὶ ζώων. Τέλος τῶν χ.

*οἶστος — μύωψ — Callimach — Oestrus qd Myops qd Aristoteles*

## ΕΙΣ ΤΗΝ Ψ. ΟΔΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΝ.

ΙΚΑΕΤΑΙ, παραγέγονεν. ΚΗΔΕΣΚΟΝ, ἐκάκουν. ΒΙΟΩΝΤΟ, ἐβιάζοντο. ΜΑΡΓΗΝ, μαινομένην ἀναίσθητον. ΜΕΜΗΝΥΑΝ, ἔκφρονα. ΧΑΛΙΦΡΟΝΕΟΝΤΑ, κεχαλασμένας ἔχοντα τὰς φρένας. ΗΛΙΘΙΟΝ.

ΘΙΟΝ. ματαιόφρονα. ΑΙΣΙΜΗ. καθήκουσα. ΗΣΘΑ. ὑπῆρχες. ΛΩΒΕΥΕΙΣ. χλευάζεις, εἰς λώβην καὶ ὕβριν ἄγεις. ΠΟΛΥΠΕΝΘΕΑ. πολλῶν πενθῶν καὶ λυπῶν πεπληρωμένην. ΠΑΡΕΞ ΕΡΕΟΥΣΑ. παρὰ τὸ δέον λέγουσα. ΑΠΕΠΕΜΨΑ. ἀπεδίωξα. ΣΕ ΔΕ ΤΟΥΤΟ ΓΕ ΓΗΡΑΣ ΟΝΗΣΕΙ. τὸ μὴ μεθ' ὕβρεως ἀποπεμφθῆναι. ἢ δίον εἰ καὶ τὰ ἄλλα σοι βαρύ ἐστι τοῦτό σε ὀνήσει. ΛΩΒΕΥΩ. ὑβρίζω. ΑΤΥΖΟΜΑΙ. ἐκπλήττομαι ταράσσομαι. ἀτύω, ὁ μέλλων ἀτύσω, καὶ κατὰ παραγωγὴν ἀτύζω αἰολικόν. ΕΤΥΜΟΝ. ἀληθές. ΟΞΕΙΝΟΣ. ςικτέον μετὰ τοῦτο. ἠθικῶς δὲ ὁ ξένος ἐστὶν ὁ ὀδυσσεύς. ΕΧΟΝ. ἀντὶ τοῦ ἠσφαλισμέναι ἦσαν. ΚΡΑΤΑΙΠΕΔΟΝ. τὸ ἔδαφος. ΘΕΕΙΟΥΤΑΙ. περιαγνίζει, καθαίρει. ΕΥΦΡΟΣΗΝΗΣ ΕΠΙΒΗΤΟΝ. θυμηδίας ἐπιβήσετε, εὐφρανθῆναι ποιήσετε. ΠΕΠΟΣΘΕ. πεπόνθατε. ΜΕΓ' ΕΠΕΥΧΕΟ. μεγαλαύχει. ΑΣΠΑΣΤΟΣ. εὐκταῖος. ΤΕΚΟΜΕΣΘΑ. ἐγεννήσαμεν. ΕΣΧΑΡΗ. ἔνθα τὸ πῦρ καίεται. τοῦτό ἐστι δὲ βωμὸς ἰσόπεδος οὐκ ἐκ λίθων ὑψούμενος. ΕΜΕΘΕΝ. περὶ ἐμαυτῆς. ΠΕΡΙΔΩΣΟΜΑΙ. συνθήσομαι. ΕΞΕΡΕΕΙΝΟΙ. ἀνακρίνειεν τῷ λόγῳ. ΕΝ ΠΥΡΟΣ ΑΥΓΗ. ἐν τῷ πεφωτισμένῳ τόπῳ καὶ πεφλογισμένῳ ἀπὸ τοῦ πυρός. ΕΝΩΠΙΔΙΩΣ ΕΣΙΔΕΣΚΕΝ. φανερῶς ἄντικρυς πρόσωπον ἀφορῶσα ἐγνώριζεν. ΑΓΝΩΣΑΣΚΕ. ἠγνόει. ΔΥΣΜΗΤΕΡ. ἐπὶ καλῷ μήτηρ λεγομένη. ΑΝΕΙΡΕΑΙ. τὰ





περὶ τοῦ ἔρωτος. ΤΕΤΗΠΕΝ. ἐκπέπληκται. ΠΡΟΣΦΑΣΘΑΙ. προσειπεῖν. ΓΝΩΣΟΜΕΘΑ. γνωριοῦμεν. ΠΕΙΡΑΖΕΙΝ. διάπειραν λαμβάνειν. ΦΡΑΣΕΤΑΙ. γνωρίσει. ΟΠΙΣΩ. μετὰ τὸν τῆς ἀπολείας χρόνον. ΠΗΟΥΣ. τοὺς πόρρωθεν συγγενεῖς. ΕΡΜΑ. ἔρεισμα, βοήθημα. ΛΕΥΣΣΕ. σκόπει, λογίζου. ΦΙΛΟΠΑΙΓΜΟΝΟΣ. φιλοῦντος παίζειν. ΚΛΕΟΣ ΕΥΡΥ. ἡ πολλὴ περὶ τοῦ φόνου κληδὼν. ΠΟΛΥΜΝΗΣΤΗΝ. τὴν μάλιστα πολυμνήστην κυρίως ἐπὶ πηνελόπης. ΕΙΡΥΣΘΑΙ. κρατῆσαι. ΑΤΕΡΑΜΝΟΝ. σκληράν. ΣΙΔΗΡΕΟΣ. ἰσχυρός. ΜΕΓΑΛΙΖΟΜΑΙ. ἐπαίρομαι. ΕΚΘΕΙΣΑΙ. ἔξω ἀποθέμενοι. ΑΛΛΟΣ ΕΘΗΚΕ. ἀλλαχοῦ ἀπέθετο. ΚΑΜΟΝ. μετὰ καμάτου ἐποίησαν. ΑΚΜΗΝΟΣ ΘΑΛΕΘΩΝ. ὁ ἀκμὴν ἔχων τοῦ θάλλειν ἐπὶ μὲν τούτου ὀξυτόνησεν. ἐπὶ δὲ τοῦ ἐν ἰλιάδι δηλοῦντος τὸ νῆστις ἐβαρυτόνησεν. οἱ δὲ τὰ δύο παροξυτόνησαν. ΑΜΦΙΒΑΛΩΝ. κτίσαν. ΛΙΘΑΚΕΣΣΙ. μικραῖς λίθοις. ΚΟΡΜΟΝ Δ' ΕΚ ΡΙΖΗΣ ΠΡΟΤΑΜΩΝ. ἀπὸ τῆς ῥίζης κορμὸς ποιήσαν. ΑΜΦΕΞΕΣΑ. περιελέπισα. ΣΤΑΘΜΗΝ. τὴν τεκτονικὴν σπάρτον. ΕΡΜΙΝΑ. κληνόποδας, ἕρμα γὰρ τῆς κλίνης. ΤΕΤΡΗΝΑ. ἐτόρνασα. ΤΕΡΕΤΡΩ. τεκτονικῷ ἐργαλείῳ. ΕΝ ΔΕ ΤΟΙ ΑΡΧΟΜΕΝΟΣ. τοῦ ποδός. ΕΜΠΕΔΟΝ. ἀκίνητον ἢ ἐν τῷ πέδῳ ἑσώς. ΣΚΥΖΕ. ὀργίζου. ΑΓΑΠΗΣΑ. περιεπλεξάμην. ΕΡΡΙΓΕΙ. ἐφοβεῖτο. ΒΟΥΛΕΥΟΥΣΙ. συνοδοῦσιν. ΟΥΔΕ ΚΕΝ ΑΡΓΕΙΗ ΕΛΕΝΗ. ἀθετοῦντι

ἀθετοῦντες οἱ ιβʹ ὡς σκάζοντες κατὰ τὸν νοῦν. σώζοιντο
δ' ἄν. εἰσίζοιμεν. ἐπὶ τῷ εἰ ἤδη καὶ τὸ ο ἀντὶ τοῦ
διό. ὡς εἶναι οὐ δ' ἂν ἡ ἑλένης ἐμίγη παρὰ ἀλλο-
δαπῷ ἀνδρὶ εἰ μὴ ἦν ἐξηπατημένη. διὸ αὐτὴν ἐ-
πεὶ παρελογίσθη οἱ ἕλληνες ἐπανήγαγον. οἱ δὲ φα-
σὶ τὸν ἀλέξανδρον μενελάῳ εἰκασθέντα γνώμῃ ἀ-
φροδίτης μιγῆναι τῇ ἑλένῃ. ΕΙ ΗΔΗ. ἐνταῦθα στι-
κτέον, ἔπειτα ἀφ' ἑτέρας ἀρχῆς προσενεκτέον.
ΟΜΙΝ ΑΥΤΙΣ ΑΡΗΙΟΙ ΥΕΣ ΑΧΕΩΝ. ὁ δὲ λόγος
οὐκ ἂν ἡ ἑλένη παρ' ἀλλοφύλῳ ἀνδρὶ ἐμίγη εἰ
προεώρα τὸ μέλλον, διὸ καὶ ἐπανάξειν ἔμελλον αὐ-
τὴν οἱ ἕλληνες. ὡς μηδὲν ἡμαρτηκυῖαν. ΟΜΙΝ. διὸ
αὐτήν. ΤΗΝ ΔΑΤΗΝ ΟΥ ΠΡΟΣΘΕΝ. οὐ πρὸ τοῦ πα-
θεῖν ἔγνω τῆς φρενοβλάβειαν. ΝΩΙΝ. ἡμῶν. ΘΥΜΑ-
ΡΕΑ. τῇ ψυχῇ ἀρέσκουσαν εὐάρεστον. ΤΕΤΡΟΦΕΝ. πέ-
πηγεν. ΕΝ ΠΕΡΑΤΗ. ἤδη πρὸς τῷ πέρατι καὶ τῷ
τέλει οὖσαν. ΔΟΛΙΧΗΝ. οὐκ ἐν τῷ καθ' ὅλου ἀλλὰ
τότε ἐσομένην πρὸς ἀγανάκτησιν τοῦ ἔθεν. ΑΜΕ-
ΤΡΗΤΟΣ. ὁ πολύς. ΠΟΝΟΣ. κάματος. ΛΕΚΤΡΟΝΔΕ.
εἰς τὴν κοίτην. ΕΠΕΑΡ. ἐπειδή. ΚΑΙ ΤΟΙ ΘΕΟΣ ΕΜ-
ΒΑΛΛΕ ΘΥΜΩ. τὸ εἰπεῖν ὅτι ποιῆσαι σε τί καὶ
ἕτερον δεῖ. ΠΕΥΣΟΜΑΙ. ἀκούσομαι. ΟΥΤΙ. οὐδαμῶς.
ΤΙ ΓΑΡ. τί δήποτε. ΟΤΡΕΝΕΟΥΣΑ. ἐπείγουσα.
ΑΛΕΣΣΙΝ. ἀλσίν. ΚΕΙΟΥΣΑ. κοιμηθησομένη. ΑΣΠΑ-
ΣΙΟΙ ΛΕΚΤΡΟΙΟ. ἀσπαστῶς καὶ ἐπιθυμητικῶς ὑπεμ-
νήσθησαν



θησαν τῆς πάλαι τῆς συνουσίας νόμου. ἀριστοφάνης δὲ Aristoph
καὶ ἀρίσταρχος πέρας τῆς ὀδυσσείας τοῦτο ποιοῦνται. Aristarc

ΕΤΑΡΠΗΤΗΝ. ἐκορέσθησαν. ΑΝΕΣΧΕΤΟ. ὑπέμει-
νεν. ΚΑΤΑΛΕΞΑΙ. καθέκαστον εἰπεῖν. ΗΡΞΑΤΟ Δ' ΩΣ
ΠΡΩΤΟΝ. οὐ καλῶς ἠθέτησεν ἀρίσταρχος τοὺς γ καὶ Aristarc
λ. ῥητορικὴν γὰρ πεποίηκεν ἀνακεφαλαίωσιν
καὶ τομὴν τῆς ὀδυσσείας. ΕΥΡΩΕΝΤΑ. ἤτοι πλα-
τὺν παρὰ τὸ εὖρος ἢ σκοτεινόν. ΑΚΗΡΙΟΙ ΑΝ-
ΔΡΕΣ ΑΛΥΞΑΝ. χωρὶς κήρυκος χωρὶς θανάτου.
ΕΒΑΛΕΝ. νῦν ἀντὶ τοῦ ἔκλαυσεν. ΨΟΛΟΕΝΤΙ. καυ-
στικῷ, ψόλον γὰρ τὸ ἄσβολον ποιοῦν. ΔΕΥΤΑ- ψολόεντι
ΤΟΝ. ἔσχατον. ΛΥΣΙΜΕΛΗΣ. ὁ τὰ μέλη τοῦ σώ-
ματος παριείς. ἢ ἀμέριμνας. ΕΥΓΗΣ. συγκαθευδή-
σεως. ΠΕΔΑΑΣΚΟΝ. ἐνεπόδιζον. ΠΟΛΥΑΡΗΤΟΝ.
πολύευκτον. ΚΑΤΕΚΕΙΡΑΝ. κατεδαπάνησαν. ΛΗΙΣ-
ΣΟΜΑΙ. κτήσομαι. ΕΝΙΠΛΗΣΩΣΙ. πληρώσωσιν.
ΕΙΣΙΝ. εἰσελεύσεται διαδοθήσεται. ΕΙΣ ΥΠΕΡΩ ΑΝΑ-
ΒΑΣΑ. καταλείπει τὴν γυναῖκα, θαρρῶν τῷ πα-
τρὶ αὐτῆς καὶ τοῖς ἀδελφοῖς ἴδηθεν. ὡς ἀγνοοῦ-
σαν τῶν πεπραγμένων τὸ ἀληθές. ἢ ἐμπιστεύων
τῇ ἀθηνᾷ. ΕΚ Δ' ΗΙΟΝ. ἐξήεσαν δέ. ΕΞΗΓΕ. ἐξέβα-
λεν. ΕΡΜΗΝ ΑΣΚΗΣΑΣ ΤΕΤΡΗΝΕ ΔΕ ΠΑΝΤΑ
ΤΕΡΕΤΡΩ. ἑρμῆς ὁ διὸς καὶ μαίας τῆς ἄτλαντος
παῖς ἔτι ὤν, ἐν ἀνθρώποις τέσσαρα μέγιστα εὕρε-
το γράμμα-

Mercurij cum tetragoni

τὰ γράμματα, καὶ μουσικὴν, καὶ παλαίστραν, καὶ γεωμετρίαν, ὅθεν καὶ τοὺς ἕλληνας τετράγωνον αὐτὸν ἀσκῆσαι, καὶ οὕτως ἐν τοῖς γυμνασίοις ἀναθεῖναι, τὸν δὲ ὀνειροπομπὸν εἶναι, καὶ τοὺς κοιμωμένους αὐτῷ εὔχεσθαι, καὶ αὐτὸν ἀναμνήσειν, εἵλοντο ἐν τοῖς θαλάμοις ἔχειν αὐτὸν φύλακα τοῦ ὕπνου ἐπινοῆσαί τε καὶ ἀσκῆσαι τοὺς τῶν κλινῶν πόδας εἰς τὸ τοῦ θεοῦ πρόσοψιν. ὅπως ἀλεξήτορας ἔχοντες ἰδέας. τὰ μὲν δείματα μὴ φοβοῖντο προσδοκῶ. ἐν δὲ πλείστην ἐπαφροδισίαν διὰ τῶν ὀνειράτων. ἡ δὲ ἱστορία παρὰ ἀπολλοδώρῳ τῷ ἀθηναίῳ. ΟΥΔΕ ΚΕΝ ΑΡΓΕΙΗ ΕΛΕΝΗ ΔΙΟΣ ΕΚΓΕΓΑΥΙΑΝ ΑΝΔΡΙ ΠΑΡ ΑΛΛΟΔΑΠΩ ΕΜΙΓΗ ΦΙΛΟΤΗΤΙ ΚΑΙ ΕΥΝΗ.

Apollodorus

ἀλέξανδρος ὁ πριάμου παῖς ἀπὸ τῆς ἀσίας καταίρας εἰς τὴν λακεδαίμονα, διενοεῖτο τὴν ἑλένην ξενιζόμενος ἁρπάσαι. ἡ δὲ γυναῖον ἦθος καὶ φίλανδρον ἔχουσα, ἀπηγόρευε καὶ προτιμᾶν ἔλεγε τὸν μετὰ νόμου γάμον, καὶ τὸν μενέλαον περιπλείονος ἡγεῖσθαι. γινομένου δὲ τοῦ πάριδος ἀπράκτου. φασὶν τὴν ἀφροδίτην ἐπιτεχνῆσαι τοιοῦτόν τι, ὥστε καὶ μεταβαλεῖν τοῦ ἀλεξάνδρου τὴν ἰδέαν, εἰς τὸν τοῦ μενελάου χαρακτῆρα, καὶ οὕτω τὴν ἑλένην παραλογίσασθαι. δόξασαν γὰρ εἶναι ταῖς ἀληθείαις τὸν μενέλαον μὴ ὀκνῆσαι ἅμα αὐτῷ ἕπεσθαι, φθάσασαν δὲ αὐτοῦ

Helenæ raptæ histo.

ἄχρι



ἄχρι τῆς νεὼς, ἐμβαλλόμενος ἀνήχθη. ἡ ἱστορία παρὰ νικίᾳ τῷ πρώτῳ.

τέλος τοῦ ψ.

## ΕΙΣ ΤΗΝ Ω. ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΝ.

ΕΡΜΗΣ ΔΕ ΨΥΧΑΣ. ἀρίσταρχος ἀθετεῖ τὴν νεκυίαν κεφαλαίοις τοῖς συνεκτικωτάτοις, τοῖς δὲ ὅτι οὐκ ἔτι καθ' ὅμηρον ψυχοπομπὸς ὁ ἑρμῆς. οὔτε τὸν ἀπόλλωνα ἐπὶ τῆς πυκτικῆς εἰ μὴ ἅπαξ. ἀλλ' οὐ δὲ χθόνιος ὁ θεὸς οὐκ εὐθέως ὁ εἰς ἅδου κατελθὼν χθόνιος. ἐπεὶ καὶ ἀθηνᾶ δὲ ἡρακλέα. καὶ ἄδης ὀλύμπιος. κυλλήνιος δὲ οὐδαμοῦ εἴρηται. ἢ ἅπαξ. οὐκ ἔξω λόγον καὶ σῶκος καὶ ἰήιος ἀπόλλων. ἀλλὰ πῶς αἱ ψυχαὶ οὐκ αὐτόματον κατίασιν, ὡς ἐν ἰλιάδι οὐδὲν κωλύει, καὶ παραπέμποντος αὐτὰς τινός. ἀλλ' αὗται καὶ ἄταφοι κατίασιν. ἴσως διάτι κατέρσιον. ἢ διὰ τὸ ἑρμοῦ πρόνοιαν κηδομένου τοῦ ὀδυσσέως διὰ τὸ συγγένειαν. ἀλλ' οὐ δὲ ἔοικεν εἰς ἅδου λευκὴν εἶναι πέτραν τὰ πρὸς τὴν ἡμέραν ἐστραμμένα αὐτῆς λευ

Aristarch

κ.ξ. καίνετ.

χθόνιος ἑρμῆς

καίνεται. ἄκαιρος δὲ καὶ ἡ ἀχιλλέως καὶ ἀγαμέμνονος ὁμιλία. καὶ ἀγαμέμνων οὐκ ἀγείρει τὴν στρατείαν. ἀλλ' ὁ νέστωρ εὐκαίρως ἀναπληροῖ τὰ ἀλλαχοῦ παραλειφθέντα. πῶς δὲ καὶ τὸ σῶμα διέμενε τοῦ ἀχιλλέως ἐπὶ τοσαύτας ἡμέρας διὰ τὴν θέτιν, ὡς καὶ τὸ πατρόκλου. ἀλλὰ καὶ τὸ ἀριθμεῖν τὰς μούσας οὐχ ὁμηρικόν. τί κωλύει ἅπαξ. ἄλογον δὲ καὶ ἐπὶ τῶν νεῶν ὄντων αὐτῶν λέγειν ὅτι δείσαντες τὰς νηρηίδας ἔφυγον ἐπὶ τὰς ναῦς ἀπὸ τοῦ τῶν μυρμιδόνων ναυστάθμου. πῶς δὲ καὶ ὁ ἀμφιμέδων ἐπίσταται τὴν ἐν τοῖς ἀγροῖς ἐπιβουλήν. ἐκ τῶν εἰκότων τεκμαίρεται. καὶ ἄλλως δὲ ἐκ τῆς [illegible] τῆς στιχοποιίας δεινότητος, τὸ ποίημα τοῦ ὁμήρου ὁμολογεῖ. καὶ νεκυομαντείαν μὲν ἄν τις εἰκότως τὴν λίαν εἶπεν. νεκυίαν δὲ ταύτην. ΚΥΛΛΗΝΙΟΣ. ὁ ἐν κυλληνίῳ ὄρει τῆς ἀρκαδίας ἀναστραφείς. ἢ ὁ ὕπνου δωρητικός. ὡς τῶν κοίλων ἔχων τὰς ἡνίας. κοιλάδες γὰρ συνεσταλμένα τῆς κ τὰ ἀπὸ τοὺς ὀφθαλμοὺς μέρη. ἔνθεν ταῦτα οἱ δῆμοι ἀττικοὶ κυκλώσια καλοῦσιν. ΕΞΕΚΑΛΕΙΤΟ. ἐξῆγεν ἔξω ἐκάλει. ΠΟΤΕΟΝΤΑΙ. πέτονται. ΟΡΜΑΘΟΥ ΕΚ ΠΕΤΡΗΣ. φησὶ ἐπαλλήλου πετρώδους ἐπὶ συνθέσεως ἢ ἀλλήλαις ἀνημμένας. παρὰ τὸ εἴρειν, ἐπιφέρει δὲ ἀνὰ τ' ἀλλήλῃσιν ἔχονται. ΣΦΙΝ. αὐταῖς. ΑΚΑΚΗΤΑ. ἔνιοι μὲν ἀμέτοχον κακῶν. ἔστι γὰρ ὁ θεὸς δοτὴρ ἀγαθῶν. ἔνιοι ἀπὸ ἀκακησίου ὄρους ἐν ἀρκαδίᾳ. δοκεῖ





γὰρ ὁ θεὸς ἀρκὰς εἶναι. ΛΕΥΚΑΔΑ ΠΕΤΡΗΝ. πρὸς τοῖς καταχθονίοις μέρεσι. ΔΗΜΟΝ ΟΝΕΙΡΩΝ. τὴν νύκτα ἐν ᾗ φαίνονται οἱ ὄνειροι. ΑΣΦΟΔΕΛΟΝ. ἄκαρπον φυτὸν ὁ ἀσφόδελος. νῦν τὸν τόπον λέγει τὸν ἀσφοδελώδη. ΠΡΩΙΤΙ. πρὸ τοῦ δέοντος καιροῦ. πόθεν δὲ ᾔδει ὁ ἀχιλλεύς. εἰκὸς παρ' ἄλλων πεπύσθαι αὐτόν. οὐ γάρ τι ἐν ᾅδου ἐστὶν διασκοπεῖν. ἀλλ' ὅτι αὐτὴ ἐστὶν ἡ ὑπόθεσις. ΠΑΡΑΣΤΗΣΕΣΘΑΙ. παραγενήσεσθαι. ΕΜΕΛΛΕΝ. ὤφειλε. ΑΠΟΝΗΜΕΝΟΣ. ὄνησιν καὶ ὠφέλειαν λαβών. ΗΡΑΟ. ἀπενέγκω. ΕΝΕΙΚΑΜΕΝ. ἠνέγκαμεν. ΚΑΤΘΕΜΕΝ. κατεθέμεθα. ΑΓΓΕΛΙΗΣ. νῦν τοῦ θρήνου. ΕΝΟΗΣΑΣ. ἐθεάσω. ΕΔΟΜΕΝ. ἐδώκαμεν. ΕΔΟΜΕΝ ΠΥΡΙ. ἀντὶ τοῦ ἐκαύσαμεν. ΚΑΙΕΟ. ἐκαίου. ΛΕΓΟΜΕΝ. συνήγομεν. ΠΡΟΥΧΟΥΣΗ. προεχούσῃ ἐξοχούσῃ. ΤΗΛΕΦΑΝΗΣ. ἐκ διαστήματος φαινόμενος. ΠΟΝΤΟΦΙΝ. τῆς θαλάσσης. ΖΩΝΝΥΝΤΑΙ. ἐν περιζώμασιν ἀγωνίζονται. ΤΟΛΥΠΕΥΣΑ. κατεργασάμην. ΟΔΥΣΣΗΙ ΔΑΜΕΝΤΩΝ. ὑπὸ ὀδυσσέως ἀναιρεθέντων. ΛΕΞΑΙΤΟ. συναγάγοι. ΠΕΡΙ ΤΑΜΝΟΜΕΝΟΥΣ. περιελαύνοντας. ΟΥΛΩ. ὅλῳ. ΣΠΟΥΔΗ. μόλις. ἤθελε δὲ κρύπτειν ἑαυτὸν ἀλλ' ὡς συνετὸς ἀνὴρ ὁρῶν τὸ μέγεθος τοῦ πολέμου. ὅθεν εἰκὸς τὸν ἀγαμέμνονα παρὰ τῷ ἀμφιμέδοντι μένειν καὶ οὐ παρὰ τῷ ὀδυσσεῖ. ΕΝΙΣΣΟΜΕΝ. ἐπεπλήσσομεν. ΒΟΛΗΣΙ. βλήμασι βολαῖς. ΤΕΩΣ. τηνικαῦτα. ΕΤΟΛΜΑ. ἐκαρτέρει. ΕΚΛΗΙΣΕΝ.

σεν ἀσφαλίσας. ΟΧΗΑΣ. τοὺς μοχλούς. ΟΜΟΚΛΕΟ-
ΜΕΝ. ἠπειλοῦμεν. ΑΓΟΡΕΥΟΙ. λέγοι. ΒΕΛΕΜΝΑ. βέ-
λη. ΕΠΙΣΠΟΜΕΝΟΙ. ἐπακολουθοῦντες. ΑΚΗΔΕΑ.
ἀθάπτα. ΒΡΟΤΟΝ. τὸ μετὰ κόνεως καὶ ἱδρῶτος αἷμα.
ΩΤΕΙΛΕΩΝ. τραυμάτων. ΟΛΒΙΕ ΛΑΕΡΤΑΟ ΠΑΙ.
ἀτρεπὲς φασὶν παρέντα τὸ συμπαθὲς μ. ΗΣ. τῆς οἰ-
κείας. ΤΟ ΑΜΦΙΜΕΔΟΝΤΙ ΘΕΕ. ἐπαινεῖ τὸν ὀδυσσέα
οὐκ ἀπεοικὸς δέ, διὰ τὸ καὶ τὸν αὐτὸν ὑπὲρ τῆς νοικού-
σης τὰ κάκιστα πεπονθέναι. ΑΡΕΤΗΣ. σωφροσύνης.
ΑΟΙΔΗΝ. ἀντὶ τοῦ φήμην. ΧΑΡΙΕΣΣΑΝ. ἐπέραστον, κα-
λήν. ΕΣΤΑΩΤΕ. ἑστῶτες. ΚΕΥΘΕΣΙ ΓΑΙΗΣ. κρυπτοῖς
τόποις. λέγει δὲ τοῖς ὑπὸ γῆν. ου δ' ἐπεὶ ἐκ πόλιος
κατέβαν. ὑποστικτέον μετὰ τὸ ἐπεί τοι ψολὸς λό-
φον ἐστί. ΚΤΕΑΤΙΣΕΝ. ἔκτισεν. ΜΟΓΗΣΕΝ. ἔκαμεν.
ΚΛΙΣΙΟΝ. ἅπαξ εἴρηται. σημαίνει δὲ ἐξέδραν τινὰ — κλίσιον
στιγματοειδῆ ἐν ᾗ ἔκειντο οἱ κλισμοί. ἢ κρηπίδωμα
ἐφ' οὗ ἐκαθέζοντο ἢ ἐκοιμῶντο. ΘΕΕΝ. ἔτρεχεν. ΣΙ-
ΖΕΣΚΟΝΤΟ. σίτου καὶ τροφῆς μετελάμβανον. ΑΝΑΓ-
ΚΑΙΟΙ. δουλώδεις. ΦΡΑΣΣΕΤΑΙ. γνωρίσει. ΑΓΝΟΙΗ-
ΣΕΙ. ἀγνοήσει. ΠΟΛΥΚΑΡΠΟΥ. ἤτοι κυρίως ἢ ποικίλους
καρποὺς ἐχούσης. ΑΙΜΑΔΙΑΣ ΛΕΞΟΝΤΕΣ. τὰ ἐκ
τῶν λεπτῶν λίθων τειχία οἰκοδομήσοντες. ΛΙΓΕΥ-
ΟΝΤΑ. περιξύοντα ἢ περισκάπτοντα εἰς ἀνδρεῖαν.
καὶ ὁμαλίζοντα. ΔΕΔΕΤΟ. περιέκειτο περιεδέδετο.
ΓΡΑΠΤΥΣ. τὰς τῶν ἀκανθωδῶν φυτῶν καταπεριξύ-

στεις



σεις καὶ ἀμυχάς. ΑΛΕΕΙΝΩΝ. φυλαττόμενος. ΑΡ-
ΓΕΙΗΝ ΚΥΝΕΗΝ. καταχρηστικῶς ὡς καὶ τὴν χαλκήν
κυνέην. ΒΡΟΘΡΗΝ. τὴν μεγάλην. ἀπὸ τοῦ ἄνω μυω-
λίσκου. ΚΥΣΣΑΙ. περιπλακῆναι. φιλῆσαι. ΚΑΤΕΧ-
ΩΝ ΚΕΦΑΛΗΝ. κάτω ἔχων νενευκώς. δύναται δὲ
καὶ ὑφ' ἓν τὸ κατέχων. ΑΛΦΕΛΑΧΑΙΝΕ. περιέσκα-
πτεν. ΑΔΑΗΜΟΝΙΗ. ἀπειρία. ΑΜΦΙΠΟΛΕΥΕΙΝ. ἐνερ-
γεῖν. ΑΥΧΜΕΙΣ. ἐρρύπωσαι. ΕΣΣΑΙ. ἐνδέδυσαι.
ΑΕΡΓΗΣ. ἀργίας. ΚΟΜΙΖΕΙ. ἐπιμελείας ἄξιοι. ΔΟΥ-
ΛΕΙΟΝ. δούλοις ἁρμόδιον. ΕΥΔΕΜΕΝΑΙ. καθεύδειν
ἀναπαύεσθαι. ΤΕΥ. τινός. ΔΜΩΣ. δοῦλος. ΟΥΤΙ ΜΑΛ'
ΑΡΤΙΦΡΩΝ. οὐ πάνυ ἔμφρων, ἀνόητος. ΕΩΚΕΙ. πρέ-
πον ἦν. ΑΝΘΕΜΟΕΝΤΑ. ἀνθοῦντα. ΕΙΔΑΛΙΜΟΥΣ.
εὐειδεῖς. ἢ ἐπισήμονας. ΕΧΟΥΣΙΝ. ἀντὶ τοῦ οἰκοῦσιν. Υ-
πάρξῃ. προκατάρξηται. ΠΕΡΙ ΣΤΕΙΛΑΣΑ. περικαλύ-
ψασα. ΠΟΛΥΔΩΡΟΣ. ἡ πολλοῖς δώροις γαμηθεῖσα.
ΕΠΕΩΚΕΙ. ἔπρεπεν. ΚΑΘΕΛΟΥΣΑ. καταλαβοῦσα.
ἐπικλείσασα. ΝΗΥΣ. ναῦς. πλοίου. ΗΓΑΓΕΝ. ἤνεγ-
κεν. ΕΚΒΗΣΑΝΤΕΣ. ἐξενεγκόντες. ΑΛΥΒΑΝΤΟΣ.
ἀλύβας πόλις ἰταλίας. τὸ μεσαπόντιον. ἢ μᾶλλον — Alybas V.
μεταπόντιον. ἥν τινα ἐν τῷ καταλόγῳ ἀλύβην εἶ-
πεν. αὐτὰρ ἁλιζώνων ὀδίος ἐπίστροφος ἦρχον τηλό- — Homer'
θεν ἐξ ἀλύβης ὅθεν ἀρετὴ γενέθλη. ΣΙΚΑΝΙΗΣ. σικε-
λίας. ᾤκησαν γὰρ αὐτὴν ἴβηρες ἐλθόντες ἀπὸ σικά- — Sicania unde
νου ποταμοῦ. ΟΡΝΙΘΕΣ. οἰωνοὶ σημεῖα. ΔΕΞΙΟΙ. — Sicanus fl.

αἴσιοι

Homeri loc'

εἰς τὴν ω.

αἴσιοι ἢ ἐκ τῶν δεξιῶν μερῶν. ΔΡΙΜΥ ΜΕΝΟΣ ΠΡΟΥΤΥΨΕ. ἤτοι ὀξὺ πρᾶγμα ἐτόλμησεν ἐξειπεῖν. ἢ ὅτι ἔμελλεν δακρύειν. προσεμπίπτει ταῖς ῥισὶ δριμύτης τις. ΠΡΟΥΤΥΨΕ. προσενέπεσεν. ΣΠΕΥΔΕΜΕΝ. ἐπείγεσθαι. ΠΕΠΟΙΘΩ. πιστεύσω θαῤῥήσω. ΕΜΠΝΕΥΣΕ. ἐνέβαλεν. ΧΑΛΚΟΠΑΡΕΙΟΥ. χαλκῷ τὰς παρειὰς ἡρμοσμένης. ΕΡΥΤΟ. ἐπέσχεν. ΑΝΟΣΤΟΥΣ. ἐπανόδου μὴ τυγχάνοντας. ΦΩΝΗ. κραυγή. ΤΡΩΠΩΝΤΟ. ἐξετρέποντο ἐστράφησαν. ΑΦΙΕΙ. ἔπεμπεν ἐρρίπτεν. ΨΟΛΟΕΝΤΑ. καυστικὸν, ἀσβόλην ποιοῦντα. ψολὸν γὰρ τὴν ἀσβόλην λέγει. τοιοῦτον δὲ ἀφίησιν ὁ Ζεὺς πῦρ ἐκ τοῦ οὐρανοῦ.

ΤΕΛΟΣ.

Α Β Γ Δ Ε Ζ Η Θ Ι Κ Λ Μ Ν Ξ Ο
Π Ρ Σ Τ Υ. *Omnes sunt quaterniones, præter Υ qui est duernio.*

PARISIIS IMPRIMI CVRABAT,
GERARDVS MORRHIVS
GERMANVS SEPTIMO
CALEND. MAII.
ANNO 1530.

BIBLIOTECA UNIVERSITARIA
- SALAMANCA -

Mi rbchrim. el sno aguilar
senerne el bachiller sainzar
plinyo y fylurs de volgti
anos a lara